Oeuvres
de
Georges Scholarios.

Polémique contre Gémistos Pléthon.

I.

Contre les difficultés de Pléthon au sujet d'Aristote.*

---

*† ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ ΚΑΤΑ ΤΩΝ ΠΛΗΘΩΝΟΣ ἈΠΟΡΙΩΝ ἘΠ' ἈΡΙΣΤΟΤΕΛΕΙ.*** Paris. Suppl gr. 618, f. 99

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

Προοίμιον.

Σκοποῦντί μοι, κράτιστε καὶ γαληνότατε ἡγεμόνων Κωνσταντῖνε, τί ἂν δέοι με προσφέρειν σοι καὶ νῦν, ὡς εἰώθειν, τῇ τε ἡμετέρᾳ πρέπον διατριβῇ περὶ λόγους καὶ τῷ πλάτει τῆς βασιλικῆς σοφίας καὶ γνώσεως, ἐπεὶ τὸ βιβλίον τῶν κατ' Ἀριστοτέλους βλασφημιῶν καὶ ἐς ἡμᾶς ὀψὲ περιῆλθε, τοῦτό σοι τῆς εἰσφορᾶς ποιεῖσθαι πρόφασίν τε καὶ ὑπόθεσιν ἔδοξε δεῖν· ἅμα δὲ καὶ ὑποσχέσεως τοιαύτης ἀνεμνήσθην πρός σέ μοι

---

* A = Parisinus suppl. 618, f. 99-191v, copie en partie autographe (jusqu'au f. 108r) de Scholarios, en partie d'une main contemporaine de l'auteur.
D = Dionysiauus Athonensis 330, f. 1-65, copie revue et corrigée par Scholarios.
M = Édition de Ed. Minoïde Mynas, *Georges Scholarios*, Paris, 1858, p. 1-141 (le 1er livre seulement). Nous ne donnons les variantes de M que jusqu'à la page 20, pour que le lecteur puisse juger de sa valeur.

** Tit. D *† Κατὰ — Ἀριστοτέλει* en haut de la page. Plus bas: *† Γεωργίου τοῦ Σχολαρίου κατὰ τῶν — Ἀριστοτέλει, βιβλίον πρῶτον:* et en marge, de la main de Scholarios: *καὶ κατὰ Ἑλλήνων ἤτοι πολυθέων.* Au bas de la page, dans la marge inférieure, de la main de Scholarios: *Κε̄ Ιῡ Χε̄ υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με τὸν ἁμαρτωλὸν Γεννάδιον νῦν· Γεώργιον δὲ Σχολάριον, ὅτε ταῦτα συνεγραψάμην, σοῦ βοηθοῦντος: —*

---

1 *τοῦ* om M 4 *Προοίμιον* om D 5 *Κωνσταντῖνε* om D 6 *τε* om M *ὑμετέρᾳ* M 8 *εἰς* M

γεγενημένης, ἡνίκα εὐτυχῶς ἐξῆλθες ἡμῶν ἐπὶ τὴν μεγάλην τῆς Πελοποννήσου ἀρχήν. Ἐπειρῶ γὰρ ἡμῶν, εἰ θαρρήσομεν ὑπὲρ Ἀριστοτέλους ἀπαντᾶν Πλήθωνι, οὐκ ἀμφιβάλλων, ἀλλ' ἐρεθίζων. Οὔτε δ' ὡς ἄν τις οἰηθείη, Πλήθωνος καταφρονοῦντες τὴν πραγματείαν ταύτην ἐνεστησάμεθα· δι' αἰδοῦς γάρ ἐστιν ἡμῖν ὁ ἀνὴρ τά γε ἄλλα ἐν τοῖς νῦν Ἕλλησιν, οὔτε δέος ἡμᾶς εἰσῆλθεν ὑπὲρ Ἀριστοτέλους, μήποτε κινδυνεύσῃ τις αὐτὸν φαῦλον νομίσαι, Πλήθωνι πεπεισμένος· ἀρκεῖν γὰρ αὐτῷ τὴν παρὰ πάντων σοφῶν δόξαν ἐς συνηγορίαν, ἢ μᾶλλον φάναι, πάντων ἀνθρώπων· μηδ' ἐς τοσοῦτον ἀνοίας ἐλθεῖν ἄν ποτε καὶ ὁντινοῦν, ὥστε ταῖς Πλήθωνος ψήφοις κατ' Ἀριστοτέλους μᾶλλον ἢ ταῖς ἁπάντων ἀνθρώπων βούλεσθαι τίθεσθαι, οἳ θεῖόν τι τὸ κατ' Ἀριστοτέλην ἥγηνται χρῆμα, οὐ νῦν οὐδ' ἐγγύθεν, ἀλλ' ἐξότου, καθάπερ ἄλλο τι τῶν κοσμικῶν ἀγαθῶν τῶνδε, κἀκεῖνον ἡ φύσις ἤνεγκεν. Καὶ ἐπαίνων δὲ ἥκιστα ἠλπίσαμεν τεύξεσθαι, τῷ φιλοσόφῳ συνηγοροῦντες ἀκούοντι κακῶς ὑφ' ὧν οὐκ ἐχρῆν· δεῖν γὰρ ἂν καὶ μέμψεις ἐκείνων μείζους ὑπέχειν τοῖς γε νοῦν ἔχουσιν, ἅτε πράγμασι συνηγορεῖν ἑλομένους, ἥκιστα ὑπὸ τοιούτων βλασφημιῶν κινδυνεύουσιν· ἴσον γάρ ἐστι τήν τε ἡλίου λαμπρότητα καὶ τὴν Ἀριστοτέλους ἐπὶ σοφίᾳ
f. 99v δόξαν ἀρνεῖσθαι. Διὸ καὶ τῶν ἄμφω | τῶδε πασχόντων, ἐπίσης ἂν εἴη πρέπον καταφρονεῖν, μᾶλλον δ' ἀπαλλάττειν προθυμεῖσθαι τῆς νόσου, ἄν περ οἷόν τε ᾖ· ἄλλως τε τὸ μὲν Ἀριστοτέλους κατηγορεῖν ἐξεῖναι καὶ αὐτῷ Πλήθωνι καὶ πᾶσιν ὁμοίως ἔχουσι γνώμης, καίτοι γε οὐδείς πω πρὸς τὴν ἐκείνου θειότητα μετὰ τοσαύτης ἀπεδύσατο προπετείας. Εἴπερ δὲ ἐξῆν ἑνί τῳ τῆς ἐκείνου δόξης ὑπερασπίζειν, ἔδει γ' ἂν αὐτῷ πρότερον ὑπὸ πλείστων σοφῶν ἐν πλείστοις ἔθνεσι τοῦτο συγκεχωρῆσθαι, οἳ τοῖς Ἀριστοτέλους τίθενται δόγμασι. Πλήθωνι μὲν γὰρ ἐς Ἀριστοτέλη μόνῳ παρανομοῦντι οὐκ ἂν οἷόν τ' ἦν οὐδὲ βουλομένῳ μεθ' ἑτέρων τοῦτο ποιεῖν· τῷ δὲ τὰ πρὸς Ἀριστοτέλη σῴζοντι δίκαια πάντας ἂν ἀμύνειν δέοι καὶ συνίστασθαι τοὺς ὁμοίως ὠφελημένους· κἂν ἀγανακτοῖεν δικαίως, μήτ' αὐτοὶ πρὸς τὸν ἴσον ἀγῶνα παρακαλούμενοι, καὶ τῆς τοῦ διδασκάλου δόξης ἐν ἑνὸς δεινότητι καὶ ἴσως φαυλοτέρᾳ κινδυνευούσης. Ἐπεὶ τοίνυν τῶν τοιούτων μὲν οὐδενός, τῶν δ' ἐξ ἀρχῆς εἰρημένων εἵνεκα τὸ ἔργον τόδε εἱλόμεθα, οὔτ' αὐτὸς ἂν λυποῖτο δικαίως, οὔτ' ἄλλος τις ἂν μέμφοιτο· συγγινώσκοις τε ἂν δή που καὶ σύ, κράτιστε ἡγεμών, καὶ ἐπαινοίης, εἴ γε φορὰν ὀφείλοντες τῷ σῷ κράτει τῇ νῦν σπουδῇ πρέπουσαν, περὶ τοῦ τίνα δεῖ προαιρεῖσθαι, σοὶ συμβούλῳ κεχρήμεθα πάνυ τι ἐπιθυμοῦντι τοιούτων λόγων ἀκούειν, ἅμα δὲ καὶ Ἀριστοτέλει προσκείμενος, κἂν ἡσθείης πάνυ τοῖς ὑπὲρ ἐκείνου τἀληθῆ καὶ δίκαια λέγουσιν.

---

21 *Πλήθωνι* en interligne AD 24 *συγκεχωρεῆσθαι* M 25 *εἰς* M 27 *Ἀριστοτέλην* M 29 *πρὸς*: *εἰς* M 32-33 *συγγνώσκοις* M 35 *πάνυ τοῖς* M 36 *ἡσθοίης* M

Ὁ μὲν δὴ Πλήθων Ἀριστοτέλους προτιμᾶν φησι Πλάτωνα τοὺς παλαιοτέρους Ἑλλήνων τε καὶ Ῥωμαίων σοφούς, καίτοι ἐκείνων οὐδεὶς οὕτω προετίμησε Πλάτωνα, ὥστε καὶ ἰδίαν κατ' Ἀριστοτέλους πραγματείαν ἐνστήσασθαι· τοὐναντίον μὲν οὖν, ἃς ἐπιστήμας ἐκεῖνος τοῖς τοῦ ὄντος γένεσι πᾶσιν ὑπερφυῶς ἐξευρὼν ἀφώρισεν, ἐξηγήσαντο πολὺν ἀναδεξάμενοι πόνον, ἑαυτοῖς δή που καὶ πᾶσιν ἀνθρώποις συμφέροντα πράττειν οὕτως ὑπειληφότες, καὶ μόνον Ἀριστοτέλη | [f. 100] νομίσαντες ἄξιον ἐπὶ φιλοσοφίαν ἡγεμόνα πᾶσιν ἀνθρώποις εἶναί τε καὶ ἔσεσθαι. Πλάτωνι δὲ οὐδὲν τοσοῦτον συνῄδεσαν δήπου· εἰ δ' Ἀριστοτέλη ἐξηγούμενοι, ἐπισημαίνονταί που τὰς αὐτοῦ πρὸς Πλάτωνα διαφοράς, οὐδὲν οὐδ' ἐκεῖ προπετὲς εἰς αὐτὸν ἀφιᾶσιν· ἔνιοι δὲ καὶ εὐγνωμονέστερον ἀμφοῖν διακούσαντες, συνῆψαν ἄμφω τὼ φιλοσόφω ταῖς γνώμαις, καὶ τὴν ἐς Πλάτωνα διαφορὰν Ἀριστοτέλει περὶ τὸ τῆς λέξεως φαινόμενον συμβῆναι μόνον φασίν, οὐκ ἀγνοίᾳ μᾶλλον ἢ φιλοτιμίᾳ καιρὸν ἴσως ἐχούσῃ κεκινημένῳ· ὧν τὴν μὲν γνώμην χρῆν καὶ Πλήθωνα ἐπαινεῖν, τὴν δὲ σοφίαν εὔχεσθαι προσεῖναι καὶ ἑαυτῷ· οὐ γὰρ δή γε τῶν περὶ Σιμπλίκιον βελτίων εἶναι ἐρεῖ. Ἀλλ' ἐκεῖνοι μέν, καὶ πρὸ αὐτῶν οἱ περὶ Συριανὸν καὶ Πρόκλον καὶ Πορφύριον, οὓς καὶ αὐτὸς σοφωτάτους γενέσθαι τίθεμαι, τῇδέ πῃ περὶ Ἀριστοτέλους διανενόηνται· αὐτὸς δὲ μηδέν ποτε εἰς φιλοσοφίαν μέγα συγγραψάμενος, νῦν ὀψὲ τὰς κατ' Ἀριστοτέλους ἔτεκε βλασφημίας, μῦν ὄρος ἡ παροιμία φησίν· ὥσπερ εἴ τις τὸν πάντα χρόνον ἀκίνητος διαμείνας, εἶτα ἔκ τινος μηχανῆς δυνηθεὶς χρῆσθαι τοῖς μέλεσι, ταῖς χερσὶ πρῶτον εἰς τὴν τοῦ πατρὸς πληγὴν χρήσαιτο· εἰ δ' ἔχει τις καὶ μέμψασθαι Ἀριστοτέλη σὺν τῷ δικαίῳ, τὸ κατὰ Πλάτωνος πρωτεῖον κακομηχάνως ἑαυτῷ κατακτώμενον, πολλῷ δικαιότερον ἐγκαλοίη τις ἂν Πλήθωνι, ᾧ πρὸς Ἀριστοτέλη οὐχ ὁπόση τις αὐτῷ Ἀριστοτέλει πρὸς Πλάτωνα ἡ διαφορά, ἀλλ' ὥστε μηδὲ παραβάλλειν ἐξεῖναι. Καὶ ὁ μὲν Ἀριστοτέλης Πλάτωνι φορτικὸς γεγονώς, ἴσως τι καὶ ἤνυσεν ὑπὲρ ἑαυτοῦ· Πλήθων δὲ ἀντιλέγων Ἀριστοτέλει, κινδυνεύει οὐχ ὅπως Ἀριστοτέλους σοφώτερος εἶναι δοκεῖν, ἀλλὰ μηδ' ἐπαΐων αὐτοῦ, καὶ τοσούτῳ χείρων τῶν νῦν μετιόντων φιλοσοφίαν, ὅσῳ οἳ μὲν Πλάτωνί τε καὶ Ἀριστοτέλει διαιτῶσι δικαίως μετὰ τοῦ μηδετέρου καταφρονεῖν· χάριτας δὲ Ἀριστοτέλει μείζους ὀφείλειν, εἴ γε καὶ τὸ δύνασθαι παριέναι πῃ τὸν ἄνδρα ἐξ αὐτοῦ τούτου λαβόντες ἔχουσι, | [f. 100v] καὶ τοῖς παλαιοτέροις Ἑλλήνων τε καὶ Ῥωμαίων τῇδε συμβαίνουσιν· ὃ δὲ μόνος ἀμαθῆ καὶ ἐς πᾶσαν φιλοσοφίαν τὰ τῶν παίδων ἐξαμαρτάνοντα ἀποφαίνειν Ἀριστοτέλη πειρᾶται. Καὶ εἰ μὲν γεγόνασί τινες, ἢ καὶ νῦν εἰσι βελτίους ἐς φιλοσοφίαν τῶν

---

9 *συνοίδεσαν* M *ἐπισημαίνοντας* M 12 *εἰς* M 18 *γινέσθαι* M 20 *κατ'*: *περὶ* M 23 *Ἀριστοτέλει* M 24 *κατακτωμένῳ* M 26 *ἡ* om M 32 *καὶ* après *δὲ* add M *πῃ* om M

ἀρχαιοτέρων ἐκείνων, οἳ Πλάτωνι μᾶλλον τὴν ψῆφον ἔθεντο, ἐγὼ μέν, κἂν ὀκνήσαιμι τοῦτ' εἰπεῖν, ἐροῦσι δὲ πολλοὶ καὶ ἔργῳ δείξουσι· τοὺς δὲ νῦν Πλάτωνος ἡττωμένους ἐν Ἰταλίᾳ, οἷς φησι χαριζόμενος τὴν τοιαύτην πραγματείαν λαβεῖν ἐπὶ νοῦν, ἴσμεν τίνες εἰσί, καὶ ἑώρων πολλοὶ τῷ ἀνδρὶ συγγινομένους αὐτοὺς ἐκεῖ· οἷς τοσοῦτον μέτεστι φιλοσοφίας, ὅσον αὐτῷ Πλήθωνι ὀρχηστικῆς. Ὁμήρῳ γὰρ καὶ Βιργιλλίῳ προσέχουσιν· οἳ δὲ μέχρι καὶ ἐπὶ Κικέρωνα καὶ Δημοσθένη ἐκτείνουσι τὰς σπουδάς, οὐδ' ἐν τούτοις εὐφυεῖς ὄντες πάνυ· οἳ τῆς Πλάτωνος ἑαλωκότες μούσης, οὔτ' ἄλλο τι φιλοσοφίαν εἶναι ἡγοῦνται πλὴν ταύτης, οὔτ' εἰ καὶ ἕτερόν ἐστι, δεῖν αὐτὴν τῆς περὶ τὴν ἑλληνικὴν ὁμιλίαν ἀκριβείας ὑπερτιθέναι, τοσοῦτ' ἀπέχουσι μεταξὺ δυοῖν φιλοσόφοιν ὀρθῶς δικάσαι περὶ φιλοσοφίας δύνασθαι. Ὅσοι δὲ ἐν ἑσπέρᾳ γνησίως τῶν φιλοσοφίας δογμάτων ἐπεμελήθησαν, οὐχ ὁμοίως τὰ τοιαῦτα κρίνουσι· κρείττους δὲ ἀριθμοῦ σχεδόν εἰσιν οἵ γε τοιοῦτοι, ὧν αὐτὸς οὐκ ὀλίγοις ἐνέτυχον.

Ὁ μὲν οὖν ταῦτά φησι προοιμιαζόμενος, καὶ πρὸς τούτοις Ἀριστοτέλη μὲν οὐκ οἴεται δεῖν συκοφαντεῖν, καίτοι πάντα συκοφαντῶν, Ἀβερόη δὲ οὕτως ἀδικεῖ· οἴεται γὰρ τούτῳ τῷ τρόπῳ ῥᾳδίως τὴν ὑπὲρ Ἀριστοτέλους Ἀβερόου ψῆφον διασαλεύσειν, καίτοι Λατῖνοι οὐκ Ἀβερόῃ πείθονται μᾶλλον ὑπὲρ Ἀριστοτέλους ἢ πολλοῖς ἄλλοις ὁμοίως ἐκείνῳ σοφοῖς καὶ σφίσιν αὐτοῖς ἔτι, τὰ τοιαῦτα οὐδὲν ἧττον Ἀβερόου καὶ τῶν παλαιοτέρων κρίνειν καὶ ἀποφαίνεσθαι δυναμένοις. Ὅτι δὲ συκοφαντεῖ καὶ Ἀβερόην, ἔξεστιν ἀκούειν Λατίνων τε καὶ Ἰουδαίων πάντων τοῖς ἐκείνου συγγράμμασιν ἐς φιλοσοφίαν ὁσημέραι συγγινομένων· περὶ γὰρ τοῦ ἀνθρωπίνου νοῦ πολλὰ μὲν ὑπειληφέναι φασὶν αὐτὸν ἥκιστα Ἀριστοτέλει καὶ τῇ τῆς πίστεως
f. 101 ἀληθείᾳ συνᾴδοντα· φθαρτὸν δὲ ὑποθέσθαι | τοῦτον οὐδαμῶς λέγουσιν. Ἀλλ' Ἀβερόου μὲν ὀλίγη φροντίς· οὔτε δὲ Ἀριστοτέλη προτίθημι ἐγὼ Πλάτωνος, οὔτε Πλάτωνα Ἀριστοτέλους, ἕως ἂν μηδεὶς ἀναγκάζῃ, ἀλλ' ἄμφω φύσει τε καὶ σπουδῇ διαπρεπεστάτω ἐν τῷ τῶν φιλοσόφων ἀποτελεσθῆναι χορῷ· καὶ ἑκάτερον τούτων ἀρετῇ φύσεως ἐκτεῖναι τὰ παρὰ τῶν διδαξάντων προσειλημμένα· ἐς δὲ ἀλήθειαν οὐκ ὀλίγα καὶ ἄμφω τὼ ἄνδρε ἐξαμαρτεῖν, ἅτε τοῦ τῆς ἀληθείας φωτὸς μήπω ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἐπιλάμψαντος· ἐν ἐλάττοσι δ' ἀπενεχθῆναι τῆς ἀληθείας Ἀριστοτέλη ἢ Πλάτωνα, οὗ χάριν καὶ τοὺς περὶ Πλωτῖνον καὶ Πρόκλον καὶ Πορφύριον Πλάτωνι προσθέσθαι μᾶλλον. Τοῖς γὰρ δόγμασι τῆς κατὰ Χριστὸν εὐσεβείας συμβαίνοντα μᾶλλον ᾔδεσαν Ἀριστοτέλη· ὧν ἐκεῖνοι ἐπὶ σφετέρῳ κακῷ καταφρονεῖν εἵλοντο· ἔνιοι δὲ καὶ κατ' αὐτῶν συνθεῖναί τινας

---

3 *ἐν Ἰταλίᾳ* en marge D 9 *εἶναι* om M *ἥγηνται* M 11-14 *ὅσοι δὲ — ἐνέτυχον* en marge de la main de Scholarios AD 17 *τούτῳ ῥᾳδίως τῷ τρόπῳ* D 18 *πείθονται*: *τίθενται* M 19 *ὑπὲρ*: *περὶ* D 30 *εἰς* M

προήχθησαν φλυαρίας. Ὥσπερ οὖν ἐκεῖνοι παρὰ τὴν ἑλληνικὴν ἐρεσχελίαν τὰ Πλάτωνος καὶ Ἀριστοτέλους τιθέντες, ὡς πολύ τι δὴ ἀπᾴδοντι Ἀριστοτέλει ἧττον προσεῖχον, οὕτως οἱ καθάπερ κανόνι τινὶ τῇ τῆς πίστεως ἀληθείᾳ τὰς ἑκατέρου δόξας προσάγοντες, Ἀριστοτέλει τίθενται μᾶλλον, ἅτ' ἐν ἐλάττοσι τὴν ἀπὸ τῆς ἀληθείας ἔκπτωσιν ὑποστάντι, τὰ δὲ πλεῖστα μηδὲν διενηνοχότι τῶν τὴν ἱερὰν μεμυημένων ἀλήθειαν· ὃ προϊόντος δῆλον ἔσται τοῦ λόγου. Ταύτῃ τε οὖν ἀμείνων ἂν φαίνοιτο Πλάτωνος Ἀριστοτέλης πᾶσι τοῖς ἱεροῖς, οὐδ' ἂν εἴη δίκαιον ἄλλως ἐξετάζειν τὼ ἄνδρε τούτω ἢ τῷ μόνῳ τῆς ἀληθείας κανόνι τὰ ἑκατέρου δόγματα παραβάλλοντας, καὶ δὴ καὶ τῷ πᾶσιν ἐπεξελθεῖν τοῖς τοῦ ὄντος γένεσι καὶ εἱρμῷ τινι καὶ τάξει κρείττονι σχεδὸν ἢ κατ' ἀνθρώπου φύσιν, ὥστ' εἰ μὴ διά γε Ἀριστοτέλη, οὐκ ἂν φυσικῆς φιλοσοφίας τὸ τῶν ἀνθρώπων μετεῖχε γένος· ἠθικῆς δέ, ἐς ὅσον ἔξεστι μόνον ἀπόνασθαι Πλάτωνος· πάνυ δὲ βραχὺ τοῦτ' ἔστι καὶ τοῖς ἔθει | μετιέναι βουλομένοις τἀγαθὰ μᾶλλον ἢ f. 101v
τοῖς μετὰ λόγου συμφέρον. Μεθόδου δὲ διαλεκτικῆς καὶ παντὸς ἐπιστημονικοῦ τρόπου ἐχηρεύομεν ἂν οὕτω πάνυ, ὥστε καὶ τὰ φαυλότατα προτιμῆσαι ἂν τῶν ἀρίστων, ὥσπερ νῦν ἔνιοι τοῦτο πάσχουσι διὰ τὸ φαῦλον νομίσαι Ἀριστοτέλη, ὁμοῦ τε διαλεκτικῆς ἐστερημένοι καὶ ἀληθείας. Οὔτε γοῦν Πλάτωνα ἐλέγχειν ἐν οἷς ἅμα τε Ἀριστοτέλους καὶ ἀληθείας ἀπολείπεται, οὔτ' ἄμφω πρὸς τὴν ἀλήθειαν παραβάλλειν καθόλου καὶ τὸ πρὸς ταύτην ἐνδεὲς ἀμφοῖν ἀποφαίνειν, ἀλλὰ μόνον ὁπόσον τι σαθρότητος ταῖς κατὰ τοῦ Φιλοσόφου βλασφημίαις ἔνεστι προθέμενοι νῦν ἐξετάζειν, τὰ μὲν κατ' Ἀριστοτέλη καὶ Πλάτωνα τοῖς ἄλλοις ἀφίεμεν σκοπεῖν, αὐτοὶ δ' εἰς ἐπίσκεψιν τῶν Πλήθωνι ἐπιδεδειγμένων μᾶλλον ἢ ἀποδεδειγμένων ἤδη ἐρχόμεθα· οὐκ ἀντεπιδεικνύμεθα δέ, ἀλλὰ τοσαῦτά τε καὶ ἐκείνῳ τῷ τρόπῳ λέγομεν, ὅσα τε καὶ ὅπως ἀρκεῖ πρὸς τὴν τῆς ἀληθείας ἀπόδειξιν περὶ ἑκάστου τῶν ἐς Ἀριστοτέλη ἐξυβρισμένων. Εἰ δ' ἔδει ἡμᾶς ἐπιδείκνυσθαι, πολύστιχον ἄν σοι βιβλίον ἐπέμπομεν, καὶ ἅμα τῷ εἰωθότι τῆς συνθήκης τρόπῳ ἐπιτετηδευμένον· ὃν ἀκούω καὶ Πλήθωνα ἐπαινεῖν, τοσοῦτόν μοι χαριζόμενον. Ἀλλ' ἔμοι γε οὐδὲ βουλομένῳ τὰ τοιαῦτα ἐξῆν, ἐν βραχεῖ τε χρόνῳ καὶ πολλοῖς πράγμασι· μόλις γὰρ ἐξεγένετο καὶ τοσαῦτα αὐτοσχεδιάζειν. Ἂν δὲ μὴ παύσαιτο Πλήθων Ἀριστοτέλη τε καὶ τοὺς αὐτῷ τιθεμένους φαυλίζειν, ἕτερόν τινα τρόπον ὄψεται ἡμᾶς αὐτῷ ἐπιόντας· οὐδὲ γὰρ ἐξέσται λοιπὸν ἡμῖν φείδεσθαι τῶν λοιδοριῶν, αἳ τοῖς ἀνέδην τὰ τοιαῦτα τολμῶσι πρέπουσι, καὶ μετὰ τὰς ἀποδείξεις φιλονεικοῦσιν· ἅμα δὲ καὶ οὐχ ὑπὲρ Ἀριστοτέλους μόνον καὶ ἀληθείας, ἀλλὰ

9-10 *παραβάλλοντες* M 10 *γένεσιν* D 13 *εἰς* M *ἀπώνασθαι* M 23 *ἀφεῖμεν* D 27 *εἰς Ἀριστοτέλην* M 32 *παύσηται* M 35 *ἀναίδην* corrigé en *ἀνέδην* AD

καὶ ἡμῶν αὐτῶν ὁ πόλεμος ἔσται· οὗ δεῖ μηδεμίαν ἀνάγκην οὕτως εἶναι ἰσχυροτέραν, ὥστε τινὸς ὧν δυνάμεθα πρὸς αὐτὸν δι' ἐκείνην ὀλιγωρῆσαι· f. 102 | οὐθ' ἡμεῖς οἷοι καὶ προτιθέναι Πλήθωνα, μὴ ὅτι γε Ἀριστοτέλους, ἀλλ' οὐδ' ἡμῶν αὐτῶν· σύνισμεν γὰρ ἡμῖν αὐτοῖς ὀλίγα εἰδέναι, ἀλλ' οὐχ ὁπόσα αὐτὸς εἰδέναι ἡμᾶς ἀποφαίνεται, καίτοι μηδεμίαν ἡμῶν πεῖραν ἐν ὁτῳοῦν εἰληφώς, μήτ' ἴσως δυνάμενος ἔχειν, οὐθ' ὁπόσα αὐτὸς εἰδώς, καὶ τὰ δῆλα τοῖς ὁπωσοῦν εἰδόσιν ἠγνόηκεν. Ἂν δὲ καθάπερ ᾤετο σεμνύναι ἂν ἑαυτὸν ταῖς κατ' Ἀριστοτέλους βλασφημίαις, οὕτω καὶ ἡμῶν ἢ συκοφαντεῖν, ἢ ἀμαθαίνειν, ἢ μηδὲν περαίνειν ἤ τι τῶν τοιούτων καταψεύσηται, πρὸς μὲν τοὺς οὐκ εἰδότας κρίνειν ἴσως τι τῆς τοιαύτης θρασύτητος ἀπολαύσεται, σοφοῖς δὲ καὶ τῶν κατ' ἐμοῦ λόγων δώσει δίκην, ὥσπερ τῶν κατ' Ἀριστοτέλους ἔμοιγε νῦν. Ἐμοὶ δὲ καὶ ἀρκέσει μετ' Ἀριστοτέλους ὑπὸ τοιούτου ὑβρίζεσθαι, ἂν μήτ' ἐμοί, μήτε τινὶ τῶν ὑπ' ἐμοῦ καὶ Ἀριστοτέλους ὠφελημένων μέλλῃ διδόναι δίκας.

Οἷον δέ ἐστιν αὐτοῦ καὶ τὸ ἀπειλεῖν τὸν βουληθέντα ἂν ἀντειπεῖν, ζῶντι τοῦτ' αὐτῷ πράττειν· οἱ γὰρ τὸ βιβλίον κεκομικότες καὶ τοιαύτην τινὰ ἀπειλὴν αὐτοῦ περιᾴδουσιν· εἰ μὲν γὰρ οἴεται ἀδικηθῆναι γ' ἂν οὕτω, πῶς οὐχὶ καὶ αὐτὸς πρότερος ἀδικεῖ, ἐπεμβαίνων Ἀριστοτέλει κειμένῳ; Πρὸς δὲ τούτῳ, εἴ γε μὴ τὰς τῶν ἀπαιδεύτων ἀλλὰ τὰς τῶν σοφῶν ψήφους τοῦ παντὸς ἀξίας ἡγεῖται, ἅπαντες σοφοὶ καλῶς μὲν λέγοντι, καὶ τεθνεῶτι, προσκείσονται, ὥσπερ αὖ τοῦ τἀναντία λέγοντος, καὶ σιγῶντος αὐτοῦ, καταψηφιοῦνται· φαύλως δὲ ἠγωνισμένου κατ' Ἀριστοτέλους, καὶ μηδενὸς ἂν ἀντειπόντος, νῦν τε καὶ ἐς τὸν μετὰ ταῦτα χρόνον καταγελάσονται· πολλῷ δὲ μᾶλλον εἰ συμβαίη αὐτὸν μηδ' ἐλεγχόμενον ὑπό του βελτίω γίνεσθαι· ἀλλ' ἦ που νενόμικεν ἀφέξεσθαι αὐτοῦ πάντας διὰ τὴν ἀπειλήν, καὶ ἀπεσχόμην ἂν ἔγωγε ὀλιγωρῶν, εἰ μὴ φθάσας ἐνεδεδέμην ταῖς ὑποσχέσεσιν· εἰ δὲ καὶ δέδιε μήποτε τὰ ὕστερα κρατήσῃ τῷ ὕστερα f. 102v εἶναι, | τὰ ἀδεᾶ δήπου δέδιεν· οὔτε γὰρ αὐτῷ περὶ τῶν οἰκείων, οὔτ' ἐμοὶ περὶ τῶν ἐμαυτοῦ λόγων κριτῇ χρηστέον ἂν εἴη· ἀλλ' ἕτεροι περὶ τοῦ ὁπότερα τούτων ἐπαινετέα εἴη, τὴν ψῆφον οἴσουσι· τούτου γὰρ χάριν οὔτ' ἐγὼ δέδιά τι τοιοῦτον, οὔτ' ἀπειλῶ· ἀλλ' ἀντιλέγοντι μὲν καὶ πρὸς ταῦτα Πλήθωνι ἀντειπεῖν προθυμήσομαι πάντως, καὶ Ἀριστοτέλει τε καὶ ἐμαυτῷ συνειπεῖν, οὐδὲ μετά τινος φειδοῦς, ὅπερ ἔφθην εἰπών· ἂν δὲ μήτ' ἐμοὶ ἐκγένηται, μήτ' ἄλλος τις τῶν Ἀριστοτέλει καὶ ἐμοὶ προσεχόντων τοῦτ' ἐθελήσῃ ποιεῖν, ἀλλ' ἔμοιγε ἡ τῶν σοφῶν ἁπάντων ψῆφος ἀρκέσει· οὓς ἐμοί τε καὶ Ἀριστοτέλει θησομένους αὐτὴν οἶδα καλῶς,

---

2 *πρὸς αὐτὸν* om M 5-6 *ἐνὶ ὅτῳ οὖν* M 9 *συμπεραίνειν* D 14 *μέλῃ* M 15 *τῷ βουληθέντι* M 16 *καὶ* avant *ζῶντι* add M 17 *γ'* om M 21 *τοῦ* om M 23 *εἰς* M 25 *ἥν που* M 33 *ὥσπερ* M 34-35 *προσχόντων* M

οὐδένα δὲ Πλήθωνι· εἰ δὲ πάντων ἀνθρώπων ἀξιοῖ σοφώτερος εἶναι, φρονοῦντι μὲν πᾶσιν ὁμοίως σοφοῖς, ἔστι δ' ἃ καὶ οἴκοθεν ἐφευρίσκοντι, συγχωρήσαιμεν ἂν αὐτῷ τοῦτο ῥᾳδίως· ἅπασι δὲ ἀντιβαίνοντι σοφοῖς οὐκ ἄν ποτε τοῦτο δοίημεν, εἰ μὴ καὶ τοὺς μαινομένους φρονιμωτέρους πάντων ἀνθρώπων φήσομεν εἶναι, ὅτι αὐτοὶ ἀξιοῦσιν οὕτως ἔχειν, ἐν αὐτῷ δήπου τῷ μαίνεσθαι.

Ταῦτα μὲν πρὸς τὰ πεφροιμιασμένα τε καὶ ἠπειλημένα Πλήθωνι· τὰ δὲ ἑξῆς οὐ πρὸς Πλήθωνα μᾶλλον ἔσται ἢ πάντα καὶ ὁντινοῦν τοιαύταις δή τισιν ἀμφιβολίαις περὶ τῶν Ἀριστοτέλους θραττόμενον· ὅθεν οὔτε φορτικόν τι ὁ λόγος ἕξει, πλὴν ὅτε πᾶσα ἀνάγκη, οὔτε πάντα διερευνήσεται τὰ ἐς Πλάτωνά τε καὶ ἐς ἀλήθειαν ἀνενηνεγμένα κακῶς ὑπ' αὐτοῦ ἢ ἐς Ἀριστοτέλη συνεσκευασμένα ἐπὶ διαβολῇ, ἀλλὰ τῶν καιριωτέρων τε καὶ διὰ βραχέων τὰς ἐξετάσεις ποιούμενος, ὅμως περὶ ἑκάστου τῶν αἰτίαν δοκούντων φέρειν Ἀριστοτέλει τὴν ἀληθῆ ψῆφον ὡς οἷόν τε ἔσται ἐξενηνοχώς· ᾧ δ' ἂν ἐπιθυμία γένοιτο τἀκριβὲς περὶ τούτων διὰ πλειόνων εἰδέναι, ἐν τοῖς εἰς τὰ Ἀριστοτέλους ἡμῶν ὑπομνήμασιν ἱκανῶς ἐκπλῆσαι τὸν πόθον δυνήσεται· ἐκεῖ γὰρ οὐ περὶ τοσούτων μόνων, ἀλλὰ περὶ πολλῶν ἄλλων ζητοῦντες, ἃ δόξειεν ἂν ἐξαίφνης Ἀριστοτέλης ἀπεοικότα ταῖς κοιναῖς τῶν σοφῶν δόξαις καὶ ἑαυτῷ ἀσύμφωνα | ἀξιοῦν ἅμα τε Ἀριστο- f. 103
τέλει καὶ τῇ ὀρθῇ γνώμῃ ἀμύνομεν. Νῦν δ' ὅσα Πλήθων εὐθύνει, περὶ τοσούτων μόνον διαλεγόμεθα.

Τὴν μὲν οὖν τῶν ζητημάτων τάξιν οὐκ ἀμείψομεν, οὔτε τῶν πρὸς ἕκαστον ἐπιχειρημάτων αὐτοῦ σχεδόν· ἀλλὰ τοῦ σαφοῦς χάριν καὶ ἀτάκτως ἔχουσιν ἐφεψόμεθα· τὰ δ' ἐπιχειρήματα αὐτοῦ, ὡς ἂν μάλιστα σαφῆ τε εἴη καί τινος ἀνάγκης μετέχειν εὐθὺς δόξειε, τῶν μὲν περιττῶν ἀφαιρουμένων, ὧν δὲ ἐνδεᾶ εἰσι προστιθεμένων, οὕτως ἐκθήσομεν· ἅμα δὲ καὶ ἡμεῖς τὴν ἀπορίαν μείζω ποιοῦντες, προσεπιχειρήσομέν τι οἴκοθεν ἔν τισι τῶν ζητημάτων, ὡς ἂν μήτ' αὐτός, μήτ' ἄλλος τις ἡμᾶς οἰηθῇ, διὰ τὸ μὴ δύνασθαι ἐν οὐδενὶ ἀντιλέγειν Ἀριστοτέλει, καὶ πείθεσθαι ἐν οἷς ἥκιστ' ἐχρῆν. Σοὶ δὲ συμβουλεύω, κράτιστε ἡγεμών, μηδενὶ πείθεσθαι παρὰ τὰς κοινὰς τῶν σοφῶν δόξας ἁπάντων ὁτιοῦν ἀποφαινομένῳ καὶ δόξαν ἑαυτῷ σοφίας παρὰ τῶν ἀπαιδεύτων οὕτω συλλέγοντι, καὶ κριτῇ δὲ ὧν ἀντιλέγω Πλήθωνι, μήτ' αὐτῷ μήτ' ἄλλῳ τινὶ τῶν ὁμοίως ἠπατημένων χρῆσθαι, ἀλλ' αὐτῷ Ἀριστοτέλει καὶ Πλάτωνι καὶ τοῖς αὐτοὺς νῦν μετιοῦσι σοφοῖς ἀκριβῶς· γέμει δὲ τοιούτων ἡ ἑσπέρα· καὶ σοὶ δὲ αὐτῷ πρὸ πάντων, καλῶς τε τὰ Πλάτωνος καὶ Ἀριστοτέλους εἰδότι καὶ εὐφυΐᾳ πολύ τι δὴ ὑπερβάλλοντι Πλήθωνα, ὥστε καὶ ὀρθό-

7 *προφροιμιασμένα* M 12 *συνεψευσμένα* M 15 *τούτου* M 16 *ὑπομνήματα* M 17 *περὶ τούτων* M 18 *ἂν* om M 19 *τῶν σοφῶν* om M 23 *ἕκαστον τῶν* M 30 *ἡγεμών*: *βασιλεῦ* D

τερον ἐκείνου δύνασθαι κρίνειν οὐδὲν ἧττον ἢ τῶν ἄλλων ἀνθρώπων ἐν πᾶσι πράγμασι· μηδὲ πιστεύειν Πλήθωνι, ὅτι Πλάτωνι σύμμαχος γινόμενος Ἀριστοτέλη διαβάλλει· οὐδὲ γὰρ Πλάτωνα αὐτὸν οἶδε καλῶς· ἀλλὰ τοῦτο μὲν Πάτροκλός ἐστιν· ἃ δὲ καὶ περὶ τῶν μειζόνων κεκαινοτόμηκεν· ἐρρύη γάρ, ὡς οἶσθα, καὶ περὶ τούτου λόγος πολύς· ἤλπισεν αὐτῷ πεισθήσεσθαι πάντας, ἀξιώματός τι προσειληφότι ἐκ τοῦ τολμῆσαι καὶ Ἀριστοτέλη αὐτὸν ἐλέγξαι, καίτοι ἀνθρώπων πάντων σοφώτατον γεγονότα. Μήτε οἴου πρῶτον αὐτὸν τὰ τοιαῦτα ἐνθυμηθῆναι κατ' Ἀριστοτέλους· πολλοῖς γὰρ ἐπὶ νοῦν f. 103v ἦλθε ταῦτα καὶ ἐν τῷ προτοῦ χρόνῳ, | καὶ πολλῷ βέλτιον ἢ αὐτὸς ἐν τῷ αὐτοῦ συγγράμματι περὶ τούτων ἐπραγματεύσαντο, πλὴν ὅτι μὴ τὴν ἐνέργειαν ἐνέργιαν ᾔδεσαν εἰπεῖν, ὥσπερ αὐτός, τά γε ἐς γραμματικὴν ἀναλογίαν ἄριστος ὤν, ὡς δὴ τοῦ ἐνεργοῦ τε οὖσαν καὶ ἐν αὐτῷ.

Ὅσοις δὲ ἐπῆλθεν Ἀριστοτέλη συκοφαντῆσαι καὶ πρὸ αὐτοῦ, οὗτοι τῷ ἀσαφεῖ τῆς φράσεως ἐξηπάτηνται, πράγματι πρός τε φιλοσοφίαν καὶ τοὺς μετιόντας λυσιτελεστάτῳ, οὐκ ἐπὶ τῷ συγκαλῦψαί τινα ἀσθένειαν, ὡς αὐτὸς διαβάλλει, σεσοφισμένῳ· οἷς ἀνομοίως ἕτεροι, δικαίως τε ὁμοῦ καὶ φρονίμως ἀκηκοότες Ἀριστοτέλους, τῇ κατὰ τὴν λέξιν δυσχερείᾳ πρὸς μείζω τοῦ ἀνδρὸς μὲν εὐφημίαν, σφῶν δὲ αὐτῶν ἄσκησιν περὶ τὰ τῶν μαθημάτων τελεώτατα ἀπεχρήσαντο· καὶ οἶμαί γε ὠφεληθῆναι ἂν πάνυ καὶ αὐτὸν Πλήθωνα, εἰ ξυμβαίη τούτῳ, ἀκοῦσαί του τῶν Ἀριστοτέλη προϊσταμένων ἀναπτύσσοντος τὴν συγκεκαλυμμένην ἐκείνου σοφίαν, ὡς ἂν ἄριστά τε καὶ ἀληθέστατα ἀναπτύσσοιτο· ἢ καὶ Πλάτωνα αἰτιῷτό τις ἂν ἐν πολλοῖς, μεταφοραῖς τισι καὶ τύποις τὰ δόγματα ἐπικαλύπτοντα, εἰ βούλοιτο ἐπὶ τὸ χεῖρον ἀκούειν, καὶ οὐ μόνον ἐς ἐπιστήμην, ἀλλὰ καὶ ἐς ἀρετὴν καὶ φύσιν παρανομεῖν τῳ δόξειεν ἂν τῇδέ πῃ σκοπουμένῳ· ἀλλ' αὐτός τε Πλήθων δικαίως Πλάτωνι χρῆται καὶ ἡμεῖς οὕτω χρώμεθα· καίτοι τὸ μὲν ἀσαφὲς Ἀριστοτέλους, σοφῷ, τὸ δὲ Πλάτωνος ἐπικεχρωσμένον, ποιητῇ μάλιστα, ὡς ἂν μὴ λέγω χείρονι ἐπιτηδεύματι, πρέπον ἐστὶν εἰπεῖν· οὔτ' οὖν διὰ τοῦτο Πλάτωνος ὀλιγωροῦμεν ἢ συκοφαντεῖν προαγόμεθα, οὔτε δι' ἅ φησι καθάπαξ ἄμοιρα ἀληθείας, φαύλως πεφιλοσοφηκέναι τοῦτον ἀποφαινόμεθα, καὶ γελοῖόν τι ἢ μειρακιῶδες φρονῆσαί τε καὶ εἰπεῖν· χαλεπὸν γὰρ ἦν καὶ αὐτῷ Πλάτωνι καὶ παντὶ ἀνθρώπῳ μετ' Ἀριστοτέλους αὐτὴν λαβεῖν τὴν τῶν ὄντων ἀλήθειαν, καὶ νῦν δὲ οὐχ ἧττον χαλεπόν ἐστι· καὶ ῥοπῇ γάρ τινι τῆς θελήσεως, οὐ νῷ μόνῳ ζητοῦμέν τε τἀληθὲς καὶ αἱρούμεθα· ὃς διὰ τοῦτο οὐ θέλει μόνον ὅ, τι ἂν φθάσειε f. 104 νοήσας, | ἀλλὰ καὶ πρὸ τούτου νοεῖν βούλεται ὅ, τι ἂν νοήσειεν· ὅλως τε οὐδὲ σύνεστι τῇ οὐσίᾳ τοῦ ἀνθρωπείου νοῦ τὸ νοητὸν ἀληθές, ἀλλὰ δεῖ μὲν αὐτὸ ζητεῖν· ζητοῦντα δὲ οὐδὲν ἀδύνατον ἔσθ' ὅπου καὶ ἁμαρτάνειν.

---

4 ἅ: ὅ M   11 ᾔδεσαν: *οὖσαν* M   20 *Ἀριστοτέλους* M

Ἀλλὰ περὶ μὲν τούτων ἄλλος ἂν εἴη λόγος· νῦν δ' ἐκεῖνά τέ σοι συμβουλεύω, κράτιστε ἡγεμόνων, καὶ πρὸς τούτοις, εἰ μὲν Πλήθων ἐφησυχάσει τοῖς πρότερον εἰρημένοις, καὶ αὐτῷ καθ' ἑαυτοῦ δικαστῇ χρῆσθαι· δῆλον γὰρ ἐξ ὧν ἠπείλησεν ἀντερεῖν, ὅτι τῆς ἀληθείας ἡττηθεὶς σιωπήσεται, ἢ τῆς μὲν αὐτῆς καὶ αὖθις ἐχόμενος γνώμης, μὴ δυνάμενος δὲ περαιτέρω ταύτῃ συνηγορεῖν. Εἰ δ' ἐπαγωνιεῖται καὶ δεύτερον ἆθλον κατ' Ἀριστοτέλους καὶ τῶν ἐμῶν τουτωνὶ λόγων ἐνστήσεται, καὶ οὕτω τῶν πρόσθεν αὐτῷ συγγεγραμμένων καταφρονεῖν· ὡς γὰρ ἡττημένος λοιπὸν ἀναμάχεσθαι καὶ δὶς παλαίειν πειράσεται· νικῶντα δὲ καθάπαξ ἐχρῆν τε ἂν ἀρκεῖσθαι τοῖς προτέροις ἀγῶσι, καὶ ἕως ἂν δι' ἐκείνων κρατεῖν δύναιτο, χρῆσθαι τῇ νίκῃ, καὶ μὴ τῇ τῆς τύχης ἀδηλίᾳ συγκινδυνεύειν· τῶν μὲν οὖν πρόσθεν αὐτῷ συγγεγραμμένων διὰ ταῦτα χρή σε καταφρονεῖν· ὑπὲρ δὲ ὧν μέλλει συγγράφειν μηδεμίαν ψῆφον ἐκφέρειν, ἕως ἂν κἀκείνων τοῖς τῆς ἀληθείας καθικώμεθα βέλεσιν. Οὐδεμία γὰρ μηχανὴ τοὺς Ἀριστοτέλει καὶ ἀληθείᾳ τολμῶντας προσκρούειν τῶν αὐτοῖς ἀμυνόντων ἰσχυροτέρους ποτὲ φαίνεσθαι, κἂν πολλάκις τοῦτο τολμῷεν.

Ἴσθι δὲ ἐπὶ πᾶσι καὶ τοῦτο, σοφώτατε ἡγεμών, ὅτι τοῖς ὑπὲρ Ἀριστοτέλους ἐν τῷδε τῷ βιβλίῳ σύμπασι λόγοις καὶ ἀληθέσιν οὖσιν οὐδέν ἐστι χαλεπὸν ἐνοχλεῖν. Ἔστι γὰρ πρὸς πάντα λόγον ἐνστῆναι καὶ πιθανῶς τι κατὰ παντὸς λόγου καὶ πάσης δόξης εἰπεῖν. Ὅθεν εἴ τις ἠξίου με γυμνασίου χάριν διαλεχθῆναι καὶ κατὰ τοῦδέ μοι τοῦ συγγράμματος, ῥᾳδίως ἂν αὐτῷ τοῦτ' ἐχαρισάμην εὐθύς, καὶ διειλέχθην ἂν οὕτως, ὥστε λύσιν τοῖς Ἀριστοτέλει προσκειμένοις ἅπασι παρασχεῖν, πειρωμένοις λύειν ἐκεῖνα. | Ἀλλὰ νῦν οὐ πρὸς τὸν ἔξω λόγον, ἀλλὰ πρὸς αὐτὴν ἀλήθειαν f. 104v τὰς Πλήθωνος ἀπορίας ἐπ' Ἀριστοτέλει λύομεν, τοσοῦτον εὐφημίας ἀποδιδόντες αὐτῷ, ὅσον αὐτὸς Ἀριστοτέλει, σοφῶν ἁπάντων ἐξόχῳ γεγενημένῳ δεῖν ᾠήθη διδόναι. Ἂν οὖν καὶ Πλήθων τι πρὸς τοὺς λόγους τούτους εἴπῃ, ἀληθὲς μὲν εἰπεῖν ἀδύνατον κατὰ ἀληθῶν, ἅμα δὲ καὶ παρὰ πόδας ὑποστήσεται τοὺς ἐλέγχους· σοφιστικὰ δὲ ἐρεῖ μὲν καὶ πολλά, ἀλλ' οὐδὲν μέγα πεποιηκὼς ἔσται, εἰ μὴ καὶ χείρων τῆς περὶ αὐτοῦ δόξης φανεῖται, ὡς μηδὲ σοφίζεσθαι πάνυ δυνάμενος, ὥσπερ οἷς τούτου μέλει μετ' ἐπιστήμης. Τὸ δὲ μηδὲ λόγου χάριν, ἀλλ' οὕτω καὶ οἰόμενον ἔχειν τοῖς τοιούτοις χρῆσθαι σοφίσμασι, πόσην ἂν αὐτῷ τὴν ἀδοξίαν φέροι δικαίως; Ἂν δὲ Πλήθωνος ὁπωσποτε σιωπῶντος, ἄλλος τις ἐνοχλεῖν τοῖς λόγοις τούτοις τολμήσειεν, ἡμεῖς μὲν σιωπησόμεθα πρός γε ἐκεῖνον καταφρονοῦντες· ἴσως

---

2 *ἡγεμών*, correction d'une autre encre D 3 *χρήσεται* M 14 *Ἀριστοτέλους* M 15 *ἀληθείας* M 17 *ἡγεμόνων*, corr. d'une autre encre D 20 *τι*: *τὰ* M 22 *διηλέχθην* M 24 *τὴν* add après *αὐτὴν* M 26 *γεγεννημένῳ* M 28 *παραπόδας* AD 29 *μὲν ἐρεῖ* M 30 *περὶ* om M 31 *τοῦτο* M 33 *εὐδοξίαν* M 35 *τολμήσῃ* M

δὲ οὐδὲ δυνησόμεθα τότε πραγμάτων ἄλλων φροντίζοντες· αὐτὸς δὲ κριταῖς πᾶσι τοῖς νοῦν ἔχουσιν ἢ τῶν Ἀριστοτέλει προσκειμένων ἀπερρωγέναι δόξει καθάπαξ καὶ τὴν αὐτὴν ὑποσχεῖν πλάνην Πλήθωνι, ἂν τῷ ὄντι Πλάτωνος ὑπεραγωνίζηται, ἢ λόγου χάριν τοσοῦτον ὑφιστάμενος πόνον, δείξει μὲν ὑπό τινος πάθους φαύλου τῶν ἀνθρωπίνων κεκινημένος, πρὸς δὲ τὴν ἰδίαν δόξαν πρᾶγμα ἥκιστα λυσιτελοῦν ὑποστήσεται· οὔτε γὰρ ὡς ὑπὲρ ἀληθείας πεπονηκότι χάριν αὐτῷ τις εἴσεται, οὔτε διὰ τὸ λόγου ἕνεκα ἀντειπεῖν σοφώτερος εἶναι δόξει. Ἐγὼ γὰρ ὑπὲρ μὲν Ἀριστοτέλους καὶ ἀληθείας αὐτῆς οὐδενὶ Ἑλλήνων, οὔτε τῶν παλαιοτέρων, οὔτε τῶν ἐπ' ἐμοῦ, τοσαῦτά τε καὶ τοιαῦτα πεπραγματευμένῳ σύνοιδα, καίτοι πολλῷ ἐλάττω τῆς ἡμετέρας εἰσὶν ἕξεως, ὡς δὴ τῶν Πλήθωνος ἀποριῶν καὶ τοῦ καιροῦ καὶ τῆς παρούσης σχολῆς οὔτ' ἀπαιτούντων, οὔτε συγχωρούντων τὰ μείζω· λόγου δὲ ἕνεκα οὐ τούτοις μόνον ἀντείποιμ' ἂν οὕτω ῥᾳδίως ὥσπερ ἐν παιδιᾷ, ἀλλὰ καὶ παντὶ ἀληθεῖ, εἴ γε προὔργου μοι εἴη παίζειν. :~

Livre premier.

f. 105 | Πρῶτον μὲν οὖν φησι Πλήθων μὴ δοξάσαι Ἀριστοτέλη τὸν πάντων βασιλέα Θεὸν δημιουργὸν τοῦ παντὸς εἶναι, ἀλλὰ τοῦ οὐρανοῦ μόνον κινητικόν. Εἰ γὰρ ἐδόξαζε, φησίν, οὕτω, κἂν εἶπέ που· ἄλλως γὰρ φαύλως ἂν ἐφιλοσόφει, περὶ μὲν μικρῶν τινων πραγμάτων ἐν τῇ φύσει πολυπραγμονῶν, τὰ δὲ μέγιστα ἀποσιωπῶν· καὶ τὸ μὲν μέγιστον τοῦ Θεοῦ ἔργον σιωπῇ παριείς, τὸ δὲ πολὺ ἔλαττον τούτου σεμνύνων. Εἰ δὲ τοῦτο οὐδεὶς ἂν τῶν Ἀριστοτέλει προσκειμένων συγχωρήσειεν, οὐκ εἶπε μὲν διὰ τὸ μηδὲ δοξάζειν οὕτω· μὴ δοξάσας δέ, καὶ ἔτι πολὺ φαυλότερός ἐστιν ἄλλον τρόπον οὐ πάντων φιλοσόφων μόνον, ἀλλὰ καὶ ἁπλῶς τῶν τὰ βελτίω φρονούντων ἀνθρώπων ἐν τῇ περὶ τοῦ θείου δόξῃ ἀπολειφθείς.

Ὅτι δὲ κινητικὸν τοῦ οὐρανοῦ λέγει τὸν Θεὸν Ἀριστοτέλης κατὰ τόπον, οὐχ ὡς ἄν τις εἴποι παραγωγὸν καὶ ποιητικόν, ὃ Πλήθωνι τὸ δημιουργὸν βούλεται, ὁ Πλήθων οὐκ ἀποδείκνυσιν.

Ἔτι, ὅπου τίθησιν Ἀριστοτέλης τὸν Θεὸν αἴτιον τελικὸν εἶναι καὶ τέλος πάντων, εἶπεν ἂν αὐτὸν καὶ δημιουργόν, εἴπερ οὕτως ἐφρόνει. Καίτοι γε οὐδ' ἐκεῖνο σεμνῶς πάνυ λέγει· δοκεῖ γὰρ οὐ τοῦ εἶναι οὐδὲ τῆς οὐσίας ἑκάστων, ἀλλὰ τῆς κινήσεως μόνης τέλος αὐτὸν τίθεσθαι. Ὅτι μὲν οὖν τῆς κινήσεως τέλος αὐτὸν τίθεται, ἀληθῶς λέγει ὁ Πλήθων· ὅτι δὲ μόνης τῆς κινήσεως, καὶ ὅτι οὐ τοῦ εἶναι καὶ τῆς οὐσίας, οὐκ ἀποδείκνυσιν.

Ἔτι καὶ ἐξ ὧν φησιν Ἀριστοτέλης ἐν ια' τῶν Μετὰ τὰ φυσικά,

1 *κριταῖς: καὶ τοῖς* M 5 *δόξει οὲν* M 10 *τοιαῦτα πραγματεύσασθαι βουληθέντι σύνοιδα* D 19 *οὕτως, καὶ* M 26 *περὶ* om M 27 *κινητικὸν: οὐ ποιητικόν* M 28 *Πλήθωνι: Πλάτωνι* D 32 *ἐκεῖνο: τοῦτο* D *γὰρ αὐτοῦ εἶναι* M 36 *ια': ιδ'* (?) A

τοῦτο δῆλόν ἐστι. Φησὶ γὰρ ἐκεῖ· „Ἄτοπον δὲ καὶ τὸ γένεσιν ποιεῖν ἀϊδίων ὄντων· μᾶλλον δὲ ἕν τι τῶν ἀδυνάτων.“ Ἐξ οὗ δῆλός ἐστιν Ἀριστοτέλης, ὥσπερ καὶ ἄλλοι ἴσως τινές, τῇ κατ' αἰτίαν γενέσει καὶ τὴν χρονικὴν ἐξ ἀνάγκης ἕπεσθαι δοξάζων. Οὕτω δηλονότι, ὥστε πᾶν τὸ ἀπ' αἰτίας ὂν καὶ ἄρχεσθαί ποτε γίνεσθαι, καὶ τὸ μὴ χρονικὴν ἀρχὴν ἔχον μηδὲ αἰτίαν ἔχειν ἑαυτοῦ προακτικήν. Εἰ τοίνυν κατ' Ἀριστοτέλη ἐν τῇ περὶ οὐρανοῦ τὸ πᾶν τοῦτο ἀΐδιόν ἐστιν, αὐτὸς δέ φησιν ἀδύνατον γένεσιν εἶναι τῶν ἀϊδίων, ἕπεται, κατ' αὐτὸν Ἀριστοτέλη, μὴ εἶναι γένεσιν τοῦ παντός· ὥστε μηδὲ δημιουργόν τινα αὐτοῦ εἶναι· τουτέστιν | αἴτιον f. 105v καὶ παραγωγόν.

Ὅτι δὲ εἰ μὴ γένεσίς ἐστι τοῦ οὐρανοῦ, οὐδὲ αἰτία τίς ἐστιν αὐτοῦ παρακτική, ὁ μὲν Πλήθων οὐκ ἀποδείκνυσιν· Ἀριστοτέλης δὲ φαίη ἂν ἐν τούτῳ μάλιστα γενέσθαι Πλήθωνι τὴν ἀπάτην. Δεῖ δὲ θεωρεῖν, ὡς ἐν τῷ ἐπιχειρήματι τούτῳ τινὰς τοὺς χριστιανοὺς ἡμᾶς αἰνιττόμενος, ἐκ Μωσέως τὴν δόξαν ταύτην παρειληφότας, σύμφωνόν που τῇ χριστιανικῇ πίστει καὶ αὐτὸς ἀποφαίνεται τὸν Ἀριστοτέλη, ὡς ἡμεῖς ἐν προοιμίοις ἰσχυρισάμεθα, ὥστε καὶ εἰ κακῶς ἐν τούτῳ δοξάσαι φησὶν Ἀριστοτέλη μετά τινων ἄλλων, καὶ ἡμῖν τὴν αὐτὴν ἐπάγει μέμψιν· ἡμεῖς γάρ ἐσμεν οἱ δοξάζειν δοκοῦντες, ὅτι τῇ κατ' αἰτίαν γενέσει καὶ ἡ χρονικὴ ἕπεται, οἳ κατὰ Μωσέα γένεσίν τινα τοῦ παντὸς χρονικὴν τιθέμεθα· οὗ τὸ ἐναντίον Πλάτων τε καὶ οἱ τὰ ἐκείνου σέβοντες στέργουσι. Καίτοι γε Ἀριστοτέλους ἡμεῖς διῃρήμεθά πῃ ἐν τούτῳ, δοθέντος ταύτης εἶναι τῆς δόξης Ἀριστοτέλους. Ἐκεῖνος γὰρ εἰ φανείη δοξάζων μὴ εἶναι γένεσιν εἴτουν παραγωγὴν ἀπ' αἰτίας τῶν ὄντων, δόξειεν ἂν προϋποτιθέναι τῇ ἀπ' αἰτίας γενέσει τὴν χρονικὴν ἀρχήν. Ὥστε τῆς χρονικῆς ἀρχῆς ἀδυνάτου φαινομένης αὐτῷ, διὰ τοῦτο καὶ τὴν ἀπ' αἰτίας γένεσιν αὐτὸν ἀναιρεῖν· ἡμεῖς δέ, οὐ δή που διὰ τὸ προϋποτιθέναι τῇ ἀπ' αἰτίας γενέσει τὴν χρονικὴν ἀρχήν, ἄρξασθαί ποτε τὴν τοῦ παντὸς γένεσιν φρονοῦμεν, ἀλλὰ διότι οὕτως ἡμᾶς τὰ θεῖα διδάσκει λόγια, καὶ οὐδὲν ἀδύνατον ἕπεται· οὐδὲ γὰρ ἀνάγκη, εἰ ἀΐδιος ἡ αἰτία, καὶ τὸ ἀποτέλεσμα αὐτῆς ἀΐδιον εἶναι, ὡς ἐν τοῖς ἔμπροσθεν τοῦτο φανερὸν γενήσεται. Ἀλλὰ τοὐναντίον φαίνεται ἐξ αὐτῶν τῶν Ἀριστοτέλους λόγων μετ' ὀλίγα ἐκτεθησομένων.

Δεῖ τοίνυν εἰδέναι, ὅτι πρὸ Πλάτωνος οὐδεὶς τῶν φιλοσόφων περὶ τῆς πρώτης ἀΰλου καὶ ἀκινήτου τῶν ὄντων ἀρχῆς, οὔτε μὴν περὶ τῶν κεχωρισμένων οὐσιῶν, ἢ χωριστῶν, σαφές τι φάναι δεδύνηται, ἅτε πάντων περὶ τὴν ὑλικὴν ἀρχὴν καὶ τὴν ἐκ ταύτης τῶν ὄντων γένεσιν στρεφομένων, καὶ μέχρι τούτου τὴν θεωρίαν σφῶν ἐκτεινόντων· καὶ μέγα τι πρότερον

---

9 *μηδὲ*: *οὐδὲ* D 12 *πρακτική* M 15 *παρειληφότα* M 20 *τινες* avant *κατὰ* add D 21 *στέργοντες σέβουσι* M 22-23 *Ἀριστοτέλη* D

f. 106 ἐδόκει καὶ | ὡς Πλάτων φησὶν αὐτός, ὑπερήφανον ἱστορῆσαί τι περὶ φύσεως, τοσοῦτ' ἀπεῖχον περὶ τῶν ὑψηλοτέρων καὶ θείων ὁτιοῦν διανοηθῆναι. Ἀναξαγόρας δὲ μόνον καὶ Πυθαγόρας, τοῖς Αἰγυπτίων σοφοῖς συγγενόμενοι, πολλὰ παρ' Ἰουδαίων τῆς ἀληθείας μαθήματα δεξαμένοις, ἠδυνήθησάν τι ἐπέκεινα τῶν ἄλλων περὶ τῆς ἀφανοῦς τῶν ὄντων ἀρχῆς ἀποφήνασθαι· Πλάτων δὲ σπουδαιότατος τῶν πρὸ αὐτοῦ πάντων γεγενημένος καὶ ἅμα ἐκ τῶν Ἀναξαγόρου καὶ Πυθαγόρου ἀμυδράς τινας τῆς ὑψηλοτέρας ἀληθείας ἐμφάσεις δεξάμενος, πλεύσας εἰς Αἴγυπτον, ὡς Ἱερώνυμος λέγει καὶ Πλούταρχος καὶ πρὸ αὐτῶν Ξενοφῶν καὶ αὐτὸς δ' ὑπὲρ ἑαυτοῦ, ἐκεῖθεν πολλὰ τῆς ἱερᾶς ἀληθείας ἐδέξατο σπέρματα. Ἐδόκει γὰρ αὐτῷ μὴ τοσαῦτα μόνον εἰδέναι τοὺς ἀνθρώπους δύνασθαι, ὅσα ἂν ὑπ' ἀλλήλων ὠφεληθεῖεν, ἢ αὐτοὶ ἐπινοήσειαν οἴκοθεν, τῷ συμφυεῖ τῆς ἑαυτῶν διανοίας φωτὶ χρώμενοι, ἀλλὰ δύνασθαί τι καὶ ἱερὸν εἰς τὸν ἀνθρώπινον καταπέμπεσθαι νοῦν· ὅθεν οὐ μόνον Αἰγυπτίων τοιαῦτα ἀπώνατο, ἀλλὰ καὶ τοῖς παρ' Ἕλλησι ποιηταῖς αὐτός τε πολλὰ πείθεται καὶ τοῖς ἄλλοις οὕτω ποιεῖν συμβουλεύει, ὡς ἱερά τινα καὶ θεῖα προτιθεῖσι διδάγματα, Μουσαίῳ τε δηλονότι καὶ Λίνῳ περὶ τὰ Τρωϊκὰ γενομένοις, καὶ Ἡσιόδῳ καὶ Ὁμήρῳ ὕστερον τούτων ἀκμάσασι, καὶ Ὀρφεῖ γενεᾷ μιᾷ ταῦτα προειληφότι, καίτοι ἄνευ εἰκότων καὶ ἀναγκαίων λέγειν αὐτούς φησιν. Εἰ γοῦν καὶ ἔστιν οὗ τῶν ποιητῶν τούτων καταφρονεῖ, ἀλλὰ πολλάς τινας ἐκ τούτων φλυαρίας ἀναμαξάμενος, τῇ παρὰ τῶν Αἰγυπτίων ἐγκατέμιξεν ἀληθείᾳ· ἣν ἐχρῆν αὐτὸν ἀθόλωτον καὶ εἰλικρινῆ διασώσασθαι· Μωσέα μὲν ἀρχαιότερον εἰδότα τῶν παλαιοτέρων ποιητῶν πλεῖν ἢ χιλίοις ἔτεσι, τῆς δὲ ἐκείνου θεολογίας καὶ τῆς αὐτῶν φλυαρίας πολὺ τὸ διάφορον ἐγνωκότα, ἅμα δὲ καὶ τὴν παρὰ τῶν Αἰγυπτίων ἔχοντα μαρτυρίαν περὶ Μωσέως, οἳ τοῖς ἱεροῖς ἐσχόλαζον καὶ τοῖς νόμοις, ὡς Ἀριστοτέλης φησί,
f. 106v καὶ πᾶσιν Ἕλλησιν ἀρχέτυπά τινα τῶν τοιούτων κατέστησαν, | ὡς αὐτοὶ Ἕλληνες τοῦθ' ὁμολογοῦσιν. Εἰ δὲ καὶ Ἑλλήνων ἔδει τοῖς ποιηταῖς ἀκολουθεῖν πῃ, ἐν οἷς μάλιστα σύμφωνα λέγουσι Μωϋσεῖ καὶ τοῖς Αἰγυπτίων σοφοῖς, πολὺ τῇ τῶν δογμάτων λεπτότητι καὶ ἀκριβείᾳ αὐτοὺς ὑπερβάλλουσιν, ἐν τούτοις ἀκολουθεῖν ἐχρῆν, οὐκ ἐν οἷς ἐκείνων τὰ ἀπᾴδοντα καὶ ἀφ' ἑαυτῶν ἀπίθανα τερατεύονται.

Ἀλλ' εἴτε δεδιὼς τὰς ὑποψίας τοῦ ὑπερόριον σοφίαν ἐς Ἕλληνας μετακομίσαι, εἴτε καὶ βουλόμενος Ἑλληνισμόν τινα μεταπεπλασμένον ἐνστήσασθαι, εἴτε καὶ οὕτω κρίνων κακῶς, οὐ πάντα ἐπείθετο Μωϋσεῖ, ἀλλὰ τῷ καθαρῷ τῆς ἐκείνου θεολογίας πολλὰ τῶν ποιητικῶν συνεκέρασε λήρων, οὐκ ἂν εἴη ῥᾴδιον ἀποφήνασθαι. Τοῦτο μέντοι γε δῆλόν ἐστιν, ὅτι Πλάτωνι τὸ πρὸς τοὺς ἄλλους διαφέρον ἐν ταῖς περὶ τοῦ ὄντος γνώμαις

---

6 *δὲ*: *τε* D 28 *τοῦτο* D 29 *Μωσεῖ* D

καὶ αὐτοῦ Θεοῦ καὶ τῆς τῶν ὄντων παραγωγῆς ἐκ τῆς ἱερᾶς προσεγένετο τοῦ Μωσέως διδασκαλίας· ὡς δὲ καὶ τὰ περὶ τῆς ἀθανασίας τῆς ψυχῆς πρώτῳ Πλάτωνι διὰ Μωσέα βέλτιον ἢ τοῖς ἄλλοις ἀπ᾽ αὐτοῦ τε καὶ πρὸ αὐτοῦ φιλοσόφοις διώρισται· ὡς δὲ καὶ τὰ περὶ τῆς ἀϊδίου Τριάδος, ἥτις ἐστὶ τἀγαθὸν καὶ νοῦς καὶ ἡ τοῦ παντὸς ψυχή, ὡς Πλωτῖνος καὶ Νουμήνιος τὰ τοιαῦτα εἰς Πλάτωνα ἀναφέρουσι. Καίτοι περὶ μὲν ἀθανασίας ψυχῆς καὶ λόγους ἐνδόξους μὲν τοὺς πλείστους εἰσάγει, ἐνίους δὲ καὶ ἀποδεικτικούς. Περὶ δὲ τῶν ἄλλων τῷ οἰκείῳ ἀξιώματι χρῆται, αὐτὸς δήπου πρότερον τῷ τῶν εἰπόντων ἀξιώματι ἅμα δὲ καὶ τῷ φαινομένῳ εὐλόγῳ ὑπηγμένος.

Κατὰ μὲν δὴ τὴν ἱερὰν διὰ Μωσέως διδασκαλίαν, γενητός ἐστιν ὁ κόσμος καὶ ἄφθαρτος· γενητὸς μέν, ὅτι καὶ κατ᾽ αἰτίαν ὑπό τινος ὑψηλοτέρας αἰτίας γεγένηται, ὃ δηλοῖ τῷ εἰπεῖν· „Ἐποίησεν ὁ Θεός·“ καὶ κατὰ χρόνον, διότι ἐν τῇ ἀρχῇ τοῦ χρόνου γεγένηται. Τρία γὰρ ὁμοῦ γενηθῆναί φασιν οἱ τὸ Μωσέως ἀναπτύσσοντες γράμμα· τὸν οὐρανόν, τὴν σωματικὴν ὕλην, τῷ τῆς γῆς ὀνόματι δηλουμένην, καὶ τὸν χρόνον· οἷς οἳ μὲν τὴν ἀγγελικὴν προστιθέασι φύσιν· οἳ δὲ ταύτην πρὸ τῶν τριῶν ἐκείνων | παραχθῆναι λέγουσιν, ἐπεὶ σαφὲς οὐδέν τι διώρισται τῷ Μωσεῖ περὶ τῆς f. 107 τῶν ἀγγέλων δημιουργίας. Βέλτιον δὲ δοκοῦσι λέγειν οἱ λέγοντες ἅμα καὶ τοὺς ἀγγέλους δημιουργηθῆναι, εἴ γε καὶ ἐκ τοῦ προτέρους δημιουργηθῆναι τοῦτ᾽ αὐτὸ πάλιν ἕπεται· ἀδύνατον γὰρ αὐτοὺς δημιουργηθῆναι, κατὰ τὴν Μωσέως δόξαν, εἰ μὴ ἐν χρόνῳ, οὕτως, ὥστε τοὐλάχιστον ἐξ ἐκείνου τοῦ πρώτου νῦν ὅθεν ὁ χρόνος ἤρξατο, ἐκ τούτου καὶ τοὺς ἀγγέλους ἄρξασθαι· ὁ δὲ χρόνος μέτρον ἐστὶ τῆς κινήσεως τοῦ οὐρανοῦ. Ἐν ἀρχῇ δὲ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν ταύτην τε καὶ τὴν σύμπασαν ὕλην, ὡς εἴρηται. Ταύτῃ μὲν οὖν κατὰ Μωσέα γενητὸς ὁ κόσμος ἐστίν· ἄφθαρτος δέ, διότι τὰ τοῦ Θεοῦ κτίσματα ἀδύνατόν ἐστιν ἀποχωρεῖν εἰς τὸ μὴ ὄν· περὶ ὧν φησιν ὁ Μωϋσῆς εἰπεῖν τὸν Θεόν, „ὅτι ἰδοὺ καλὰ λίαν.“ Ἀπῆν γὰρ ἂν αὐτῶν ἡ τῆς ἀγαθότητος ὑπερβολὴ φθειρομένων, ἐν τῷ διηνεκῶς εἶναι καὶ διαμένειν μάλιστα φαινομένη. Ἀλλ᾽ εἰ καὶ ἔνια τούτων κατὰ τὸ οὐσιῶδες μεταβάλλουσιν εἶδος, ὃ τοῖς ἐν γενέσει καὶ φθορᾷ πᾶσι συμβαίνει, ἀλλὰ μένουσι κατὰ τὴν ὕλην. Τὰ δὲ ἄφθαρτα κτίσματα κατά τε τὸ οὐσιῶδες διαμένουσιν εἶδος καὶ κατ᾽ αὐτὴν τὴν ὕλην. Μεταβάλλουσι δὲ κατὰ τόπον, ὥσπερ τὰ οὐράνια σώματα. Τὰ δέ γε ἀσώματα ταῖς διαθέσεσι μεταβάλλει καὶ ταῖς ἐπιθυμίαις, καὶ οὕτω τῷ μὲν πάντῃ ἀμεταβλήτῳ τῆς σφῶν αἰτίας οὐκ ἐξισοῦνται· οὕτω γὰρ δεῖ αὐτὰ αὐτῆς ἐλαττοῦσθαι· τῷ δὲ μὴ ἀποχωρεῖν εἰς τὸ μηδαμῇ μηδαμῶς ὄν, ἀλλὰ μένειν πῃ εἰσαεί, ὁμοιοῦνται

---

2 *ἀθανασίας*: *ἀφθαρσίας* D 3 *Μωσέως* M 4 *Τριάδος* om M 10 *γεννητὸς* M passim 22 *εἶναι* au dessus de *ἄρξασθαι* add de la main de Scholarios D 24 *ξύμπασαν* D 32 *τὴν* om D

τούτῳ κατά τι, τῆς ἀναγκαίας τοῦ παντὸς τάξεως διάφορον ἐν σφίσι ποιούσης τὴν ὁμοιότητα ταύτην, ἑπομένως δὲ καὶ τὴν φύσιν κατὰ τὴν μᾶλλον ἢ ἧττον ἐγγύτητα πρὸς τὴν πρώτην αὐτῶν αἰτίαν· ἃ δὴ πάντα καὶ ἡ τοῦ ἄκρου Θεοῦ θεολογία τιθεῖσα διὰ τῆς ἡμετέρας φύσεως ἡμῖν ὁμιλήσαντος, ἐπεὶ οὐδεμία μηχανὴ ἦν αὐτὸν ἑαυτῷ ἀντιλέγειν, διὰ Μωσέως f. 107v τύπῳ τὴν ἀλήθειαν | προαγγείλαντι· ἐπεξεργαζομένη δὲ τὴν γνῶσιν τῆς ἀληθείας ἐν ταῖς ἡμετέραις ψυχαῖς, διδάσκει φρονεῖν ἡμᾶς, ὡς καὶ τὰ φύσει ἄφθαρτα τῶν κτισμάτων, εἴτε διὰ τὸ εἴδη μόνον εἶναι, εἴτε διὰ τὸ ὕλην ἔχειν ἀφθάρτοις εἴδεσι πρέπουσαν, ἀλλοίωσίν τινα ἐπὶ τὸ βέλτιον πείσονται, ἣν δὴ ἀπόληξίν τινα καὶ φθορὰν οὐ μᾶλλον αὐτῶν ἢ τῆς ἐν αὐτοῖς κρατησάσης ἕξεως ὁ ἱερὸς τίθησι λόγος.

Ταύτῃ τοίνυν τῇ ἱερᾷ τοῦ Μωσέως διδασκαλίᾳ Πλάτων ἑπόμενος, οὐ μὴν δ' ἀλλὰ καί τισι τῶν παρ' Ἕλλησιν ἐνθέων, ὡς αὐτοί φασι, ποιητῶν, γενητὸν εἶναι τὸν κόσμον τίθησι καὶ ὕλην αὐτῷ ὑποτίθησι παντὶ τὴν αὐτήν, οὐχ ἑτέραν μὲν οὐρανῷ, ἑτέραν δὲ τοῖς ἐν γενέσει καὶ φθορᾷ πράγμασι· καὶ ταύτην προηγήσασθαι λέγει τοῦ οὐρανοῦ οὐ κατ' ἐπίνοιαν, ἀλλὰ χρόνῳ δηλονότι καὶ ἀληθείᾳ, ὡς ἔσθ' ὅτε οὖσαν ἄνευ εἴδους καὶ τάξεως καὶ ἀρετῆς, ὕστερον δὲ ταῦτα προσειληφυῖαν, οὐ πάντῃ εἰλικρινῶς, ἀλλὰ μετά τινος πρὸς τὸ πλημμελές τε καὶ ἄτακτον ἐπιμιξίας· καὶ ἄφθαρτον δὲ αὐτὸν οὐ φύσει τίθησιν, ἀλλὰ τῇ τῆς ἀϊδίου ψυχῆς τῆς αὐτὸν κινούσης ἐπικρατείᾳ, καὶ ἔτι τῷ ἔργον Θεοῦ ὄντα ἀγαθὸν ἀρίστου μὴ δύνασθαι φθείρεσθαι, φύσει δὲ διαλυτὸν καὶ φθαρτὸν εἶναι. Τήν τε ὕλην αὐτὴν συγγενῆ φησι τῷ Θεῷ, καὶ οὐ χρόνῳ, ἀλλ' αἰτίᾳ μόνον ὑστέραν· καὶ τοιάδε τινὰ περὶ τοῦ κόσμου φησίν, τὰ μὲν συμφωνῶν Μωσεῖ, τὰ δὲ καὶ καθάπαξ ἀπᾴδοντα λέγων, καθόλου δὲ τῷ γενητὸν καὶ ἄφθαρτον λέγειν αὐτὸν ἐκείνῳ μάλιστά γε συνᾴδων, εἰ καὶ μὴ εἰς Μωσέα τὴν δόξαν ταύτην ἀνάγει φανερῶς οὑτωσίν, ὥσπερ οὐδὲ τὰς ἄλλας, αἳ τοὺς μὲν τῆς φιλοσοφίας θριγγοὺς ὑπερβαίνουσιν, εἴς τινας δὲ ἀληθεῖς ἀποκαλύψεις ἢ ψευδεῖς ἐνθουσιασμοὺς ἀναφέρουσιν, ἢ καὶ εἰς τὰς τῶν πολλῶν ὑπολήψεις οὐδὲ ταύτας τοίνυν τὰς δόξας εἰς τοὺς πρώτους εὑρετὰς αὐτῶν ἀναφέρει, ἀλλ' ἰδίας πάσας ποιούμενος, ξένην τινὰ καὶ ἀήθη φιλοσοφίαν οὕτω συνίστησιν, ἔκ τε τοῦ εὐλόγου καὶ τῶν ἀποκαλύψεων καὶ τῶν ἐνθου- f. 108 σιασμῶν καὶ τῶν ἀλόγων ὑπολήψεων | αὐτὴν συντιθείς, ἐξ ἁπάντων τὰ δόξαντα ἐκλεξάμενος.

Ἀριστοτέλης δέ, ὁμιλητὴς γενόμενος Πλάτωνος, οὐκ ἀπὸ τῆς αὐτῆς τῷ διδασκάλῳ γνώμης πρὸς τὴν τῆς φιλοσοφίας ἐπιμέλειαν ἦλθεν. Καίτοι γὰρ Πλάτωνι χάριν εἰδώς, ἅτε συνεργῷ γενομένῳ πρὸς τὴν θεωρίαν τῆς ἀληθείας, τοῦτο μὲν ἐξ ὧν καλῶς τε καὶ ἀληθῶς πεφιλοσόφηκεν ἀφορμὰς

---

14 *μὲν* après *ὕλην* add D 30 *τὰς τοιαύτας τοίνυν δόξας* D

δεδωκότι τῆς ἀληθείας, τοῦτο δὲ καὶ ἐξ ὧν ἐπλανήθη ἀφορμὰς γυμνασίου παρασχομένῳ, καθὼς αὐτός φησιν ἐν ἐλάττονι ἄλφα τῶν Μετὰ τὰ φυσικά, ὅπου καὶ παραδείγμασι τοῖς εὑροῦσι μουσικὴν κέχρηται, Τιμόθεον καὶ πρὸ τούτου Φρύνιν τινὰ ὀνομάζων· χάριν οὖν Πλάτωνι δικαίαν ὁμολογῶν τῆς πρὸς τὴν ἀλήθειαν ὁδηγίας, ὅμως τὰ αὐτοῦ τε Πλάτωνος καὶ τῶν ἄλλων οὐκ ἄνευ τῆς προσηκούσης ἐπιστασίας ἐδέξατο, ἀλλ' ἐν τῇ κρίσει τῶν τοιούτων τὴν ἀλήθειαν προεστήσατο καὶ ταύτην τῆς πρὸς τοὺς διδασκάλους εὐνοίας τε καὶ αἰδοῦς περὶ πλείονος ἐποιήσατο. Ὅθεν τὴν περὶ ἑκάστων ἀλήθειαν παραδίδωσι μετὰ τοῦ τὰς ἐναντίας δόξας ἐλέγχειν, ᾗ προσῆκε τῷ διδασκάλῳ τῆς περὶ τὸ ὂν ἀληθείας ἔσεσθαι μέλλοντι. Πλάτωνος γοῦν περὶ τῶν εἰδῶν καὶ τῶν ἀριθμῶν τὰ μὲν Πυθαγόρου παρειληφότος, τὰ δὲ καὶ οἴκοθεν ἐπινοήσαντός τε καὶ μεταπλάσαντος, οὐ πολύ τι ἀνάγκης ἔχοντα, καὶ ἔτι μαθηματικὴν ἀνάγκην καὶ φυσικὴν συνάψαι φιλοτιμησαμένου, καὶ πρὸς τούτοις τὰ μὲν ἐκ ποιητῶν, τὰ δὲ ἐκ τῆς ἱερᾶς τοῦ Μωσέως βίβλου παρειληφότος, ὥστ' ἐντεῦθεν πολλὰ μὲν ἄνευ ἀποδείξεως λέγειν αὐτόν, συγχέαι δὲ τὰς ἐπιστήμας ἁπάσας, αὐτὸς Ἀριστοτέλης διεῖλέ τε τὰς ἐπιστήμας πάνυ καλῶς καὶ τοῖς ταύταις ὑποκειμένοις τοῦ ὄντος γένεσι μάλα οἰκείως καὶ ἰδίους τοῖς ἐν ἑκάστῃ προβλήμασι λόγους ἀπέδωκε, φυσικοὺς μὲν φυσικοῖς, μαθηματικοὺς δὲ μαθήμασι, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως· καὶ πρὸς τοὺς λόγους οὔτε τῷ ἰδίῳ ἀξιώματι κέχρηται, οὐθ' ἑτέρου τινὸς ἀξιώματι προὔργου, ἀλλὰ τό τε ὁμολογούμενον ἐπὶ πάντων καὶ τὸ | εὔλογον μόνον σκοπεῖ, εὔλογα f. 108v λέγων τὰ σαφέσι καὶ ἀναντιρρήτοις λόγοις δεικνύμενα, ὁμολογούμενα δὲ τῷ νῷ, τὰ αὐτόθεν πιστὰ καὶ γνώριμα τῷ ἀνθρωπίνῳ νῷ, ὡς ἔχουσιν αἱ πρῶται τῆς ἀποδείξεως ἀρχαί, περὶ ἃς οὐδεὶς ἐξαπατηθῆναι δύναται. Καὶ ταύτην τὴν ὁδὸν οὐ πρὸς τὴν φυσικὴν φιλοσοφίαν μόνον καὶ ἠθικήν, ἀλλὰ καὶ πρὸς τὴν θείαν καὶ πρώτην προείλετο· κἀκεῖ γὰρ οὔτε γεωμετρικαῖς ἀποδείξεσιν, οὔτ' ἀλόγῳ τινὶ ἀξιώματι, ἀλλὰ τῷ φαινομένῳ εὐλόγῳ πρὸς τὴν θεωρίαν τοῦ τε ὄντος κοινῇ καὶ τῶν πρώτων ἀρχῶν καὶ τῆς πρωτίστης δὲ αὐτῆς ἐχρήσατο, ἐξικνουμένης πῃ καὶ πρὸς ἐκεῖνα τῆς φυσικῆς τοῦ λόγου δυνάμεως, ἐπειδὰν ὀρθῶς τε καὶ εὐμεθόδως ἐκτείνηται. Καὶ οὔτε, καθάπερ οἱ ποιηταί, ὑπό τινι μύθων περικαλύμματι τὴν περὶ τῶν θείων ἀλήθειαν συνεκάλυψεν, οὔτε καθάπερ Πλάτων ὕστερον, ὑπὸ τοῖς μαθηματικοῖς τὴν τῆς φιλοσοφίας λαμπρότητα συνεσκίασεν, ὥστ' αὐτῷ μόνῳ τὴν ἀλήθειαν γινώσκεσθαι δύνασθαι, τῶν δ' ἀκροωμένων τοὺς μὲν τῷ τῶν ῥημάτων ἤχῳ προσέχειν, τοὺς δὲ περὶ τῆς ὑποκεκρυμμένης ἐννοίας εἰς διαφόρους κατατέμνεσθαι δόξας· ὃ πάσχουσιν οἱ Πλάτωνα ἐκθειάσαντες, ἄλλος ἄλλο τι περὶ τῆς κεκρυμμένης ἐκείνου μαντευόμενοι διανοίας,

17 ταύτης A

καὶ οὐδὲν σαφὲς οὐδ' ὁμόλογον. Ὅτι δὲ τὴν τοιαύτην ἀπεστράφη ὁδόν, αὐτὸς ἐν βῆτα τῶν Μετὰ τὰ φυσικὰ δείκνυσι, τοὺς περὶ Ἡσίοδον αἰτιώμενος, λέγοντας τοὺς μὲν μὴ γευσαμένους τοῦ νέκταρος καὶ τῆς ἀμβροσίας θεοὺς θνητοὺς γεγονέναι, τοὺς δὲ γευσαμένους ἀθανασίας τυχεῖν. Εἰ γὰρ ταῦτα γνοίη τις, φησί, κατὰ τὸν ἦχον μόνον τὰ ῥήματα, οὐδὲν δραστηριότητος ἔχουσιν· εἰ δὲ κατὰ τὴν ὑπ' αὐτοῖς ἐγκεκρυμμένην ἀλήθειαν, f. 109 οὐδὲν ἂν σαφὲς ἀποφαίνοιντο, ἐκείνοις μόνοις οὔσης ταύτης | γνωρίμου. Καὶ τοῦτο τῆς κατὰ Πλάτωνος διαλέξεως καὶ τῶν ἄλλων πρὸ αὐτοῦ φιλοσόφων οἶμαι εἶναι Ἀριστοτέλει ἀπολογίαν, ὅτι μὴ πρὸς τὴν ἐνδομυχοῦσαν ἀλήθειαν, ὡς ἂν αὐτοὶ φαῖεν, ἀλλὰ πρὸς τὰ ἔξωθεν οὑτωσὶ καὶ φανερῶς προτεινόμενα τὰς διαλέξεις ποιεῖσθαι προήχθη, τὴν φιλοσοφίαν εἰλικρινῆ καὶ ἁπάσης ἀσαφείας καὶ ἀμφιβολίας ἀπηλλαγμένην τοῖς ἀνθρώποις παραδοῦναι βουλόμενος· οὐ λέγω δὲ ταῦτα περὶ ἁπάντων, ἐν οἷς Πλάτων τε καὶ οἱ ἄλλοι ὑπ' Ἀριστοτέλους ἐλέγχονται· τὰ πλεῖστα γὰρ αὐτῶν οὐκ ἐπικεχρωσμένον ἔχουσι τὸ ψεῦδος, ἀλλὰ καὶ ἔνδοθεν πολὺν τὸν παράλογον ἔχει, καὶ ὅπως ἂν ἐξετάζοιτο, τῷ λόγῳ φανερῶς εἰσιν ἐναντία· οὔτε δὲ τὰς πατρίους τῶν Ἑλλήνων διαβάλλει δόξας, οὔτε ὑπὲρ ταύτας νομοθετεῖ, οὔτε τὴν ἀνάγκην τῆς ἀληθείας ἐν τῷ φαινομένῳ εὐλόγῳ μόνῳ ὁρίζεται. Ἐν γὰρ τῶν Μετὰ τὰ φυσικὰ λ', τὰ περὶ τῶν κεχωρισμένων εἰδῶν ταῖς τῶν ἀρχαίων καὶ τῶν πολλῶν παραβάλλων δόξαις καὶ συνᾴδοντα δείξας, ἐπάγει· „Ἡ μὲν οὖν πάτριος δόξα καὶ ἡ παρὰ τῶν πρώτων ἐπὶ τοσοῦτον ἡμῖν φανερὰ μόνον.“ Πρὸ δὲ τούτου, περὶ τῶν ἀκινήτων ἀρχῶν λέγει· „Ὅτι τοσαύτας εὔλογόν ἐστιν ὑπολαβεῖν· τὸ γὰρ ἀναγκαῖον ἀφείσθω τοῖς ἰσχυροτέροις λέγειν.“ Ὥστε καὶ μείζω τινὰ ἀνάγκην ἀληθείας οἶδε τοῦ φαινομένου εὐλόγου, ἣ τοῖς ἐπίπνοις ὑπὸ τοῦ θείου ἐνδίδοται· αὐτὸς δὲ οὔτε τοιοῦτος ὤν, οὔτε τὰ ἄμικτα μιγνύναι βουλόμενος, καὶ εἰδὼς ἔργον φιλοσόφου τὴν ἐκ λόγων ἀπόδειξιν, οὔτοι γε τὴν ἐκ τῶν ποιητικῶν μυθευμάτων καὶ μαντειῶν φιλοσόφῳ πρεπόντως τὰ περὶ τοῦ ὄντος ἐπισκοπεῖ· τὰ δ' ἄλλα ποιηταῖς τε καὶ ἱεροφάνταις παρίησιν, f. 109v ὥσπερ φυσικὴν καὶ μαθηματικήν, οὕτω καὶ φιλοσοφίαν ποιητικῆς | καὶ τῆς ὑπὸ τοῦ θείου κατοχῆς καλῶς διακρίνας. Καὶ οἶμαί γε καὶ αὐτῷ Πλήθωνι ἰδεῖν τὴν τοιαύτην ὁδὸν τῆς φιλοσοφίας πολλοῦ εἶναι ἀξίαν, ὅς τοὺς ἐνθουσιασμοὺς καὶ τὰς ἀποκαλύψεις διαβάλλειν καὶ πλάνην ἀποκαλεῖν λέγεται, τὴν δ' ἀλήθειαν ὑπὸ τοῦ ἀνθρωπίνου λόγου εὑρίσκεσθαι μόνου διὰ φιλοσοφίας ἔν τινι ἑτέρῳ αὐτοῦ συγγράμματι ἀποδεικνύναι· εἰ μὴ Πλάτωνος χάριν, ἑαυτῷ ἀσύμφωνα βούλοιτο ἀξιοῦν, πολλῇ καταχρώμενος ἐξουσίᾳ. Ἡμεῖς δὲ Ἀριστοτέλη τοῦ μὲν ἱεράν τινα ἀλήθειαν εἶναι ὁμολο-

---

4 *γεγευμένους* D 10 *ὡς — φαῖεν* en marge de Scholarios D 12 *πάσης* D 15 *ἔχει* D 22 *τοῦ πλήθους* après *περὶ* add D

γεῖν, καὶ ταύτῃ μείζω τινὰ ἀνάγκην τῆς ἀπὸ τοῦ λόγου προσμαρτυρεῖν οὐ μεμφόμεθα, καὶ αὐτοὶ τοιαύτην τινὰ δόξαν ἔχοντες· τοῦ δὲ ταύτης μὲν ἀπαλλάττεσθαι μετ' εὐφημίας, πανταχοῦ δὲ τὸ ξυμβαῖνον τῷ λόγῳ μόνον σκοπεῖν, ᾗ καὶ ἐφ' ὅσον μέλλει τις ὑπὸ λόγου ἄγεσθαι, καὶ τούτου διδάσκαλον ἑαυτὸν καθίζειν τοῖς οἴκοθεν μὴ δυναμένοις εὑρίσκειν, καὶ ἐπαινοῦμεν πάνυ δικαίως καὶ χάριν ἴσμεν. Πλάτωνος δὲ καίτοι ἐπαινοῦντες τὸ καὶ αὐτὸν ἐνδοῦναί που τῇ ἱερᾷ ἀληθείᾳ, τὸ μήτε δεόντως ἐνδοῦναι, μήτε συνιδεῖν ὅπου τὸ ἱερὸν τοῦτο καὶ θεῖον ἔνεστι, καὶ τὸ τοιοῦτο γένος τῶν λόγων τοῖς ἀπὸ τῆς φιλοσοφίας πάνυ ἐγκαταμίξαι ὁμοῦ πάντα ποιοῦντα χρήματα, οὐκ ἔχομεν ἐπαινεῖν. Διαλεκτικῆς δὲ μεθόδου καὶ τῶν τῆς ἄλλης φιλοσοφίας θεωρημάτων διδασκαλίᾳ τε καὶ τῇ δι' ἔργων ἐπιδείξει τοσούτῳ Πλάτων Ἀριστοτέλους ἀπολείπεται, ὅσῳ ὑπερβάλλει τῷ ἐπιτετηδευμένῳ τοῦ λόγου πάντας, οἷς τοῦτο γέγονε προὔργου.

Ἀλλὰ περὶ μὲν τῆς θεόθεν ἐπιπνοίας, ὅτι τέ ἐστιν ὡς ἀληθῶς, καὶ παρὰ τίσιν ἐστί, καὶ ὅτι ἄνευ ταύτης οὐχ οἷόν τε ἦν τὴν περὶ τῶν θείων ἀλήθειαν τὸν ἀνθρώπινον νοῦν κατειληφέναι | καὶ ὁπωσοῦν, ἀλλ' ἔδει f. 110 ταύτης διψῶντα διηνεκῶς ἀποτυγχάνειν, τοῦτο δὲ ἀδύνατον ἂν ἦν· περὶ τῶν τοιούτων τοίνυν οὔτ' αὐτῷ νῦν Πλήθωνι, οὔτ' ἄλλῳ τἀναντία δοξάζοντι ἀντεροῦμεν· ἀλλ' ὕστερον, ἐὰν ὁ Θεὸς θέλῃ, χωρὶς περὶ τούτων πραγματευσόμεθα, τῆς δὲ προθέσεως μόνης ἑξόμεθα ἐν τῷ παρόντι, ἥτις ἦν Ἀριστοτέλη ὑπό τε Πλήθωνος καὶ τῶν ἡγεμόνων αὐτοῦ δεῖξαι συκοφαντηθέντα.

Αὕτη τοίνυν ἡ τῆς κατ' Ἀριστοτέλη φιλοσοφίας ὁδός, καίτοι βελτίστη οὖσα, πολλοῖς γέγονέ τε καὶ νῦν ἐστιν ἐπαχθής· πρὸς οὓς αὐτὸς ἀπολογούμενος, ἐν τέλει τῶν Μετὰ τὰ φυσικὰ τοῦ δευτέρου, δείκνυσιν ὅπως ἐν τῇ μαθήσει τῆς ἀληθείας οὐ τὸν αὐτὸν τρόπον ἀσμενίζονται πάντες τῆς διδασκαλίας. Οἳ μὲν γάρ, φησί, τῷ τοῖς μαθήμασιν ἐντετράφθαι, καὶ δι' ἀσθένειαν μὲν κρίσεως, δραστηριότητα δὲ φαντασίας πάντα βούλονται σφίσιν ὑπὸ τοῖς μαθηματικοῖς προτίθεσθαι λόγοις· οἳ δὲ δι' ἀδυναμίαν νοήσεως παράδειγμά τι τῶν αἰσθητῶν ἐπιζητοῦσι πρὸς ἑκάστην ἀπόδειξιν· οἳ δὲ τῶν παλαιῶν τινος μαρτυρίαν· οἳ δὲ πρὸς τὴν σὺν ἀκριβείᾳ πάντων ἔρευναν ἀπεχθῶς ἔχουσιν, οὔτε δυνάμενοι παρακολουθεῖν καὶ ἄλλως μικρολογίαν εἶναι τὸ πρᾶγμα οἰόμενοι, καθ' ὁμοιότητα τῶν ἐν ταῖς ἀπαιτήσεσι τῶν χρεῶν, ὀργιζομένων τοῖς καὶ τὰ ἐλάχιστα εἰσπραττομένοις· ἀνελευθέρους γὰρ καὶ ἀκαίρους καὶ φειδωλοὺς τοὺς τοιούτους ἀποκαλοῦσιν· οὕτω καὶ τὴν Ἀριστοτέλους λεπτότητα καὶ ἀκρίβειαν πολυπραγμοσύνην καὶ μικρολογίαν ἀποκαλοῦσιν οἱ περὶ Πλήθωνα. Ὁπόσοι μὲν οὖν καὶ πρότερον τοῦτ' ἔπαθον καὶ νῦν ἔτι πάσχουσι, τούτοις οὔτ' αὐτὸς Ἀρι-

4 *μέλλοι* D 10 *ἄλλης*: *ὅλης* D 21 *ἀποδεῖξαι* D

f. 110v στοτέλης ἐπιτιμᾷ φορτικῶς, | ἀλλὰ μόνον τὴν συνήθειαν αἰτιᾶται, ἥτις ἐν τοῖς ἀνθρώποις τὰς τοιαύτας ἀποτίκτει διαφοράς, οὐθ' ἡμᾶς νῦν δίκαιόν ἐστιν ὀνειδίζειν· ἀλλ' ἀρκεῖ τοσοῦτον εἰπεῖν, ὡς Ἀριστοτέλης, τῷ μὲν τὰς ἐπιστήμας διελεῖν ἀκριβῶς, ἕκαστά τε τῶν ἐν αὐταῖς ζητημάτων σύν γε τῇ ἀπὸ τῶν λόγων ἀνάγκῃ διορίσασθαι, ἔργον ὡς ἀληθῶς φιλοσόφου τυγχάνει πεποιηκώς· ὅπερ οὔτε Πλάτωνι, οὔτ' ἄλλῳ τινὶ ἀνθρώπῳ ποιεῖν ἐξεγένετο· οὐ μέντοιγε ἀπέσχε τοῦ καὶ τῇ ἑκάστων ἐπιθυμίᾳ χαρίζεσθαί πῃ, εἰ καὶ μὴ καθάπαξ· οὐ γὰρ οἷόν τε ἦν, ἄλλου ἄλλον τρόπον ἀσπαζομένου διὰ συνήθειαν καὶ βουλομένου πάντ' ἂν αὐτῷ τῷ φίλῳ καὶ συνήθει τρόπῳ ἐκτεθειμένα εἶναι· ἀξιώμασί τε γὰρ χρῆται τῶν προτέρων φιλοσόφων ἔστιν οὗ, καὶ ταῖς κοιναῖς δόξαις, καὶ παραδείγμασι τοὺς λόγους δηλοποιεῖ· ταῦτα μέντοι γε παρέργως καὶ πρὸς ἐκδηλοτέραν ποιεῖ τῆς ἀληθείας φανέρωσιν· προὔργου δὲ πανταχοῦ τὸ εὔλογον καὶ τὸ ἀναγκαῖον ποιεῖται, ὃς δὴ αὐτοῦ τρόπος ἐστίν, οὐδενὶ ἑτέρῳ, ὡς εἴρηται, σπουδασθεὶς οὕτω τε καὶ ἐν τοσούτοις· καὶ τοῖς μὲν ῥᾳθυμοτέροις τοὺς καθολικοὺς προβάλλεται λόγους ἐν ταῖς κεφαλαιώδεσι πραγματείαις· τοῖς δὲ σπουδαιοτέροις μέχρι καὶ ἐπὶ τὰ ἐν ἑκάστῳ γένει σκέψιν τινὰ ἔχοντα κατιὼν καὶ κατακερματίζων τὴν θεωρίαν, εἴπερ τις ἀνθρώπων ὠφέλιμος γίγνεται.

Ταύτῃ τοίνυν τῇ ἀκριβεστάτῃ καὶ σοφωτάτῃ ὁδῷ τῆς κατὰ φιλοσοφίαν θεωρίας χρώμενος Ἀριστοτέλης, ἀΐδιον τόν τε οὐρανὸν καὶ τὸν χρόνον καὶ τὴν κίνησιν ἐνόμισε, καὶ πολλοῖς ἀπέδειξε λόγοις, καὶ Πλάτωνι ἐπιτιμᾷ, γενητὸν ἀποφαινομένῳ τὸν κόσμον, αὐτὸς ἀγένητον τοῦτον οἰόμενος. Εἰ μὲν γὰρ ἀΐδιον, φησί, νομίζει τὸν κόσμον ὁ Πλάτων, κακῶς λέγει τοῦτον f. 111 γε|γενῆσθαι· τὸ γὰρ γενέσθαι μέν, ἀΐδιον δ' ὅμως εἶναι φάναι, τῶν ἀδυνάτων· μόνα γὰρ ταῦτα θετέον εὐλόγως, ὅσα ἐπὶ πολλῶν ἢ πάντων ὁρῶμεν ὑπάρχοντα· τὸ δὲ ἁπλῶς οὕτω τιθέναι, ἢ μηδὲν εἰδέναι, ἢ οὐράνιόν τινα καὶ ἐκ Θεοῦ διδασκαλίαν κομίζειν ἐστίν. Εἰ δὲ γενητὸν τοῦτον τίθεται, καὶ φθαρτὸν εἶναι δή που τοῦτον ἀνάγκη· ἀδύνατον γὰρ ἢ γενόμενόν τι ἄφθαρτον διατελεῖν, ἢ ἀγένητον ὂν καὶ ἀεὶ πρότερον ὂν φθαρῆναι· ὁ δὲ Πλάτων καὶ ἄφθαρτόν φησι τοῦτον καὶ γενητόν· καὶ πάλιν φύσει μὲν φθαρτόν, οὐδέποτε δὲ φθαρησόμενον· ἃ πάντα οὔτε εὐλόγως τίθησιν, οὔτε τῷ λόγῳ δύνανται συμφωνεῖν. Οἷς μὲν οὖν ἔν τε τοῖς περὶ κινήσεως καὶ περὶ οὐρανοῦ λόγοις τὴν ἀϊδιότητα τῆς κινήσεως ἀποδείκνυσιν, τούτων περίεργόν ἐστιν ἀπομνημονεύειν· ὅτι δὲ ἀγένητον κατὰ χρόνον, οὔτοι γε κατ' αἰτίαν λέγει τὸν κόσμον, ἐν ἐκείνοις τοῖς λόγοις κάλλιστα διαφαίνεται, καὶ οὐδεὶς ἂν ἀμφιβάλλοι. „Κυρίως γάρ, φησίν, ἀγένητον, τὸ μὴ δυνάμενον γενέσθαι οὕτως, ὥστε πρότερον μὲν μὴ εἶναι, ὕστερον δὲ εἶναι“· εἶτα συμπεραίνει· „Ἅπαν ἄρα τὸ ἀεὶ ὄν, ἁπλῶς ἄφθαρτον· ὁμοίως δὲ

3 τὸ μὲν A

καὶ ἀγένητον. Εἰ γὰρ γενητόν, ἔσται δυνατὸν χρόνον τινὰ μὴ εἶναι.“ Καὶ αὖθις· „Ὅτι μὲν οὖν οὔτε γέγονεν ὁ πᾶς οὐρανός, οὔτ' ἐνδέχεται φθαρῆναι, καθάπερ φασί τινες αὐτόν, ἀλλ' ἔστιν εἷς καὶ ἀΐδιος, ἀρχὴν μὲν καὶ τελευτὴν οὐκ ἔχων τοῦ παντὸς αἰῶνος, καὶ περιέχων ἐν ἑαυτῷ τὸν ἄπειρον χρόνον, καὶ τὰ ἑξῆς.“

Ὡσαύτως δὲ καὶ τὴν ὕλην ἀγένητον λέγει, οὐχ ὅτι ἀπ' οὐδεμιᾶς ἐστιν αἰτίας ποιητικῆς, καὶ ὡς ἄν τις φαίη αὐτογενής, ὃ προσήκει τῇ πρώτῃ πάντων αἰτίᾳ, ἀλλ' ὅτι οὐ γίνεται ὡς τὰ γινόμενα, τουτέστι τὰ ἐν γενέσει καὶ φθορᾷ πράγματα. Ταῦτα | f. 111v γὰρ ἐξ ὑποκειμένου τε γίνεται καὶ μεταβάλλουσιν ἐξ εἴδους εἰς εἶδος καὶ κατά τινα διαδοχὴν εἰς τὸ εἶναι ἔρχονται, χρόνῳ κινούμενα πρὸς τὸ εἶδος, ὅπερ ἐστὶ τῆς γενέσεως πέρας, καὶ ἐξ ἀτελῶν γινόμενα τέλεια· ἡ δὲ ὕλη οὐχ οὕτως, ἀλλ' ἅμα τοῦ ἑαυτῆς εἶναι ὅλου τετύχηκεν. Ὅτι δὲ τούτῳ τῷ τρόπῳ φησὶ τὴν ὕλην ἀγένητον, δῆλόν ἐστιν ἐν πρώτῳ τοῦ Περὶ τῶν Ἀρχῶν· εἰπὼν γὰρ ὅτι ἄφθαρτον καὶ ἀγένητον ἀνάγκη τὴν ὕλην εἶναι, ἐπάγει· „Εἴτε γὰρ ἐγίνετο, ὑποκεῖσθαί τι δεῖ πρῶτον, τὸ ἐξ οὗ ἐνυπάρχοντος γίνοιτ' ἄν. Τοῦτο δέ ἐστιν αὐτὴ ἡ φύσις, ἡ ὕλη δηλονότι, ὥστε ἔσται πρὶν γενέσθαι.“ Οὐκοῦν ἀγένητόν φησι ταύτην, ὡς μὴ ἐξ ὑλικῆς ἑτέρας ἀρχῆς γινομένην, ὥσπερ τὰ φυσικά. Ὅλως τε Ἀριστοτέλης τὸ γίνεσθαι κατὰ τὴν φυσικὴν θεωρίαν μεταβολήν τινα ὁρίζεται ἐν τῷ ἐφεξῆς, ἐν ᾗ προϋποτίθεται μὲν ἄλλο, γίνεται δὲ ἄλλο· καὶ διὰ τοῦτο ἐν τῷ τοιούτῳ γίνεσθαι τὸ πρότερον καὶ ὕστερον θεωρεῖται, καὶ ἡ ἐναντιότης. Πάντων γοῦν τῶν φύσει γινομένων, τούτῳ γινομένων τῷ τρόπῳ καὶ μηδενὶ ἄλλῳ τρόπῳ τῆς γενέσεως εἶναι καταφαινομένης, εἴ τι ἂν μὴ δύναιτο γίνεσθαι τοῦτον τὸν τρόπον διὰ τὰ ἐντεῦθεν συμβαίνοντα, τοῦτο καλῶς ἂν καὶ εὐλόγως ἀγένητον λέγοιτο· οὐδὲν δὲ κωλύει προάγεσθαί τι εἰς τὸ εἶναι ἀπ' αἰτίας καθόλου, οὐκ ἐν τῷ ἐφεξῆς, ἀλλὰ ὅλον ἅμα. Ἐπειδὴ γὰρ τῆς πρώτης αἰτίας τὸ αἰτιῶδές τε καὶ δραστήριον πρὸς πλείω ἐκτείνεται, ἀνάγκη τὸ πρώτως ὑφεστὼς ἐν πᾶσιν ὑπὸ τῆς πρώτης αἰτίας πάντως παρῆχθαι. Οὐ μὴν δ' ἀλλὰ καὶ ἡ πρώτη πάντων αἰτία πρὸς ὅλην τὴν φύσιν, ὡς ἡ φύσις πρὸς τὴν τέχνην παραβάλλεταί πως. Καὶ καθάπερ τὸ τέχνῃ ποιοῦν προϋποτίθησι τὴν | f. 112 ὕλην τοῦ τεχνητοῦ, ἥτις ἐστὶ τὸ σύνθετον φύσει γεγενημένον, ἐν δὲ τούτῳ τὸ μερικῶς ποιοῦν προϋποτίθησι τὴν ὕλην, παράγει δὲ τὸ εἶδος· οὕτω τὸ καθόλου ποιοῦν ὅλον τὸ εἶναι προάγει τοῦ πράγματος, ὅπερ ἐστὶν αὐτῷ κατά τε τὴν ὕλην καὶ τὸ εἶδος. Οὐ τοίνυν συμπεραίνει Ἀριστοτέλης τὰ ἄφθαρτα μὴ ἦρχθαι ἁπλῶς, ἀλλὰ μὴ ἦρχθαι διὰ γενέσεως, τουτέστι φυσικῆς κινήσεως, ᾗ ἄρχονται εἶναι τὰ ἐν γενέσει καὶ φθορᾷ πράγματα, καθάπερ ἐδόκει λέγειν ὁ Πλάτων· οὔτε

6 *ἀγέννητον* D 29 *πάντων* D 30 *πως* en marge A, en interligne D

γὰρ περὶ τῆς ἀϊδιότητος τοῦ χρόνου καὶ τῆς κινήσεως φαίνεταί που Πλάτων διορισάμενος, οὔτε γενητὸν εἶναι τὸν κόσμον λέγων ἢ τὴν ψυχὴν κατ' αἰτίαν μόνον, οὐ μέντοι γε κατὰ χρόνον· ἀλλὰ τῇ μὲν τοῦ γενητοῦ λέξει ὑποψίαν παρέσχε τοῦ κατὰ χρόνον οἴεσθαι γεγενῆσθαι· τῷ δὲ μήτε διελέσθαι τὸ γενητὸν σαφῶς οὑτωσί, μήτε τὴν τοῦ παντὸς ἀϊδιότητα προὔργου διδάξαι καὶ ἀποδεῖξαι τὴν ὑποψίαν ἱκανῶς βεβαιοῖ. Ὅτι δὲ οὐδὲν περὶ ἀϊδιότητος Πλάτων εἶπε σαφές, καὶ Ἀριστοτέλης ἐν Τοπικοῖς φησιν, ὅπου τοῖς προβλήμασι, περὶ ὧν οὐκ ἦσάν πω λόγοι εὑρημένοι τοῖς πρὸ αὐτοῦ, καίτοι μεγάλων ὄντων, ἐναριθμεῖ τὸ τὸν κόσμον εἶναι ἀΐδιον, καὶ τοῖς τὰ Πλάτωνος ἐπιοῦσι δῆλόν ἐστιν. Ἀλλ' οἱ μετὰ Ἀριστοτέλη Πλατωνικοί, τῇ τοῦ παντὸς ἀϊδιότητι θέμενοι, καὶ Ἀριστοτέλη ἐπαινοῦντες, ὡς δὴ γενναίως αὐτὴν ἀποδεδειχότα, τοῦτο χαρίζονται Πλάτωνι, ὅτι καὶ αὐτὸς ἀΐδιον εἶναι τὸ πᾶν ἐφρόνει, καὶ γενητὸν οὐ κατὰ χρόνον, ἀλλὰ κατ' αἰτίαν ἐνόει· καὶ ὅτι ὑπὸ τῶν Ἀριστοτέλει προσκειμένων ἐν τούτῳ συκοφαντεῖται τῷ μέρει· ἐσυκοφαντεῖτο δ' ἄν, εἴπερ ταῦτα σαφῶς διωρίζετο· εἰ δ' ὑπὸ ταῖς ἄλλο τι δηλούσαις λέξεσιν ἄλλο τι νοεῖν ἠβούλετο, μάντεώς τε ἂν ἔδει τοῦτο f. 112v | εἰκάζειν, καὶ πολὺ πιθανώτεροι ἂν εἶεν οἱ τὰ φανερὰ περὶ αὐτοῦ ἀξιοῦντες τῶν ἔκ τινος εἰκασμοῦ καὶ μαντείας δόξαν αὐτῷ προσαπτόντων, ἥκιστα ἐξ ὧν εἴρηκε φαινομένην· ἀλλὰ πρὸς τὰ Ἀριστοτέλους περὶ ἀϊδιότητος οὐδενὸς δεῖ μάντεως.

Εἴρηται δὲ καὶ ὅτι ἐν τοῖς Μετὰ τὰ φυσικὰ τὰ αὐτὰ περί τε Πλάτωνος καὶ τῶν θεολόγων καλουμένων ἀπελογήσατο ποιητῶν, ὅτι ὁ μὲν ἦχος αὐτῶν οὐδὲν δραστηριότητος ἢ πιθανότητος ἔχει, ἡ δὲ ὑπ' αὐτοῖς συγκεκαλυμμένη διάνοια αὐτοῖς μόνοις γινώσκοιτ' ἂν ἀκριβῶς, ἕτερος δὲ οὐδεὶς ἂν εἰδείη. Οὕτω τοῖς Πλάτωνι τιθεμένοις σοφώτερος ἐν τούτῳ τῷ μέρει Ἀριστοτέλης ἔδοξε, καὶ διὰ τοῦτο πειρῶνται ἐκεῖνον αὐτῷ προστιθέναι. Καὶ εἴ γε δεῖ τἀληθῆ λέγειν, οὐδέν ἐστιν οὕτω σοφῷ πρέπον ὡς τόδε τὸ δόγμα, οὐθ' ὑπό τινος ἂν ἀποδειχθείη βέλτιον ἢ ὑπ' Ἀριστοτέλους κατεσκεύασται. Εἰ δὲ ἡ ἱερὰ πίστις ἄλλο τι ἡμᾶς ἐκδιδάσκει, τὴν φανερὰν τῆς φύσεως ὑπερβαῖνον ἀλήθειαν, οὐδὲν τοῦτο πρός γε τὴν Ἀριστοτέλους φιλοσοφίαν· οὐδεὶς γὰρ ἠγνόηκεν, ὅτι πολλὰ ἡ ἱερὰ πίστις διδάσκει τὴν ἀκολουθίαν τῆς φύσεως ὑπερβαίνοντα, ἐν οἷς καὶ τόδε ἐστί· „Διὸ καὶ τὴν σοφίαν τοῦ κόσμου μωρίαν," τουτέστιν ὑπηρέτιν τε καὶ μαθητιῶσαν σοφίαν ὁ Χριστὸς ἀποδεῖξαι λέγεται, ὥσπερ ἡμεῖς νῦν τοῖς περὶ ἀϊδιότητος Ἀριστοτέλους ἐνδιδόντες λόγοις, ἐπαινοῦντές τε αὐτὸν τῆς ἐν τούτοις φιλοσοφίας, ὅμως χρονικῶς ἦρχθαι τὸν κόσμον πιστεύομεν, ὥσπερ καὶ ἄλλα πολλὰ τὸν φυσικὸν ὑπερελαύνοντα λόγον πιστεύομεν τοῖς ἀπὸ Θεοῦ ταῦτα λέγουσι, πολλοῖς καὶ ἀναντιρρήτοις τεκμηρίοις τὴν τοῦ ἀληθῆ λέγειν πεῖραν παρασχο-

---

33 cf. I Cor. 1, 20

μένοις, φαῦλόν τε οὐδὲν ποιοῦμεν, τὴν περὶ τῶν τοιούτων ἀκρίβειαν | f. 113 τῇ ἐκ Θεοῦ ἐμπνεύσει μᾶλλον ἢ τῇ ἐξ ἀνθρώπων διδασκαλίᾳ καὶ τῇ ἀκολουθίᾳ τοῦ παρ' ἡμῖν λόγου θαρροῦντες. Περὶ γὰρ τῶν θείων καὶ ὑψηλῶν, ἐν οἷς καὶ τόδε ἐστὶν ὁμολογουμένως τὸ πρόβλημα, οὐδὲν ἔστιν εἰδέναι σαφῶς, ἀλλ' ἢ μόνον μαντεύεσθαι. Καὶ ὥσπερ οἱ τὸ σύμβαῖνον τῷ λόγῳ σκοποῦντες, κἂν ὅτι μάλιστα ἀποδέοι τῆς ἀκριβείας, βελτίους εἰσὶ τῶν μηδ' ὁτιοῦν εἰδότων, οὕτως ἐκείνων αὖ ὑψηλότεροι οἱ ἐκ τῆς ὑπερκειμένης ἐπιστήμης, τουτέστι τῆς ἱερᾶς διδασκαλίας, τὴν τῶν μεγίστων εἴδησιν κτώμενοι. Ὅτι δὲ οὐκ ἀρκοῦσαν ἔχει πρὸς τὰ θεῖα καὶ ὑψηλὰ τὴν εὐπορίαν ὁ ἡμέτερος νοῦς, ἀλλὰ δεῖ τινος ἐπιπνοίας αὐτῷ, φωτιζούσης αὐτὸν καὶ πρὸς τὸ ὕψος ἐκεῖνο μετεωριζούσης, καὶ αὐτὸς Ἀριστοτέλης φησίν· „Ὡς γὰρ τὰ τῶν νυκτερίδων ὄμματα πρὸς τὸ φέγγος ἔχει τὸ μεθ' ἡμέραν, οὕτω καὶ τῆς ἡμετέρας ψυχῆς ὁ νοῦς πρὸς τὰ φύσει φανερώτατα πάντων," ἄριστα τοῦτο λέγων ἐν ἐλάττονι ἄλφα τῶν Μετὰ τὰ φυσικά. Καὶ Πλάτωνι δὲ τὰ τοιαῦτα σφόδρα ἀρέσκει πολλαχοῦ τῶν αὐτοῦ διαλόγων· ὥσπερ οὖν εἴ γε εἶχεν ἡ νυκτερὶς νοῦν καὶ ἀληθῆ, ᾔδει ἂν ὅτι ἑτέρῳ τινὶ δυνατόν ἐστι τὸν ἥλιον φαίνεσθαι κατὰ τὴν ἡμέραν, βέλτιον πρὸς αὐτὸν παρεσκευασμένῳ καὶ μείζονα τὴν ἀναλογίαν τῆς ὄψεως ἔχοντι, οὕτω καὶ ἡμᾶς νοῦν ἔχοντας χρὴ νομίζειν βεβαίως, ὡς ἐνδέχεται τὴν ὑψηλοτάτην καὶ θείαν ἀλήθειαν ἀποκαλύπτεσθαί τισι βέλτιον ἡμῶν τῶν ἀνθρώπων, τουτέστι ταῖς καθ' αὑτὰς κεχωρισμέναις οὐσίαις, ἅτε νοῦν εἰλικρινῆ καὶ ἥκιστα ὑπὸ τῶν αἰσθητῶν ἐπισκοτούμενον ἐχούσαις· καὶ ὅτι οὐδὲν ἀδύνατον καὶ | f. 113v ἡμῖν αὐτοῖς ἀνακαλύπτεσθαί τινα ἀλήθειαν περὶ πάντων, θειοτέραν τῆς τέως συνεγνωσμένης, τῆς πρώτης αἰτίας βελτίους ποιούσης ἡμῖν τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς καὶ ὥσπερ ἐπισκευαζούσης, ἐπεὶ καὶ κατὰ τὴν Μωσέως θεολογίαν καὶ κατὰ Πλάτωνα αὐτὸν τοῦτ' ἔστιν ἀληθές, ὅτι φαύλη τίς ἐστι καὶ ἐμπαθὴς ἡ τῇδε τοῦ ἀνθρώπου ζωή, καὶ δίκην φαύλης ποτὲ καὶ ἀγενοῦς ἐπιθυμίας τὴν ἐνταῦθα ζωὴν ἀποτίνομεν. Τὸ γὰρ διάφορον καὶ περὶ ταῦτα Μωσέως καὶ Πλάτωνος ἀφείσθω τό γε νῦν ἔχον, τὸ δὲ συνᾷδον εἰλήφθω μόνον.

Ἀδύνατον δέ ἐστιν ἢ ἐλάττω δύναμιν ἔχειν τῶν παρ' ἀνθρώποις ἰατρῶν τὸν Θεόν, ἢ ἧττον αὐτῶν εἶναι φιλάνθρωπον, ὥστε τοὺς μὲν ἀνθρώπους ἐπανασῴζειν τὴν ὑγείαν τοῖς κάμνουσι καὶ εἰς τὴν προτέραν ἕξιν ἄγειν αὐτοὺς διαίταις πρεπούσαις, ἐκεῖνον δὲ ἀμελῆσαι τῆς ἀνθρωπίνης ψυχῆς, ἢ βουληθῆναι μέν, μὴ δυνηθῆναι δὲ ἰατρεῦσαι ταύτην μεθόδῳ τινί, ὥστε δύνασθαι ἐγγυτέρω τῆς ἀληθείας ἐλθεῖν, ἧς ὁπώσποτε ἐκπεπτώκει, καὶ ἧς πρότερόν τε φύσει ἐπεθύμει καὶ νῦν οὐδὲν ἧττον ἐκπεπτωκυῖα ἐπιθυμεῖ. Ἀλλὰ καὶ εἴ τις μήτε Μωσεῖ, μήτε Πλάτωνι πείθοιτο, μήτ' ἐν οἷς συμφω-

---

5 *σαφὲς* D 28 *ἀγεννοῦς* D

νοῦσι περὶ τῆς ἀνθρωπίνης ζωῆς, μήτ' ἐν οἷς οὐ ταὐτὰ λέγουσι, καὶ τοῦτον οὐδέν ἐστι χαλεπὸν τοιαύτην τινὰ τοῦ νοῦ βελτίωσιν προσδοκᾶν καὶ μηδὲ ἀδύνατον ταύτην ἡγεῖσθαι, ἀλλ' ὥσπερ ἀσκήσει τε καὶ ἐπιμελείᾳ τὰς τῶν ὄντων ἐπιστήμας οὐκ ἔχοντες κτώμεθα, οὕτω νομίζειν δύνασθαι καὶ θειοτέρας τινὸς ἐπιλάμψεως καὶ ἀποκαλύψεως ἀπολαύειν ἕνα τε ἄνθρωπον f. 114 καὶ πλείους ὁμοῦ, σαφοῦς ὄντος ὅτι τὸ θεῖον | εἰς τὸν ἀνθρώπινον νοῦν δρᾷ τι καὶ ἐμπνεῖ ἀγαθόν τε καὶ ἀληθὲς καὶ αὐτῷ τε καὶ ἄλλοις ὠφέλιμον· οὐδὲν δὲ διαφέρει ἢ ἐς τόνδε τὸν βίον ὠφέλιμον εἰπεῖν, ἢ ἐς τὴν μετὰ ταῦτα τοῦ ἀνθρώπου ζωήν, πρὸς ἐκείνην δὲ καὶ πολλῷ μᾶλλον. Ταύτης γὰρ τῆς γνώμης, ὡς εἴρηται, καὶ Ἀριστοτέλης ἐστὶ λέγων ὅτι· „Τὰς ἀκινήτους οὐσίας, τοσαύτας εὔλογόν ἐστιν ὑπολαβεῖν· τὸ δὲ ἀναγκαῖον τοῖς ἰσχυροτέροις ἀφείσθω λέγειν," ἀνάγκην τινὰ μείζω τῆς ἀπὸ τοῦ φαινομένου εὐλόγου τὴν ἱερὰν δή που καὶ ἀποκεκαλυμμένην νομίζων· ὅθεν πολλά τε πρότερον διὰ Μωσέως ἡμῖν ὁ Θεὸς ἀπεκάλυψε καὶ ὕστερον δι' ἑαυτοῦ, ἐν τῷ ἀνθρώπῳ ὃν ἥνωσεν ἑαυτῷ, τὰ πρότερον ἀποκεκαλυμμένα σαφέστερον ἀνεκάλυψε καὶ πολλὰ προσέθηκεν. Ἐν τούτοις οὖν καὶ ἡ τοῦ παντὸς τοῦδε δημιουργία, οὐκ ἐν χρόνῳ γεγενῆσθαι πιστευομένου, ὥστε δεῖν τὸν Δημιουργὸν κεκινῆσθαί πως ἢ μεταβεβλῆσθαι, ἀλλ' ἅμα αὐτῷ καὶ τοῦ χρόνου, ἐν ᾧ τοῦτο γεγένηται, δημιουργηθέντος· οὔτε τῆς ὕλης καθ' αὑτὴν πρότερον ὑποστάσης ἐρήμου παντὸς εἴδους, ὥστε κινδυνεύειν τὴν ἀντίφασιν συνιέναι, ὄντος τινὸς ἐνεργείᾳ ἐνεργείας χωρίς· ἀλλ' ὁμοῦ τῷ γενέσθαι καὶ μορφὴν λαβούσης καθόλου τινά, διακριθείσης μέντοι γε ὕστερον κατὰ τὴν νῦν φαινομένην ὡραιότητα καὶ τὸ κάλλος· ὕστερον γὰρ ὅ τε οὐρανὸς ἐκοσμεῖτο φωτὶ καὶ ἡ γῆ τῆς τῶν ὑδάτων ἀπηλλάττετο σκέπης καὶ βοτάναις καὶ πᾶσι φυτῶν εἴδεσιν ὡραΐζετο· οὔτε τῆς αὐτῆς ὕλης οὐρανῷ τε καὶ τοῖς ἄλλοις σώμασι δεδομένης, πλὴν κατ' ἀναλογίαν· ἄλλως γὰρ ἂν ἔδει δυνάμει εἶναι τὴν τοῦ οὐρανοῦ ὕλην f. 114ᵛ πρὸς εἴδη | πλείω, οὐδ' ἄφθαρτα μόνον, ἀλλὰ δὴ καὶ τἀναντία, ὧν καὶ προσιόντων αὐτῇ ποτε καὶ μὴ προσιόντων, ἔδει γ' ἂν ἑκατέρωθεν οὐκ ἀπηλλάχθαι αὐτὴν τῆς προσηκούσης τοῖς φθαρτοῖς διαθέσεως· πρὸς δὲ τούτοις, οὐδὲ διὰ τῶν ἀΰλων οὐσιῶν, ἃς τοὺς ἀγγέλους εἶναί φαμεν, γεγενημένου τοῦ παντὸς τοῦδε, ἢ τῶν σωματικῶν εἰδῶν ὑπ' ἐκείνων τῶν οὐσιῶν μετοχῇ τινι τῇ ἐκεῖθεν καὶ ἐντυπώσει παραχθέντων τότε πρῶτον καὶ νῦν ἔτι παραγομένων, ἀλλ' ἀμέσως ὑπὸ Θεοῦ δημιουργηθέντων ἁπάντων, καὶ νῦν ἔτι τῇ τῆς πρώτης αἰτίας δυνάμει ὑπὸ τῶν μερικῶν καὶ συνθέτων ποιητικῶν δεχομένων τὰ εἴδη. Τῶν γὰρ Πλατωνικῶν τούτων θέσεων ἀμιγῆ καὶ καθαρεύουσαν ἡμῖν ἡ ἱερὰ θεολογία τὴν τοῦ παντὸς τοῦδε δημιουργίαν ἐκτίθησιν· ἅμα δὲ καὶ τῆς παρὰ Ἀριστοτέλει ἀϊδιότητος διδάσκει καταφρονεῖν, κἂν πολύ τι πιθανότητος τοῖς ὑπὲρ αὐτῆς προσῇ λόγοις, κἂν μηδὲν ἀναγκαῖον ὁ ἀνθρώπινος ἔχῃ συνεισφέρειν λόγος εἰς συνηγορίαν τῇ πίστει,

πλὴν τοῦ τὴν δοκοῦσαν ἀνάγκην τῶν Ἀριστοτελικῶν διαλύειν ἐπιχειρήσεων, καίτοι οὐδὲ παντάπασιν ἡ περὶ τῆς ἀϊδιότητος Ἀριστοτέλει δόξα πρὸς τὴν τῆς πίστεως ὑπόθεσιν ἐναντίως ἔχει, ἀλλὰ τῷ μὲν τιθέναι τὴν κίνησιν ἀεὶ εἶναι διαφωνεῖ· οὐδὲν γὰρ κατὰ τὴν πίστιν ἀεὶ εἶναι δύναται πλὴν αὐτοῦ μόνου Θεοῦ, πάντη γε ἀκινήτου τυγχάνοντος, εἰ μή τις βούλοιτο τὸ νοεῖν τὸν Θεὸν τὴν κίνησιν, τοῦτ' εἶναι τὴν κίνησιν· τοῦτο δ' ἂν ὁμωνύμως, οὐ συνωνύμως λέγοιτο· Ἀριστοτέλης δὲ οὐ περὶ τοιαύτης κινήσεως, ἀλλὰ περὶ τῆς κυρίως λεγομένης σκοπεῖ. Τῷ δὲ μὴ μᾶλλον περὶ τῆς κινήσεως λέγειν τοῦ οὐρανοῦ τοῦτον ἢ καθόλου περὶ | τῆς κινήσεως συνᾴδει τῇ πίστει· f. 115 αὕτη γὰρ τίθησι τὴν τοῦ κόσμου οὐσίαν οὕτως ἄρξασθαι εἶναι, ὡς μηδέποτε αὐτοῦ μέλλειν παύεσθαι. Τίθησι δὲ καί τινων ἀϊδίους κινήσεις ἔσεσθαι, καὶ μάλιστά γε ἀνθρώπων, οἵτινες διαμενοῦσι ζωὴν ἀνύοντες ἄφθαρτον, εἴτε τὴν ἐν ἀθλιότητι, εἴτε τὴν μακαρίαν. Καθόλου δὲ τῇ προσθήκῃ τοῦ ἀεὶ εἶναι μόνῃ διαφέροντα πρὸς τὴν πίστιν τὸν τῆς ἀϊδιότητος τίθησι λόγον Ἀριστοτέλης, οὐ μὴν δ' ἀλλὰ καὶ οἱ Πλάτωνα ἐκθειάσαντες ὕστερον· ἄνευ δὲ τούτου καλῶς ἔχει τὰ ἄλλα. Ὁρίζονται γὰρ ἀϊδιότητα τὴν ἐν τῷ ἀνεκλείπτως ἀεὶ εἶναι ἀμεταβλησίαν ἄνευ τῆς κατὰ χρόνον διαδοχῆς· ἄνευ γοῦν τοῦ ἀεὶ εἶναι, καλῶς ἂν ὁρίζοιτο οὕτως ἡ ἀϊδιότης, καὶ συγχωροῖτ' ἂν ἔνια, καὶ κατὰ τὴν ἡμετέραν πίστιν, τοῦτον εἶναι τὸν τρόπον ἀΐδια.

Τὰ μὲν οὖν περὶ ἀϊδιότητος, ᾗ τε κατ' Ἀριστοτέλη καὶ Πλάτωνα ἔχει καὶ κατὰ τὴν ἱερὰν ἀλήθειαν, τῇδε διωρίσθω. Ὃ δέ τινες περὶ Ἀριστοτέλους καὶ τῶν τῇ ἱερᾷ πιστευόντων ἀληθείᾳ φασίν, ὅτι τῇ κατ' αἰτίαν γενέσει καὶ τὴν χρονικὴν νομίζουσιν ἕπεσθαι, ὥστε τὸ ἀπ' αἰτίας ὂν δηλονότι καὶ ἐν χρόνῳ γίνεσθαι, καὶ τὸ μὴ ἐν χρόνῳ γινόμενον μηδ' ἀπ' αἰτίας εἶναι, τοῦτο καὶ Ἀριστοτέλους καὶ ἡμετέρᾳ τῶν τῇ ἱερᾷ προσεχόντων ἀληθείᾳ διαβολή ἐστιν ἄλογος οὐδὲν ἧττον ἢ ψευδής· οὐδαμοῦ γὰρ φαίνεται ταύτην τὴν ἀκολουθίαν Ἀριστοτέλης τιθείς· οὔθ' ἡμεῖς οἱ τῇ ὑψηλοτάτῃ Χριστοῦ πεφωτισμένοι νομοθεσίᾳ, ταύτῃ τῇ ἀκολουθίᾳ τὸ περὶ τῆς χρονικῆς τῶν ὄντων ἀρχῆς ἐρείδομεν δόγμα, ἀλλὰ τὸ μὲν ὡς ἀπ' αἰτίας ποιητικῆς τῆς πρώτης πάντων αἰτίας παραχθῆναι ταῦτα καὶ τῆς ἱερᾶς θεολογίας ἀκούομεν διδασκούσης καὶ Ἀριστοτέλει πειθόμεθα, καὶ αὐτῷ οὕτω φρονοῦντι, ὡς αὐτίκα δειχθήσεται. | Τὸ δ' ἐκ νέου γεγονέναι ταῦτα, καὶ μὴ τῇ πρώτῃ f. 115ᵛ αἰτίᾳ συναΐδια εἶναι, μόνῃ τῇ ἱερᾷ ἀληθείᾳ πιστεύομεν· σύνισμεν δὲ οὐκ ἀδύνατα πιστεύοντες, εἰ καὶ τῇ Ἀριστοτέλους περὶ ἀϊδιότητος δόξῃ ὑπεναντία πῃ· εἰ γὰρ καὶ τῷ γίνεσθαι καὶ τῷ γεγονέναι ἕπονται πάντα ὅσα τῷ οὐρανῷ, τῷδε καὶ τῇ αὐτοῦ κινήσει οὐχ ἁρμόττει, οὔτε τῇ παρακτικῇ τούτων ἀρχῇ· διὸ καὶ ὑπ' Ἀριστοτέλους ἡ γένεσις καὶ τὸ γεγονέναι καὶ τὸ γενητὸν εἶναι ἀπορραπίζεται· ἀλλ' ἡμεῖς οὔτε γένεσιν, οὔτε γίνεσθαι κυρίως καλοῦμεν τὴν καθόλου τῶν ὄντων παραγωγήν, οὔτε κίνησίν τινα

καὶ ὅλως μεταβολήν, ἀλλ' ἁπλῆν τινα τῆς ἄκρας ἀγαθότητος ἔκχυσιν· γένεσιν δὲ καὶ κτίσιν καὶ δημιουργίαν καὶ τὰ τοιαῦτα ὁμωνύμως καλοῦμεν σαφεστέροις ὀνόμασι τὴν ὡς ἐκ πηγῆς τῆς πρώτης αἰτίας ἄνευ ὑποκειμένου καὶ χωρίς τινος κινήσεως καὶ μεταβολῆς τῶν ὄντων πάντων οἷον ἀνάδοσιν, οὐκ ἐν χρόνῳ, ἀλλ' ἐν τῇ ἀρχῇ, τουτέστι σὺν τῇ ἀρχῇ τοῦ χρόνου καινοτομηθεῖσαν, οὐκ ἐκ φυσικῆς τινος ἀνάγκης τῆς πρώτης αἰτίας, ὡς ἂν ἐξομοιῶται ταύτῃ κατά γε τὴν ἐν τῷ εἶναι διαμονήν· ἀλλ' ἔκ τινος ἀνάγκης τῆς βουλήσεως ἀϊδίως μέν, ἀλλ' οὐ πρὸς ἀΐδιον ἀποτέλεσμα τεταγμένης. Διὸ δὴ οὐδ' ἀποδείξεις τῆς δόξης ταύτης φέρειν δυνάμεθα, εἴ γε τῆς τοῦ Θεοῦ βουλήσεως οὐδεὶς κτιστὸς νοῦς λόγον ἀποδοῦναι δύναται, ἀλλὰ μόνον ὡς οὐκ ἀναγκαῖα τὰ τὴν ἐναντίαν κατασκευάζοντα δόξαν ἀποδεικνύναι. Ὅτι δὲ οὐδ' Ἀριστοτέλης οἴεται τὸ μὴ ἐν χρόνῳ γενόμενον μηδ' ἀπ' αἰτίας εἶναι, δῆλόν ἐστιν ἐξ ὧν φησιν ἐν θ' τῶν Φυσικῶν· τὴν γὰρ ὠφέλειαν, οἷα εἰκός ἐστιν ἐν προοιμίοις, τοῦ περὶ τῆς ἀϊδίου κινήσεως προβλήματος δεῖξαι βουλόμενος, σκεπτέον δή φησι περὶ τούτου, πῶς ἔχει· f. 116 πρὸ ἔργου γάρ, οὐ μόνον | πρὸς τὴν περὶ φύσεως θεωρίαν ἰδεῖν τὴν ἀλήθειαν, ἀλλὰ καὶ πρὸς τὴν μέθοδον περὶ τῆς ἀρχῆς τῆς πρώτης, διότι κἀν τούτῳ τῷ βιβλίῳ κἀν τοῖς ὑπερκειμένοις τῶν φυσικῶν πρὸς ἀπόδειξιν τοῦ εἶναι πρώτην ἀρχὴν τῷ ἀϊδίῳ κέχρηται τῆς κινήσεως, καὶ ταύτην ἀνυσιμωτάτην τε ἡγεῖται καὶ ἀναντίρρητον ὁδὸν τῆς ἐπιχειρήσεως πρός γε τὴν τῆς πρώτης ἀρχῆς ἀπόδειξιν. Εἰ γὰρ καὶ τοῦ κόσμου παντὸς καὶ τῆς κινήσεως ἀϊδιότητι κοσμουμένων ἀνάγκη τὴν πρώτην τιθέναι ἀρχήν, πολλῷ μᾶλλον ἀφαιρουμένης ἐξ αὐτῶν τῆς ἀϊδιότητος· δῆλον γάρ ἐστιν ὡς ἅπαν ἐκ νέου γινόμενον ἀρχῆς τινος δεῖται τοῦτο καινοτομούσης, ὡς οὕτως εἰπεῖν. Οὕτως οὖν μόνως ἠδύνατ' ἂν οὐκ ἀναγκαῖον εἶναι δοκεῖν τὸ τιθέναι πρώτην ἀρχήν, εἴ γε ἦν ἐξ ἀϊδίου τὰ ὄντα. Ὅθεν, εἰ καὶ τούτου τεθέντος, ἕπεται ταύτην εἶναι, δείκνυται παντάπασιν ἀναγκαῖον τὸ τὴν πρώτην ἀρχὴν εἶναι.

Τὰ μὲν οὖν περὶ τῆς πρώτης ἀρχῆς τῆς ἀκινήτως κινητικῆς, ἣν δὴ Πλάτων αὐτοκίνητον λέγει, ὡς ἂν εἴ τις εἴποι αὐτοεργὸν ἢ καὶ μάλιστα αὐτοεργῆ, ἀποδεδειγμένα Ἀριστοτέλει ἄριστά τε καὶ τελεώτατα ἔν τε τοῖς περὶ κινήσεως λόγοις καὶ πολλαχοῦ τῶν Μετὰ τὰ φυσικά, χαλεπόν ἐστιν ἐκτιθέναι· οὐδείς δέ ἐστιν οὕτως ἀμαθὴς ἢ πονηρὸς ὥστ' ἀμφιβάλλειν εἰ ἕνα Θεὸν τὸν πρῶτον Ἀριστοτέλης, καὶ μίαν ἡγεῖται πρωτίστην πάντων ἀρχήν. Οἴεται δὲ Πλήθων, ὅτι κινητικὸν τοῦ οὐρανοῦ μόνον καὶ τῶν ὄντων ἁπάντων τὸ θεῖον τίθεται, τουτέστι τῆς φορᾶς αὐτῶν μόνης, οὐ μέντοι γε τοῦ εἶναι καὶ τῆς οὐσίας αἴτιον. Τοῦτο δὲ περιφανῶς ψεῦδός ἐστιν· ἐν γὰρ τῷ δευτέρῳ τῶν Μετὰ τὰ φυσικὰ αὐτῇ λέξει φησὶν οὕτως· „Οὐκ f. 116v ἴσμεν δὲ τὸ ἀληθὲς | ἄνευ αἰτίας, ἕκαστον δὲ μάλιστα αὐτὸ τῶν ἄλλων,

21 τῆς πρωτίστης D

καθ' ὃ καὶ τοῖς ἄλλοις ὑπάρχει τὸ συνώνυμον, οἷον τὸ πῦρ θερμότατον· καὶ γὰρ τοῖς ἄλλοις αἴτιον τοῦτο θερμότητος ὥστε καὶ ἀληθέστατον τὸ τοῖς ὑστέροις αἴτιον τοῦ ἀληθέσιν εἶναι. Διὸ τὰς τῶν ἀεὶ ὄντων ἀρχὰς ἀναγκαῖον ἀεὶ εἶναι ἀληθεστάτας· οὐ γάρ ποτε ἀληθεῖς, οὐδ' ἐκείνων αἴτιόν τι ἐστὶ τοῦ εἶναι, ἀλλ' ἐκεῖνα τοῖς ἄλλοις· ὥστε ἕκαστον ὡς ἔχει τοῦ εἶναι, οὕτω καὶ τῆς ἀληθείας." Δεῖξαι γὰρ βουληθεὶς ὡς ἡ πρώτη φιλοσοφία τὴν μάλιστα θεωρεῖ ἀλήθειαν, ἀξίωμά τι προσλαμβάνει τοιόνδε· ἐκεῖνο μάλιστα τόδε τί εἶναι λέγεται, ἐξ οὗ τι γίνεται τοῖς ἄλλοις, συνωνύμως λεγόμενον κατ' αὐτῶν, ὥσπερ τὸ πῦρ τοῖς ἐκ τῶν στοιχείων συγκειμένοις θερμότητος ὂν αἴτιον, ταύτῃ καὶ θερμότατόν ἐστιν· οὗ σημεῖον ἡ τοῦ ὀνόματος κοινωνία. Οὕτως οὖν καὶ τὸ τοῖς ὑστέροις αἴτιον τοῦ ἀληθέσιν εἶναι, ἀληθέστατόν ἐστιν, ἔργῳ καὶ ἀληθείᾳ μεταδιδὸν τοῦ ὀνόματος καὶ τοῦ ἔργου τῆς ἀληθείας· κἀντεῦθεν ἕπεται τὰς τῶν ἀεὶ ὄντων, τουτέστι τῶν οὐρανίων σωμάτων ἀρχάς, ἀληθεστάτας εἶναι· ἐπειδὴ γὰρ οὐ ποτὲ μὲν ἀληθεῖς εἰσι, ποτὲ δὲ μή, εἰκότως ὑπερβαίνουσι τὴν τῶν ἄλλων ἀλήθειαν, ἃ ποτὲ μὲν ἀληθῆ εἰσι, ποτὲ δὲ μή, τὴν τῶν γινομένων δηλονότι καὶ φθειρομένων. Ἐπεὶ δὲ οὐδέν ἐστιν αὐταῖς αἴτιον τοῦ εἶναι, ἀλλ' αὐταὶ μᾶλλον αἴτιοι τοῖς ἄλλοις τοῦ εἶναι, διὰ τοῦθ' ὑπερβαίνουσι τῇ ἀληθείᾳ καὶ τῇ ὀντότητι καὶ τὰ οὐράνια σώματα· ἅπερ εἰ καὶ ἄφθαρτα τυγχάνουσιν ὄντα, ἐξ αἰτίας ὅμως εἰσὶν οὐ κατὰ τὸ κινεῖσθαι μόνον, ἀλλὰ δὴ καὶ κατὰ τὸ εἶναι· ἀνάγκη γὰρ τὰ σύνθετα καὶ μετέχοντα πάντα ὥσπερ εἴς τινας αἰτίας τὰ καθ' αὑτὰ καὶ κατ' οὐσίαν ὄντα ἀνάγεσθαι. Πάντα δὲ τὰ | σωματικὰ ἐνεργείᾳ εἰσὶν ὄντα, καθό τινος εἴδους μετέχουσιν· ὅθεν f. 117 ἀνάγκη τὴν κεχωρισμένην οὐσίαν, εἶδος οὖσαν καθ' αὑτήν, ἀρχὴν τῆς σωματικῆς ὑπάρχειν οὐσίας. Ἀλλ' ἡ φιλοσοφία θεωρεῖ τὰς πρώτας αἰτίας, ὡς ἀποδέδεικται ἐν πρώτῳ. Οὐκοῦν ἑπόμενόν ἐστι ταύτην θεωρητικὴν εἶναι τῶν μάλιστα ἀληθῶν. Ὅθεν αὕτη μάλιστα ἂν εἴη ἐπιστήμη ἀληθείας· ἐξ ὧν πορίζεται καὶ τὸ ἕκαστον ὡς ἔχει τοῦ εἶναι, οὕτω καὶ ἀληθείας ἔχειν αὐτῆς, εἴ γε τὰ αἴτια τοῖς ἄλλοις τοῦ εἶναι καὶ μάλιστά εἰσιν ἀληθῆ. Οὕτως ὁ Φιλόσοφος ἐφρόνει τὸ θεῖον οὐ κινήσεως μόνον αἴτιον εἶναι τῷ οὐρανῷ, ἀλλὰ καὶ τῆς οὐσίας αὐτῆς καὶ τοῦ εἶναι.

Ἔτι, ἐν τρίτῳ τῶν Περὶ Κινήσεως τὰ αὐτὰ σχεδὸν λέγει· φησὶ γὰρ περὶ Δημοκρίτου· „Τοῦ δ' ἀεὶ οὐκ ἀξιοῖ ἀρχὴν ζητεῖν, λέγων ἐπί τινων ὀρθῶς· ὅτι δ' ἐπὶ πάντων, οὐκ ὀρθῶς· καὶ γὰρ τὸ τρίγωνον ἔχει δυσὶν ὀρθαῖς ἀεὶ τὰς γωνίας ἴσας, ἀλλ' ὅμως ἔστι τῆς ἀϊδιότητος ταύτης ἕτερον αἴτιον. Τῶν μέντοι ἀρχῶν οὐκ ἔστιν ἕτερον αἴτιον, ἀϊδίων οὐσῶν." Ὥσπερ οὖν ἐν βῆτα τῶν Μετὰ τὰ φυσικὰ ὁμοίως ἔλεγεν ἔχειν τὰ πράγματα πρός τε τὸ εἶναι καὶ πρὸς τὴν ἀλήθειαν, καὶ διὰ τοῦτο τὰ ἀεὶ

13 *ἔργου*: *λόγου* D 35 *τι* après *ἔστι* add D

ὄντα ἀληθῆ ἔχειν αἰτίαν τοῦ εἶναι, ᾗ ἐστιν αὐτοῖς αἰτία τοῦ ἀληθέσιν εἶναι, οὕτως ἐνταῦθά φησιν εἶναι μέν τινα ἀεὶ ὄντα, τουτέστι τὰ οὐράνια σώματα, ἔχειν μέντοι τοῦ εἶναι αἰτίαν· ὅθεν κἀνταῦθα φαίνεται τὸν μὲν κόσμον τιθεὶς ἀΐδιον εἶναι, τὸ δὲ θεῖον μὴ μόνον τῆς ἀϊδίου ταύτης κινήσεως, ἀλλὰ δὴ καὶ τοῦ εἶναι τούτῳ αἰτίαν.

Ἔτι, κἀν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά, κἀν τῷ ὀγδόῳ τῶν Φυσικῶν, εἶναί τινά φησιν ἀναγκαῖα τῆς αὐτῶν ἀνάγκης αἰτίαν ἔχοντα, f. 117v καὶ | ἕτερα μηδεμίαν αἰτίαν ἔχοντα τῆς ἀνάγκης. Εἶεν ἂν οὖν ταῦτα μὲν τὰ ἀΐδια ἀκίνητα, ἐκεῖνα δὲ τὰ ἀΐδια κινητά, ὥστε τὸ ἀΐδιον ἀκίνητον αἴτιόν ἐστι τῆς ἀϊδίου κινήσεως ἐν τοῖς κινητοῖς, ὥστε καὶ τοῦ ἀϊδίως εἶναι· εἰσὶ γὰρ ἀϊδίως, ἀϊδίως κινούμενα, ὥστε καὶ τοῦ εἶναι· τοῦτο γάρ ἐστι τὸ εἶναι αὐτοῖς, τὸ ἀϊδίως κινεῖσθαι ὑπὸ τῶν ἀϊδίως κινητικῶν· ὑφ' οὗ καὶ τοῖς ἄλλοτε ἄλλως ἔχουσιν ἐν τῷ κινεῖσθαί εἰσιν αἴτια.

Ἔτι, ἐν τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά φησιν· „Ἀνάγκη δὲ πάντα τὰ αἴτια, ἀΐδια, μάλιστα δὲ ταῦτα, τὰ κεχωρισμένα δηλονότι καὶ ἀκίνητα, περὶ ὧν ἡ πρώτη σοφία· ταῦτα γὰρ αἴτια τοῖς φανεροῖς τῶν θείων.“ Εἰ τοίνυν αἱ πρῶται αἰτίαι ἀκίνητοι καὶ ἄϋλοι αἴτιοί εἰσι τοῖς φανεροῖς τῶν θείων, τουτέστι τοῖς φαινομένοις καὶ αἰσθητοῖς, καὶ ἑπομένως αἴτιοι τῶν ἄλλων ὄντων, ὡς ἐν τῷ δευτέρῳ καὶ τοῦτο δείκνυσιν, εὔδηλον ὅτι ἡ ἐπιστήμη αὕτη τὰς κοινὰς αἰτίας πάντων τῶν ὄντων ὡς ὄντων σκοπεῖ· καὶ αὗται, εἴτε πλείους, εἴτε μία ἡ πρώτη, οὐ τῆς κινήσεως μόνης, ἀλλὰ καὶ τῆς οὐσίας αὐτῶν εἰσιν αἴτιοι.

Ἔτι, κἀν τῷ πρώτῳ τῶν Περὶ οὐρανοῦ, „Πάντες γάρ, φησί, τὸν ἀνωτάτω τῷ θείῳ τόπον ἀποδιδόασι, καὶ βάρβαροι καὶ Ἕλληνες, ὅσοιπερ νομίζουσιν εἶναι θεούς· δῆλον ὡς τῷ ἀθανάτῳ τὸ ἀθάνατον συνηρτημένον· ἀδύνατον γὰρ ἄλλως.“ Τί δ' ἂν ἕτερον εἴη τὸ συνηρτῆσθαι, εἰ μὴ τὸ ἅμα ἠρτῆσθαι καὶ προσεχῶς, τουτέστιν ἐξ ἐκείνου προσεχῶς τε καὶ ἀϊδίως ἔχειν τὸ εἶναί τε καὶ ζῆν. Ὅθεν τῷ κατὰ μετοχὴν ἀθανάτῳ οὐρανῷ τὸν φύσει τοῦτο ὄντα θεὸν ἀϊδίως καὶ προσεχῶς φησὶν ἐνταῦθα τοῦ εἶναι καὶ ζῆν αἴτιον· οὐ γὰρ δὴ κατὰ τόπον λέγει συνηρτῆσθαι ἢ κατὰ χρόνον, f. 118 ἐπεὶ τὸ μὲν φύσει ἀθάνατον ὑπὲρ τὸν οὐρανόν ἐστι καὶ ἔξω | αὐτοῦ· ἔξω δὲ οὐρανοῦ, οὔτε τόπος ἐστίν, οὔτε χρόνος, οὔτε κενὸν κατ' αὐτόν. Ταῦτα δ' ἐν τῷ αὐτῷ βιβλίῳ καὶ σαφέστατα προϊὼν φανεροῖ, αὐτῇ λέξει λέγων οὑτωσί· „Φανερὸν ἄρα, ὅτι οὔτε τόπος, οὔτε κενόν, οὔτε χρόνος ἐστὶν ἔξω· διόπερ οὔτ' ἐν τόπῳ τἀκεῖ πέφυκεν, οὔτε χρόνος αὐτὰ ποιεῖ γηράσκειν, οὐδ' ἔστιν οὐδενὸς οὐδεμία μεταβολὴ τῶν ὑπὲρ τὴν ἐξωτάτω τεταγμένην φοράν, ἀλλ' ἀναλλοίωτα καὶ ἀπαθῆ τὴν ἀρίστην ἔχοντα ζωὴν καὶ τὴν αὐταρκεστάτην διατελεῖ τὸν ἅπαντα αἰῶνα· καὶ γὰρ τοῦτο τοὔνομα θείως ἔφθεγκται παρὰ τῶν ἀρχαίων· τὸ γὰρ τέλος τὸ περιέχον τὸν τῆς ἑκάστου ζωῆς χρόνον, οὗ μηδὲν ἔξω κατὰ φύσιν, αἰὼν ἑκάστου κέκληται· κατὰ

τὸν αὐτὸν δὲ λόγον καὶ τὸ τοῦ παντὸς οὐρανοῦ τέλος, καὶ τὸ τὸν πάντα χρόνον καὶ τὴν ἀπειρίαν περιέχον τέλος αἰών ἐστιν, ἀπὸ τοῦ ἀεὶ εἶναι εἰληφὼς τὴν ἐπωνυμίαν· ἀθάνατος καὶ θεῖος· ὅθεν καὶ τοῖς ἄλλοις ἐξήρτηται τοῖς μὲν ἀκριβέστερον, τοῖς δ' ἀμαυρῶς τὸ εἶναι καὶ ζῆν.“ Ὥστε κἀκεῖ τὸ συνηρτῆσθαι, τὸ προσεχῶς καὶ ἀϊδίως ἔχειν τὸ εἶναι τὸν ἀθάνατον οὐρανὸν ἐκ τῆς φύσει ἀθανάτου οὐσίας δηλοῖ. Ἀλλὰ δὴ καὶ τὸ τοῦ οὐρανοῦ τέλος, ὅ φησιν αἰῶνα εἶναι, ὡς ἀεὶ ὄντα καὶ ἀθάνατον καὶ θεῖον, αἴτιόν φησι τοῖς ἄλλοις τοῦ εἶναι καὶ ζῆν, τοῖς μὲν ἀκριβέστερον, τοῖς δ' ἀμαυρότερον· οἷον ἀκριβέστερον μὲν τῷ συνηρτημένῳ καὶ προσεχῶς ὄντι οὐρανῷ, διότι καὶ αὐτὸς καθ' ὁμοίοτητα ἐκείνου ἀθάνατός ἐστι καὶ θεῖος· ἀμαυρότερον δέ, τοῖς πόρρω διακειμένοις καὶ ὑπὸ τὸν οὐρανὸν πράγμασιν.

Τούτων οὖν οὐδὲν ἂν εἴη σαφέστερον πρὸς ἀπόδειξιν τοῦ μὴ μόνον οὐκ εἰς ἀθεότητα ἀποκλίνειν, ἀλλὰ καὶ τὰς ἀμείνους καὶ ὑψηλοτέρας δόξας | μόνον ἐν ἀνθρώποις Ἀριστοτέλη δοξάσαι. Εἰ γὰρ τέλος ἐστὶ τοῦ f. 118ᵛ οὐρανοῦ τοῦδε καὶ παντὸς ὄντος τὸ θεῖον, ὡς ἐν τοῖς Μετὰ τὰ φυσικὰ δείκνυσι σαφῶς ὁ Φιλόσοφος, τούτου δὲ ἐξήρτηται τοῖς ἄλλοις τὸ εἶναι καὶ ζῆν, ὧν τὰ μὲν συνηρτημένα εἰσί, τουτέστι τὰ τῶν σωμάτων θειότερα, τὰ δὲ διὰ τῶν συνηρτημένων πρὸς ἐκεῖνο τὴν ἀναφορὰν ἔχει, πῶς οὐχ ἅμα καὶ τέλος καὶ ποιητικὸν αἴτιον καὶ παραγωγὸν τοῦ εἶναι καὶ ζῆν τοῖς ὁπωσοῦν οὐσίας καὶ ζωῆς μετέχουσιν ἀποφαίνεται τὸν Θεόν; Καὶ πολλῷ βέλτιον οὗτος λέγει τῶν ἐξαρτώντων τοῦ ἰδανικοῦ κόσμου καὶ τῶν ἰδεῶν τὸν σύμπαντα οὐρανόν, καὶ τῇ καθ' ἡμᾶς συμφωνότερον ἀληθείᾳ.

Πρὸς δὲ τούτοις, εἰ πρώτην ἀρχὴν τῶν ὄντων ἀποφαίνεται τὸν Θεόν, δῆλον ὅτι καὶ ποιητικὸν τοῦ οὐρανοῦ τοῦτον ὑπολαμβάνει, καὶ τοῦ εἶναι αἴτιον· ἀρχὴν γάρ φησιν Ἀριστοτέλης οὐ μόνον τοῦ γίνεσθαι, ἀλλὰ καὶ τοῦ εἶναι καὶ γινώσκεσθαι· πασῶν γάρ φησι τῶν ἀρχῶν κοινὸν τὸ πρῶτον εἶναι, ὅθεν ἢ ἔστιν, ἢ γίνεται, ἢ γινώσκεται· εἰ γοῦν ἀρχήν τινα νομίζοι πρώτην τοῦ ὄντος, εἰ μήτε τοῦ γινώσκεσθαί ἐστιν ἀρχή· φύσει γὰρ αὕτη φανερωτάτη, ὡς αὐτός φησιν, ἡμῖν δὲ σαφέστερα μᾶλλον τὰ ὑπ' αὐτήν, καὶ δι' αὐτῶν ἐκείνη γινώσκεται· μήτε τοῦ γίνεσθαί ἐστιν ἀρχή, ἀγενήτου τοῦ οὐρανοῦ κατ' αὐτὸν ὄντος, εἴη ἂν ἀρχή, κατ' αὐτὸν Ἀριστοτέλη, τοῦ εἶναι. Εἰ δ' ἐφαρμόττων τὸ κοινὸν τοῦτο πάσης ἀρχῆς τοῖς εἴδεσιν, ἴσως τι παρῆκεν εἶδος ἀρχῆς, ὃ τῇ πρώτῃ ἀρχῇ προσῆκον ἂν εἴη, θαυμαστὸν οὐδέν· εἴδη γάρ τινα τῆς ἀρχῆς ἐκτίθεται, περιεκτικὰ πλειόνων καὶ εἰς πολλὰ καὶ ἄπειρα διαβαίνοντα, ἃ μετέχουσι τοῦ εἴδους ἑκάστου. Ὁ δὲ μάλιστα πρέπων | Θεῷ τῆς ἀρχῆς τρόπος ἁπάντων ἐξήρηται, καὶ Θεῷ f. 119 μόνῳ, μηδενὶ δὲ ἑτέρῳ προσήκων ἐστίν. Ἀλλ' ἀρκεῖ τοσοῦτον, ὡς ἀρχὴν

---

3 *εἰληφὸς* AD 7 *τέλος* om M 14 *οὐκ* en interligne A 22 *ἰνδανικοῦ* AD

φησι πᾶσαν εἶναι, ὅθεν πρῶτον ἢ ἔστιν ἢ γίνεται ἢ γινώσκεταί τι· ἀρχὴν δέ τινα τῶν ὄντων πρώτην ἰσχυρίζεται εἶναι.

Ἀλλὰ μὴν ὁ αὐτὸς καὶ περὶ τοῦ αἰτίου λόγος ἐστίν· ἰσαχῶς γάρ, φησί, ταῖς ἀρχαῖς καὶ τὰ αἴτια λέγεται, πλὴν τῷ λόγῳ διενηνόχασιν· ὅτι τῷ μὲν τῆς ἀρχῆς ὀνόματι τάξις τις ἰδίως δηλοῦται πρὸς τὸ ὑπ' αὐτήν· τῷ δὲ τῆς αἰτίας, ἐπιρροή τις ἀπ' αὐτῆς πρὸς τὸ εἶναι τοῦ αἰτιατοῦ· ὥστε εἴ τις ἀρχή ἐστι τοῦ εἶναι τῷ οὐρανῷ, καὶ αἰτία ἂν εἴη τούτου ἡ αὐτή, εἰ καὶ μὴ κατὰ τὸ γινώσκεσθαι ἢ γίνεσθαι, κατὰ γοῦν τὸ εἶναι· ὅλως δὲ τὸ κινητικὸν αἴτιον καὶ ποιητικόν ἐστι κατ' Ἀριστοτέλη· καὶ τὸ κινεῖν ὁμοίως ποιεῖν ἐστιν· ἐν γὰρ τῷ μ' τῶν Μετὰ τὰ φυσικά· „Οὔτε οὖν, φησί, τοῦ ποιῆσαι αἴτιος ὁ ἀριθμός, οὔτε ἡ ὕλη, οὔτε λόγος καὶ εἶδος, ἀλλὰ μὴν οὐδ' ὡς οὗ εἵνεκα.“ Βούλεται γὰρ τὸν ἀριθμὸν μὴ εἶναι τοῖς πράγμασιν αἴτιον, οὔτε ὡς τὸ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, οὔτε ὡς τὰ λοιπὰ τῶν αἰτίων εἴδη. Καὶ ἐν τῷ λ' τῶν Μετὰ τὰ φυσικά· „Ἀλλὰ μὴν εἰ ἔστι κινητικόν, φησίν, ἢ ποιητικόν, μὴ ἐνεργοῦν δέ τι, οὐκ ἔστι κίνησις.“ Καὶ πάλιν· „Ἀλλὰ μὴν οὐδὲν ἔσται τῶν ἐναντίων, ὅπερ ποιητικὸν καὶ κινητικόν· ὁ γὰρ ἀριθμὸς οὐ ποιήσει συνεχὲς οὔτε ὡς κινοῦν, οὔτε ὡς εἶδος.“ Καὶ πολλαχοῦ δὲ φαίνεται ταὐτόν τι οἰόμενος εἶναι ποιητικὸν εἰπεῖν αἴτιον, καὶ κινητικόν, καὶ κινοῦν, καὶ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, καὶ πᾶσι τούτοις ὡς συνωνύμοις χρώμενος δή που. Εἰ τοίνυν συγχωροῦσιν ἑκόντες οἴεσθαί τινα τὸν Φιλόσοφον φύσιν κινητικὴν τοῦ f. 119v |παντός, ὅτι δήπου καὶ ποιητικὴν ταύτην φρονεῖ, ἐξ ὧν αὐτός φησι καὶ ἄκοντες συγχωρήσουσι. Καὶ πάλιν ἐν τῷ αὐτῷ λ' φησίν· „Ἔτι, τίνι οἱ ἀριθμοὶ ἕν, ἢ ἡ ψυχὴ καὶ τὸ σῶμα, καὶ ὅλως τὸ εἶδος καὶ τὸ πρᾶγμα, οὐδὲν λέγει οὐδείς, οὐδὲ ἐνδέχεται εἰπεῖν, ἐὰν μὴ ὡς ἡμεῖς εἴποι, ὡς τὸ κινοῦν ποιεῖ.“

Ἐντεῦθεν οὖν οὐ τοῦτο δείκνυται μόνον, ὅτι ποιητικόν φησιν εἶναι τὸ κινητικόν, ἀλλ' ὅτι καὶ τοῖς μηδεμίαν αἰτίαν τῆς ἐν τοῖς οὖσιν ἑνότητος ἀποδιδοῦσιν ἐπιτιμᾷ καὶ οὐδὲ βουληθέντας ἂν φησι τοῦτο δυνηθῆναι ποιεῖν, εἰ μὴ φαῖεν ὅπερ αὐτὸς λέγει· λέγει δὲ αὐτὸς τῆς ἐν τοῖς οὖσιν ἑνότητος ἁπλῶς αἴτιον εἶναι τὸ κινοῦν, καὶ ταύτην ὑπ' αὐτοῦ τοῖς οὖσιν ἐνδίδοσθαι. Εἰ τοίνυν κινεῖ μέν τι τὸ πᾶν τόδε, ἕν πῃ τυγχάνον καὶ ἔμψυχον ὂν κατ' αὐτὸν Ἀριστοτέλη καὶ Πλάτωνα, τῆς δ' ἑνότητος ὥσπερ ἀριθμῶν καὶ ψυχῆς πρὸς τὸ σῶμα, οὕτω καὶ παντὸς εἴδους καὶ πράγματος αἴτιόν ἐστι τὸ κινοῦν, δῆλον ὅτι τῆς τοῦ παντὸς ἑνότητος αἴτιον ἀποφαίνεται τὸν Θεόν, τῆς τε ἄλλης καὶ ἣν ἔχει τῷ ἔμψυχον εἶναι, καὶ οὐ τῆς περιφορᾶς μόνον. Καὶ ὅλως, ὡς οἱ περὶ Πλάτωνα τὰ εἴδη καὶ τοὺς ἀριθμοὺς αἴτια

---

11 *ἡ* om D *οὔτε λόγος καὶ εἶδος* om AM 12 *οὐδ' ὡς οὗ*: *ὡς δ' ὡς οὗ* A; *ὡς δι' οὗ* M 34 *τὸ* om D

τῶν ὄντων ἔλεγον εἶναι, οὐ δή που κινήσεως αὐτῶν, ἀλλὰ μᾶλλον ἀμεταβλησίας αὐτῶν, ὡς οἷόν τε, καὶ τοῦ εἶναι· καίτοι ἡμάρτανον διδόντες εἴδεσί τε καὶ ἀριθμοῖς τὰ ἀδύνατα· πῶς γὰρ ἄν, φησί, καὶ ποιοίη τὰ εἴδη τὴν ἑνότητα ἐν τοῖς πράγμασιν, εἴ γε ταύτην μὲν ποιεῖ τὸ κινοῦν, τὰ δ' οὐκ ἔχει λόγον αἰτίας κινητικῆς; Ὅτι δὲ τὴν ἐν τοῖς πράγμασιν ἑνότητα τὸ κινοῦν ποιεῖ, σαφέστατα ἐν ... τῶν Μετὰ τὰ φυσικὰ δείκνυσιν. Εἰ δὲ τῆς ἐν τῷ παντὶ τῷδε | ἑνότητος αἴτιον τὴν πρώτην ἀρχὴν εἶναι νομίζει, f. 120
ἣν δὴ κινητικὸν αἴτιον τοῦ παντὸς οἴεται, οὐδ' ἂν βουληθεὶς ἔφυγε τὸ καὶ αἰτίαν αὐτῷ τῆς οὐσίας ταύτην ἀποφαίνεσθαι καὶ τοῦ εἶναι· ὃς ἕκαστον οὕτως ὀντότητος, ὥσπερ δὴ καὶ ἑνότητος ἔχειν ὑπολαμβάνει, καὶ ὄν τε καὶ ἓν ἀντιστρέφειν φησίν· ὡς δὲ καὶ ἀγαθὸν καὶ γένος ἕν τι συνώνυμον, τῶν ὄντων ἁπάντων ταῦτα τίθεται τὰ ὀνόματα, ἅτε διὰ πάντων τῶν ὄντων διῆκον, εἰ καὶ μὴ συνωνύμως πάντων κατηγοροῖτο. Ὅλως δὲ τοὔνομα τῆς αἰτίας Ἀριστοτέλης, ἐν τῷ δ' τῶν Μετὰ τὰ φυσικὰ διαιρῶν, ὧδέ πως περὶ τῆς κινούσης αἰτίας διαλαμβάνει· „Ἔτι, ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς ἡ πρώτη, ἢ τῆς ἠρεμήσεως, οἷον ὁ βουλεύσας αἴτιος, καὶ ὁ πατὴρ τοῦ τέκνου, καὶ ὅλως τὸ ποιοῦν τοῦ ποιουμένου, καὶ τὸ μεταβλητικὸν τοῦ μεταβάλλοντος."

Παραδείγματα τοίνυν ἐνταῦθα τῆς κινητικῆς αἰτίας τὸν βουλεύσαντα τίθησι, καὶ τὸν πατέρα τοῦ τέκνου· τῶν γὰρ κινητικῶν αἰτίων τὸ μὲν τὴν ἐσχάτην τελειότητα τῷ πράγματι δίδωσιν, ἢ τὸ οὐσιῶδες εἶδος εἰσάγον, ὡς ὁ πατὴρ ἐν τοῖς φυσικοῖς, ἢ τὸ τῆς τέχνης, ὡς ὁ οἰκοδόμος τυχόν, καίτοι καὶ τὸ τὴν ὕλην τῷ εἴδει παρασκευάζον ποιητικὸν ἂν αἴτιον λέγοιτο· οἷον λιθοξόος καὶ ξυλουργός, ἀλλ' οὐ κυρίως κατά γε τὸν τὰ ἔσχατα διατιθέντα, οἷς ἐξ ἀνάγκης τὸ εἶδος ἕπεται· οὕτω γὰρ ἄνθρωπος ἐξ ἀνθρώπου γεννᾶται, αὐτοῦ μὲν τῷ λογικῷ πρέπουσαν εἴδει διδόντος ὕλην, τῆς δὲ πρώτης ἀρχῆς ποιούσης τὸ εἶδος· καὶ τῷ ὑλικῷ τῷδε ὀργάνῳ τοῦτο ἐγχέοντος, οὐ πρὶν ἐγχεθῆναι δημιουργηθέν, ὡς οἱ περὶ Πλάτωνα πλάττουσιν, ἀλλ' ἅμα τε ἐγχεόμενον καὶ δημιουργούμενον· ᾧ δὴ τρόπῳ καὶ τὴν πρώτην τοῦ ἀνθρώπου | γενέσθαι ποίησιν τὸ ἱερὸν ἱστόρησε γράμμα· f. 120v
βοηθεῖ δὲ καὶ τὸ συνεργαζόμενον τῷ ποιοῦντι πρὸς τὸ τέλος, ἀλλὰ διενήνοχεν ἐκείνου τῷ τέλει· οὐ γὰρ τὸ ἴδιον, ὥσπερ τὸ ποιοῦν, ἀλλὰ τὸ τοῦ ποιοῦντος τέλος σκοπεῖ· ὥσπερ ἡ δευτέρα αἰτία τῇ πρώτῃ πρὸς τὸ ταύτης τέλος συναγωνίζεται ἐν πᾶσι τοῖς τεταγμένοις ποιητικοῖς. Ταῦτα μὲν οὖν πάντα τῷ τοῦ πατρὸς ἐμπεριείληφε παραδείγματι· ἔστι δέ τι καὶ κινητικὸν αἴτιον τὸ βουλεῦον· ὅθεν τὸ τέλος καὶ εἶδος τῆς πράξεως ἐνδίδοται τῷ ποιοῦντι, ὡς ἔχει τὸ πρῶτον ποιοῦν διὰ νοῦ πρὸς ἅπαν ποιητικὸν δεύτερον, ἄν τε φύσει, ἄν τε διανοίᾳ ποιοίη· τοῦτο γὰρ τῷ δευτέρῳ ποι-

---

6 blanc après *ἐν* pour la référence omise 10-11 *καὶ ἓν τε καὶ ὂν* D

ητικῷ τὸ τέλος καὶ τὸ εἶδος δίδωσι τῆς ποιήσεως, ὡς αἱ ἀρχιτεκτονικαὶ ταῖς ὑπουργικαῖς τῶν τεχνῶν, καὶ ὡς τὸ πρῶτον αἴτιον ἁπάσῃ τῇ φύσει.

Πρὸς δὴ τοῦτο τὸ τῆς αἰτίας γένος καθόλου ἅπαν ἀνάγων ὁ Φιλόσοφος ποιοῦν, εἶναί τι ὁπώσποτε φησὶν ὡς οὐ μόνον τὸ ποιοῦν ἐστιν αἰτία τοῦ ποιουμένου, ἀλλὰ καὶ τὸ μεταβλητικὸν τοῦ μεταβάλλοντος. Προσέθηκε δὲ τῇ μεταβολῇ τὴν ἠρέμησιν καὶ τὴν στάσιν, ὅτι ἡ φυσικὴ κίνησις καὶ ἠρεμία πρὸς τὴν αὐτὴν αἰτίαν ἀνάγονται· ὡσαύτως δὲ καὶ ἡ βίαιος ἠρεμία καὶ κίνησις, πρὸς ἣν καὶ τὸ τοῦ ἄνευ μεταβολῆς ποιοῦντος αἰτιῶδες ἀνήκει, τῷ γε τῆς φυσικῆς κινήσεως κανόνι παραβαλλόμενον. Τὸ γὰρ ἄνευ μεταβολῆς καὶ οὐκ ἐν τῷ ἐφεξῆς, ἀλλ' ἅμα ὅλον γινόμενον, ἔοικέ πῃ τῷ παρὰ φύσιν γινομένῳ. Ἐν δυσὶ τοίνυν παραδείγμασι, τῷ τε κατὰ τὸν πατέρα καὶ τῷ κατὰ τὸν βουλεύσαντα, τῶν δύο ἀρχῶν τῆς κινήσεως ἥψατο καθόλου, ἐξ ὧν πάντα γίνεται· τῆς μὲν προθέσεως ἐν τῷ βουλεύσαντι, τῆς δὲ
f. 121 φύσεως ἐν τῷ πατρί· ὥστε κινητικὴν αἰτίαν οὐ τὸ τοῦ | κινεῖσθαι μόνον αἴτιον λέγει, ἀλλὰ τὸ ποιητικόν· τῶν μὲν μεταβαλλόντων οὐκ ἄνευ μεταβολῆς, τῶν δὲ ἀμεταβλήτων κατ' αὐτὸν ἄνευ τοῦ μεταβάλλειν.

Χαλεπὸν δέ ἐστι πιστεύειν, ὅτι τὰ μὲν οὐράνια σώματα μὴ μόνον κινήσεως, ἀλλὰ καὶ τοῦ εἶναι τοῖς ἄλλοις αἴτια φρονεῖ, μεταβαλλόντων μὴ μεταβάλλοντα· τὸ δὲ τὰ οὐράνια σώματα κινοῦν αἴτιον μόνον τοῦ κινεῖσθαι αὐτὰ ἀποφαίνοιτο, ὡς οὐ μεταβαλλόντων κατὰ τὸ εἶναι, ὡς ἐντεῦθεν πλέον δραστηριότητος τῷ οὐρανῷ ἢ τῇ πρώτῃ πάντων αἰτίᾳ προσεῖναι, δι' ἣν τῆς τε θειότητος καὶ ἀϊδιότητος καὶ ἀμεταβλησίας τὸν οὐρανὸν μετέχειν φησὶ πανταχοῦ ὡς ἐκείνῃ πολλῷ μᾶλλον παντὸς θειοτάτου τε καὶ ἀρίστου πρέποντος. Καὶ τοῦτο σαφὲς ἐν τῷ δευτέρῳ τῶν Περὶ οὐρανοῦ· „Τὸ μὲν γὰρ κινούμενον δέδεικται, φησίν, ὅτι πρῶτον καὶ ἁπλοῦν καὶ ἀγένητον καὶ ἄφθαρτον καὶ ὅλως ἀμετάβλητον· τὸ δὲ κινοῦν πολὺ μᾶλλον εὔλογον εἶναι τοιοῦτον. Τὸ γὰρ πρῶτον τοῦ πρώτου, καὶ τὸ ἁπλοῦν τοῦ ἁπλοῦ, καὶ τὸ ἄφθαρτον καὶ ἀγένητον τοῦ ἀφθάρτου καὶ ἀγενήτου κινητικόν.“ Ὥστε καὶ τῆς πρώτης αἰτίας τοῦ εἶναι τὰ ὄντα ἐν τοῖς κινητοῖς ἡ πρώτη αἰτία τοῦ εἶναι πάντα τὰ ὄντα καθάπαξ κινητική ἐστι κατ' αὐτόν. Καὶ τὸ κινοῦν πολὺ μᾶλλον αἴτιον εἶναι δεῖ τῆς οὐσίας τῶν ὄντων· δῆλον γὰρ ὡς οὐδὲ τὸ πρῶτον καὶ ἁπλοῦν καὶ ἄφθαρτον καὶ ἀγένητον συνωνύμως τοῦ οὐρανοῦ κατηγορεῖ καὶ τῆς πρώτης αἰτίας, ἀλλ' ἐκείνης πολὺ μᾶλλον, δηλονότι ἀμφοῖν ὁμωνύμως, καὶ κυρίως μὲν ἐκείνης, κατά τινα δὲ ἀναλογίαν καὶ τούτου· οὐ γὰρ ἀπὸ τύχης ὁμωνύμως, εἴγε ἐν τῷ δευτέρῳ τῶν Περὶ οὐρανοῦ, „μηδὲν ὡς ἔτυχε, μηδὲ ἀπὸ
f. 121v ταὐτομάτου ἐνδέχεσθαι ἐν | τοῖς ἀϊδίοις εἶναί φησιν, ἀλλὰ διά τινα αἰτίαν.“ Ὅτι δὲ μηδὲ συνωνύμως, δῆλον ἐκ τοῦ τὰ μὲν κοινὰ προσεῖναι πολὺ

7 δὲ en interligne AD

μᾶλλον τῷ κινοῦντι· διαφέρειν δὲ αὐτοῖς καὶ τὰ ἰδίως ὑπάρχοντα· ὁ μὲν γὰρ οὐρανὸς μεταβάλλει κατὰ τὸ ποῦ γοῦν· ἡ δὲ πρώτη ἀρχὴ οὐδαμῇ οὐδαμῶς· καὶ ὃ μὲν σωματικῆς ἐστι φύσεως, ἣ δὲ σώματί τε καὶ ὕλῃ οὐδαμῇ οὐδαμῶς κοινωνεῖ. Ἀλλὰ μὴν καὶ ἐν τῷ εἰκοστῷ τῶν Μετὰ τὰ φυσικά φησιν· „Πῶς γὰρ ἔσται τάξις, μηδενὸς ὄντος ἀϊδίου καὶ χωριστοῦ καὶ μένοντος;“ ὡς οὐκ ἂν εἶναι δηλονότι δυναμένης τῆς ἀϊδίου τάξεως ἐν τοῖς πράγμασιν, εἰ μὴ ἦν τις ἀρχὴ χωριστὴ καὶ ἀΐδιος, ἥτις ἂν διδοίη τοῖς πράγμασι τὴν ἀϊδιότητα. Εἰ δὲ τῆς ἀϊδιότητος αἴτιόν ἐστι τὸ πρῶτον κινοῦν, αὕτη δέ ἐστι τὸ ἀεὶ εἶναι, τοῦ ἄρα ἀεὶ εἶναι αἴτιον οὐρανῷ, κατ' Ἀριστοτέλη, τὸ πρῶτον κινοῦν· εἰ δὲ τούτου, πολλῷ ἄρα μᾶλλον τοῦ εἶναι· ὃ διδόναι μείζονι ἂν πρέποι δυνάμει καὶ διαρκεστέρᾳ. Μαρτυρεῖ δὲ οὐδὲν ἧττον τῶν εἰρημένων Ἀριστοτέλει τὴν δόξαν ταύτην καὶ τὰ ἐν αὐτῷ δὴ τούτῳ τῷ εἰκοστῷ τῶν Μετὰ τὰ φυσικὰ ἠπορημένα· „Ἔτι δ' εἴπερ ἐστί, φησί, τις οὐσία καὶ ἀρχὴ τοιαύτη τὴν φύσιν, οἵαν νῦν ζητοῦμεν, καὶ αὕτη μία πάντων καὶ ἡ αὐτὴ τῶν τε ἀϊδίων καὶ φθαρτῶν, ἀπορίαν ἔχει διὰ τί ποτε, τῆς αὐτῆς ἀρχῆς οὔσης, τὰ μέν ἐστιν ἀΐδια τῶν ὑπὸ τὴν ἀρχήν, τὰ δ' οὔ.“ Ἧς ἀπορίας τὴν λύσιν αὐτόθι μὲν οὐκ ἐπάγει· ἐξ ὧν δ' ἀλλαχοῦ φησιν, ἔστι καταμαθεῖν, ὡς καὶ εἶναι τοιαύτην τινὰ φύσιν μάλα βούλεται, καὶ πάντων εἶναι καὶ φθαρτῶν καὶ ἀφθάρτων ἀρχήν· τοῦ δ' ἔνια φθαρτὰ εἶναι τῶν ἀπ' αὐτῆς τὸ πλεῖστον αὐτῆς διεστάναι κυρίαν αἰτίαν ἥγηται. Διὰ τοῦτο γοῦν ἐν αὐτοῖς τὴν γένεσιν καὶ τὴν | φθορὰν f. 122 κτίζεσθαι διὰ τῆς μέσης αἰτίας, ἥτις ἄφθαρτός ἐστι κατ' οὐσίαν· καὶ ταύτῃ μὲν ἐξομοιουμένη πρὸς τὴν πρώτην αἰτίαν, τῷ δὲ κατὰ τὸ ποῦ μεταβάλλειν ἀνομοίως ἔχουσα, πάντῃ ἀμεταβλήτῳ οὔσῃ, ὡς τῇ πρωτίστῃ πάντων καὶ αὐταρκεστάτῃ καὶ μάλιστα οὔσῃ ἐχρῆν. Καθόλου δὲ τῷ μὴ μόνον ποιητικὸν αἴτιον, ἀλλὰ καὶ τελικὸν καὶ παραδειγματικὸν τοῦ τε οὐρανοῦ καὶ δι' αὐτοῦ, τοῦ παντὸς ὄντος, ποιεῖν τὸν Θεόν, δῆλός ἐστιν Ἀριστοτέλης, δημιουργὸν αὐτὸν τοῦ παντὸς τοῦδε εἶναι οἰόμενος. Ἐν γὰρ τῷ περὶ Ἀρχῶν πρώτῳ, τὸ εἶδος τοῦ φυσικοῦ πράγματος „θεῖον εἶναί φησι καὶ ἀγαθὸν καὶ ἐφετόν“· καθ' ὁμοιότητα δηλονότι τοῦ εἴδους, ὅπερ ἐστὶ θειότατον καὶ ἄριστον καὶ ἔσχατον ἐν τοῖς ἐφετοῖς. Τοῦτο δέ ἐστιν ἡ κεχωρισμένη ἄϋλός τε καὶ ἀκίνητος φύσις· ἥτις ἀρχή ἐστι τοῦ ὄντος ᾗ ὄν· καὶ διὰ τοῦτο ὑποκείμενόν ἐστιν ἐν τῇ πρώτῃ φιλοσοφίᾳ, ὡς αὐτός φησιν ἐν ἐκείνῳ τῷ μέρει· „Περὶ δὲ τῆς κατὰ τὸ εἶδος ἀρχῆς, πότερον μία, ἢ πολλαί, καὶ τίς ἢ τίνες εἰσί, δι' ἀκριβείας τῆς πρώτης φιλοσοφίας ἔργον ἐστὶ διορίσαι,“ περὶ ἧς ἄρα καὶ διωρίσατο ἐν τῷ τριακοστῷ τῶν Μετὰ τὰ φυσικά. Ὡς οὖν ἐκείνου τοῦ εἴδους πάντα ἐφίεται, οὕτω τοῦ φυσικοῦ εἴδους ἡ ὕλη ἐπιθυμεῖ· καὶ ὡς ἡ ὕλη ἐνδεής ἐστι τοῦ εἴδους, οὕτω καὶ τὰ ἐφιέμενα τῆς ἀρχῆς ἐκείνης ἐνδεᾶ δήπου εἰσίν, εἰ καὶ τῇ τῶν ἄλλων παραθέσει τέλειά εἰσι καὶ αὐτάρκη. Καὶ ὡς ἡ ὕλη ἐντελεχείᾳ διὰ τὸ εἶδος

ἐστιν, οὕτω καὶ τὰ ὄντα πάντα ἐνεργείᾳ εἰσί, τῆς πρώτης ἀρχῆς ἕνεκα· ἧς μάλιστα ἡ οὐσία κατ' Ἀριστοτέλη ἐνεργείᾳ πέφυκεν. Καὶ ὡς τὰ τῶν f. 122v γενητῶν καὶ φθαρτῶν εἴδη ἐκ | τῆς τῶν οὐρανίων σωμάτων ἐστὶν ἐπιρροῆς, οὕτω καὶ τὰ εἴδη τούτων, ἀφθάρτων ὄντων καὶ κινητῶν, ἐκ τῆς ἀκινήτου καὶ πρώτης οὐσίας εἰσίν· οὔσης γάρ τινος ἀναλογίας, ὡς τῷ φυσικῷ εἴδει πρὸς ἐκεῖνο τὸ εἶδος, καὶ ⟨τῷ ἐφιεμένῳ πρὸς τὸ ἐφιέμενον, τὰ τοιαῦτα πάντα ὁμοίως ἀμφοῖν ἕπεσθαι δεῖ κατ' ἀναλογίαν. Διαφέρει δὲ τά τε ἄλλα καὶ τῷ τὸ μὲν τῷ κινοῦντι προσγεγενημένον ἑτέρωθεν ἐξ αὐτοῦ τῷ γινομένῳ ἐνδίδοσθαι, ὡς αὐτός φησιν Ἀριστοτέλης, ὅτι εἶδος οἴσεταί τι τὸ κινοῦν. Τὸ δὲ πρῶτον εἶδος ἐκεῖνο, τὸ αὐτὸ καὶ ποιοῦν εἶναι· ὅθεν τουτὶ μὲν τὸ εἶδος διαφέρει πραγματικῶς τοῦ ποιοῦντος, ὡς τὸ ἁπλοῦν τοῦ συνθέτου, καὶ ὡς τὸ μέρος τοῦ ὅλου, ὅπερ ἐστὶ τῆς ἐνεργείας ἀρχή· ἐκεῖνο δὲ ἕν ἐστι τῷ γε πράγματι· οὐ γάρ ἐστιν ἐν τῷ ποιοῦντι, ἀλλ' αὐτό ἐστι τὸ ποιοῦν. Εἰ δὲ καὶ μὴ ἐφικνεῖται τὰ ὄντα πρὸς τὴν ἀκριβῆ τοῦ εἴδους αὐτοῦ ὁμοιότητα, ὥσπερ ὁ γεννώμενος ἄνθρωπος πρὸς τὴν τοῦ γεννῶντος, ἀλλὰ δράττονταί τινος ὁμοιότητος τῷ γε ἐμφαίνειν τὸν ὑπὸ τοῦ Θεοῦ νοούμενον Λόγον καὶ τὴν νοερὰν ἐκείνου θέλησιν τὸ Πνεῦμα τὸ ἅγιον· ὧν τῷ μὲν ὡμοίωται τῷ πρὸς ἐκεῖνον γεγενῆσθαι· τῇ δέ, τῷ τῆς τοῦ πεποιηκότος ἀγαθότητος τὸν ἐνόντα τρόπον ἐφίεσθαι. Ταυτὶ γὰρ ὑπὲρ Ἀριστοτέλην προστιθέσθω, τῆς ἱερᾶς πίστεως ὄντα, ἅμα δὲ καὶ ὑπὲρ Ἀριστοτέλους, ὅτι τῆς τοιαύτης ἀληθείας πολλὰς ἡμῖν καὶ αὐτὸς δίδωσιν ἀφορμάς· οἶμαι δὲ καὶ Πλάτων αὐτός.

Ἀρκεῖ τοίνυν τοῖς ὑπὸ τῆς πρώτης αἰτίας παρηγμένοις οὕτω γοῦν τὸ θεῖον εἶδος ἔχειν ἐν ἑαυτοῖς, ὥσπερ καὶ τῇ ἐν τῇ ὕλῃ οἰκίᾳ τὸ πρὸς f. 123 τὴν ἐν τῇ τοῦ τεχνίτου διανοίᾳ καλῶς εἰκασθῆναι· | δῆλον γάρ, ὡς οὐ καθ' ὁμοιότητα τῶν φύσει ποιούντων, ἀλλ' ὡς ἐκ τέχνῃ ποιοῦντος τὸ σύμπαν τόδε ὑπὸ τῆς πρώτης αἰτίας παρήχθη. Εἰ γοῦν καὶ τὸ εἶδος καὶ τὸ παράδειγμα ἐν τῷ αὐτῷ γένει πως τῆς αἰτίας ὑπ' Ἀριστοτέλους τίθενται, λέγοντος ἐν τῷ δευτέρῳ τῶν Φυσικῶν· „Ἄλλον δὲ τρόπον καὶ τὸ εἶδος, καὶ τὸ παράδειγμα, ἀλλὰ βέλτιόν ἐστι λέγειν παραδειγματικὴν αἰτίαν εἶναι τοῦ παντὸς τὸν Θεὸν διὰ τὴν ἀτελῆ ὁμοιότητα.“ Διὰ ταῦτα τοίνυν οὐ ποιητικὸν μόνον αἴτιόν ἐστιν ὁ Θεός, ἀλλά γε καὶ εἰδικόν, τουτέστι παραδειγματικόν· ἑαυτῷ γὰρ παραδείγματι κεχρημένος, τὸ σύμπαν τόδε πεποίηκεν, οὐκ εἴδεσί τισιν ἔξω που κειμένοις προσέχων. Διὸ καὶ τῆς τῶν ὄντων διακρίσεως ἡ αἰτία ἐκ τῆς τάξεως ἀνέσχε τῶν λόγων καὶ τῶν εἰδῶν, οὓς ὁ πρῶτος ἐν ἑαυτῷ διετύπωσε νοῦς· οὐκ ἔκ τινος ποικιλίας ἄλλων εἰδῶν, πρὸς ἃ τόδε ξυστῆναι τὸ πᾶν ὑπὸ τῆς πρώτης αἰτίας οἱ

---

7 *ἐν* devant *ἀμφοῖν* add D 9 *δίδοσθαι* D, *ἐν* en interligne A 13 *ἔνεστι* M 14 *ἀφικνεῖται* M 28 *πως* en interligne AD 29 *καὶ* après *τρόπον* om D

περὶ Πλάτωνα ἀξιοῦσιν· οὗτοι γάρ, οἷς λέγουσι, τὸν θεῖον ἐκεῖνον καὶ ὑψηλότατον νοῦν παχύτερον τῶν ἐν ἀνθρώποις ἀποφαίνουσι δημιουργῶν, οἳ πρὸς τὸ συλληφθὲν ἐν τῇ διανοίᾳ, οὐ πρὸς τὸ ἔξω κείμενον εἶδος δημιουργοῦσι πολλάκις, εἰληφότες μὲν πρότερον ἔξωθεν, ἀλλ' ἔχοντες νῦν, ἐν τῷ ἐνεργεῖν οὐ λαμβάνοντες, οὐδ' ἔξω σφῶν αὐτῶν ἀλλ' ἐν ἑαυτοῖς τοῦτο προϊστάμενοι ἐν τῷ ποιεῖν κατ' αὐτό· καίτοι καὶ αὐτῶν εἰδῶν δημιουργὸν λέγουσιν οἱ περὶ Πλάτωνα τὸν Θεόν, καὶ οὕτω γ' ἂν χείρων εἴη τῶν ἀνθρώπων δημιουργῶν, οἳ ἐπαινοῦνται τῷ κρείττω τῶν ἔξωθεν παραδειγμάτων δημιουργεῖν, αὐτὸς τὰ πρὸς τὰς ἰδέας πεποιημένα οὐχ ὅπως βελτίω, ἀλλ' οὐδ' ὅμοια δυνηθεὶς ἀποφαίνειν, καὶ ἢ ἧττον δυνάμενος, ἢ ἐπιλελησμένος τῆς ἕξεως εἴη ἄν, εἰ τὰς μὲν | ἰδέας παραδειγμάτων χωρὶς f. 123 v
ἀρίστας πεποίηκε, τὰ δ' ἄλλα πολὺ χείρω, καίτοι παραδειγμάτων αὐτῷ κειμένων. Τί δὲ κωλύσει καὶ αὐτὰς τὰς ἰδέας πρὸς ἄλλας ἰδέας γεγονέναι ἄν, ὧν εἰσι χείρους τῇ ὁμοιότητι, καὶ τοῦτο ἐπ' ἄπειρον καὶ ἀεὶ χείρω δημιουργεῖν τὸν Θεόν; Εἰ δὲ τὰς ἰδέας πρὸς ἑαυτὸν πεποίηκεν ὁ Θεός, ἑαυτοῦ γε οὔσας τῇ φύσει χείρους, τί μὴ καὶ πάντα πρὸς ἑαυτὸν ποιήσειε, δυνάμενον πάντων εἶναι ἰδέαν, εἴ γε δεῖ τὰ πρὸς τὴν ἰδέαν γινόμενα χείρω αὐτῆς εἶναι, αὐτὸς δὲ τῶν ἔργων αὐτοῦ ἀπείρῳ ὅσῳ ὑπέρκειται;

Θαυμαστὸν δὲ καὶ εἰ ἀληθεύουσιν οἱ λέγοντες Πλάτωνα ἀΐδιον τιθέναι τὸν κόσμον, οὐ πρὸς αὐτὸν Θεόν, ἀλλὰ πρὸς τὸν εἰδητικὸν εἰργασμένον κόσμον. Εἰ γὰρ καὶ τὰ εἴδη ἐγχωρεῖ ἀΐδια εἶναι, ἀλλὰ τὸ πρὸς ταῦτα γεγενημένον ἀδύνατον ὁμοίως εἶναι ἀΐδιον, ἀλλ' ἀνάγκη φύσει τε ἐκεῖνα καὶ ἀϊδιότητι διαφέρειν. Ταῦτα μὲν οὖν δι' ἀκριβείας ἐν ἄλλοις λόγοις ἐξετασθήσεται· νῦν γὰρ παρέργως τούτων ἡψάμεθα καὶ ἐξ ἐπιπολῆς. Ἀλλὰ κατά γε Ἀριστοτέλη καὶ αὐτὴν ἀλήθειαν, τὸ μὲν φύσει καὶ συνωνύμως ποιοῦν τὴν ὁμοιότητα τῆς οὐσίας ἐντίθησι· τὸ δὲ τέχνῃ καὶ ὁμωνύμως, τὸ νοητὸν εἶδος εἰσάγει τῷ ποιουμένῳ, οὐχ ὡς ἔστιν ἐν τῷ νοοῦντι, ἀλλ' ὡς ἐν χείρονι πολλῷ διαθέσει τῇ τοῦ ποιουμένου μεταληφθῆναι δύναταί τε καὶ προσήκει. Τουτὶ δὲ τὸ εἶδος ταὐτὸν μέν ἐστι τῷ ποιοῦντι νῷ κατ' οὐσίαν, νοῦς ὢν δή που νοούμενος, εἰ καὶ ὡς ἀντικείμενον τοῦ θείου νοῦ τῷ εἰδητικῷ διενήνοχε λόγῳ· οὐκ ἔστι δὲ ταὐτὸν τοῖς δι' αὐτοῦ ἢ πρὸς αὐτὸ γινομένοις, ἀλλὰ μόνον ὅμοιον· νοεῖ γὰρ ὁ θεῖος νοῦς αὐτό, εἰ καὶ τεταγμένον πως πρὸς τὸ ἀποτέλεσμα, ἀλλ' ἐν ἑαυτῷ ὄν. Ὅθεν, εἰ καὶ παράδειγμα χείρονός ἐστι φύσεως, ἅτ' ἐν φαυλοτέρᾳ διαθέσει μεταλαμβανόμενον, ἀλλ' οὐδὲν ἧττον ἐπὶ τῆς οἰκείας ἀξίας ἵδρυται, | καὶ νοῦς ἐστιν f. 124
ὄντως ἀμιγής τε καὶ ἀπαθὴς παντὸς χρήματος, ὅσα πρόσεστι τοῖς δι' αὐτοῦ

---

11 *γ' ἂν εἴη τῆς ἕξεως* D 14 *ἂν* om D 18 *αὐτὸς δὲ — ὑπέρκειται* om D; en marge de la main de Scholarios A 27-29 *οὐχ ὡς — προσήκει* om D, en marge de la main de Scholarios A

τὴν ὕπαρξιν εἰληφόσι· καὶ οὐδέν ἐστιν ἄλλο, τῷ γε πράγματι, ἢ αὐτὸς ὁ πρῶτος καὶ ἀναίτιος νοῦς.

Τὸ τοίνυν εἶδος ἐκεῖνο, τὸ πάντῃ ἄϋλον καὶ ἀκίνητον καὶ πρῶτον ἁπάντων (δεῖ γὰρ πρὸς τὴν ἐξ ἀρχῆς ἐπανελθεῖν πρόθεσιν), καὶ κινητικόν ἐστιν αὐτὸ τῶν ἄλλων εἰδῶν εἴτουν ποιητικόν, καὶ πρὸς τὴν ἰδίαν ὁμοιότητα ἐκεῖνα κινεῖ, καὶ πᾶσι ταύτην ἐντίθησι, τοῖς μὲν τελεώτερον, τοῖς δ' ἀτελέστερον· ὅθεν ἕπεται καὶ τέλος εἶναι πάντων αὐτὸ καὶ ἀγαθόν, οὐκ ἐνυπάρχον, ἀλλ' ἔξωθεν κινοῦν τε καὶ τελειοῦν καὶ ἐπιστρέφον πάντα πρὸς ἑαυτόν, τουτέστιν ἀγαθὸν βέλτιστόν τε καὶ ἔσχατον, ἀλλ' οὐ τέλος ἐστὶν ἑαυτοῦ· οὐ γὰρ πάσχον ποιεῖ, ἀλλὰ ποιεῖ μόνον· ὅθεν οὐδὲ τοῦ τυχεῖν ἀλλὰ τοῦ δοῦναι μόνον στοχάζεται· καὶ τὰ πρὸς αὐτὸ τεταγμένα καὶ αὐτοῦ ἐφιέμενα λαμβάνουσι μόνον ἕκαστον ἐξ αὐτοῦ, ἣν ἂν ἐκεῖνο βούληται ἐν ἐκείνῳ γίνεσθαι τελειότητα· οὐδὲν δὲ αὐτῷ κέρδος περιποιοῦσιν, ὥσπερ τοῖς ἄλλοις ποιητικοῖς τὰ ἐξ αὐτῶν ὁπώσποτε προϊόντα· ὥστε καὶ ποιητικὴ καὶ παραδειγματικὴ καὶ τελικὴ πάντων αἰτία κατ' Ἀριστοτέλη πέφυκεν ὁ Θεός· ταῦτα γὰρ τὰ τρία τὸν τοῦ τέλους καὶ τοῦ ἀγαθοῦ λόγον ἔχουσι· τὸ δὲ ἀγαθὸν καὶ τέλειον καὶ αὔταρκες μάλιστα τῇ πρώτῃ αἰτίᾳ αὐτὸς ἀποδίδωσι· πάντα γὰρ τὰ εἰρημένα ταῖς ἐκείνου θέσεσιν ἕπεται. Ἀλλὰ μὴν οὐδεὶς ἀγνοεῖ, κατ' Ἀριστοτέλη, ἀνταποκρινόμενα ἀλλήλοις εἶναι ταῦτα τὰ αἴτια, τὸ ποιητικὸν δηλαδὴ καὶ τὸ τελικόν· ἔστι γὰρ ὡς τὸ ποιοῦν αἴτιον τοῦ τέλους ἔν τισιν, οὕτω καὶ τὸ τέλος
f. 124v αἴτιον τῷ ποιοῦντι, οὐ τῆς οὐσίας, ἀλλὰ τοῦ αἰτίῳ τε | καὶ ποιοῦντι εἶναι· αἴτιον γάρ ἐστι τὸ ποιητικὸν τῷ ποιεῖν· δρᾷ δὲ τέλους εἵνεκα· διὸ βέλτιόν ἐστι τῷ Θεῷ αἰτίῳ τελικῷ εἶναι ἢ ποιητικῷ, εἴπερ τὸ τελικὸν αἰτίων ἐστὶν αἴτιον, τῆς μὲν ὕλης οὔσης διὰ τὸ εἶδος, τοῦ δέ, διὰ τὸ ποιοῦν· τοῦ δὲ ποιοῦντος, διὰ τὸ τέλος· καὶ ᾧ ἂν ἄμφω προσείη ὁμοῦ, μάλιστ' ἂν αἴτιον εἴη τῷ τέλος εἶναι.

„Εἰ γὰρ καὶ ἄμφω τὼ τῆς αἰτίας γένη τῷ αὐτῷ πρόσεστιν, ὡς ἐν τῷ τριακοστῷ φησίν, ἀλλὰ τῷ εἰδικῷ διενηνόχατον λόγῳ· ὥστε δεῖ ζητεῖν κατὰ πότερον μάλιστά ἐστιν αἴτιον.“ Διὸ καὶ περὶ Ἀναξαγόρου λέγει, τἀγαθὸν πρώτην ἀρχὴν εἶναι φάσκοντος ὡς τὸ κινοῦν, ὅτι κινεῖ μὲν ὁ νοῦς πάντα, ἀλλ' ἕνεκά του· ὅθεν ἔδει καὶ ἀρχήν τινα ἑτέραν τιθέναι, δι' ἣν κινεῖ· „Εἰ μὴ ἴσως ἔλεγεν Ἀναξαγόρας, ὥσπερ ἡμεῖς, φησί, λέγομεν, ὅτι δυνατόν ἐστι τὸ αὐτὸ εἶναι καὶ νοοῦν καὶ νοούμενον, ὥστε καὶ ποιητικὸν ἅμα καὶ τελικόν, ὥσπερ ὑγεία καὶ ἰατρική· ἡ γὰρ ἰατρικὴ ποιεῖ διὰ τὴν ὑγείαν, καὶ αὐτὴ ἡ ὑγεία τρόπον τινά ἐστιν ἡ ἰατρική, καθόσον ἐν ταῖς ποιητικαῖς ἐπιστήμαις τὸ ἐπιστητὸν ὕλης χωρὶς λαμβανό-

---

13 *ἐκείνῳ*: *ἑκάστῳ* D

μενον αὐτή ἐστιν ἡ ἐπιστήμη, κἀν ταῖς θεωρητικαῖς τὸ τί ἦν εἶναι τοῦ πράγματος τοῦτ' ἔστιν ἡ νόησις αὐτοῦ καὶ ἡ ἐπιστήμη."

Ὅπου δῆλός ἐστιν Ἀριστοτέλης καὶ ποιητικήν τινα καὶ θεωρητικὴν ἐπιστήμην ἀποδιδοὺς τῷ Θεῷ, εἴ γε δι' ἀμφοῖν λύει τὰς ἀντιθέσεις, αἳ πρὸς τὸ τὸν Θεὸν εἶναι τὴν αὐτοῦ νόησιν ἀναθρώσκειν ἐδόκουν· καὶ τῇ μὲν πρὸς τὰς ποιητικὰς τῶν ἐπιστημῶν ὁμοιότητι ποιητικόν τε ἅμα καὶ τελικόν· τῇ δέ γε πρὸς τὰς θεωρητικὰς καὶ εἰδικὸν αἴτιον ἀποφαίνεται δήπου τὸν πρῶτον καὶ ἄριστον καὶ τελειότατον νοῦν. Εἰ δὲ τέλος μόνον ἐφρόνει τὸν Θεὸν εἶναι, οὐκ ἂν ἀρχὴν αὐτὸν ἔλεγεν ἐν τῷ τριακοστῷ τῶν Μετὰ τὰ φυσικά· ὥστε καὶ ἀρχήν, | τουτέστι ποιητικὸν ἢ κινητικὸν f. 125 αἴτιον, ἤδει τοῦτον καὶ τέλος. Διὸ καὶ τὴν ἀϊδιότητα τοῦ ἀκινήτου κινητικοῦ ἐκείνῳ τῷ λόγῳ δείκνυσιν, ᾧ μηδὲ προβαίνειν ἐπ' ἄπειρον ἐν τῷ γένει τῶν ποιητικῶν αἰτίων ἐδείκνυ. Εἰ δὲ τοῦτ' αὐτὸ τέλος εἶναι οἰόμενος τὸν Θεὸν καὶ οὕτω μόνον κινεῖν, ἀρχὴν διὰ τοῦτο τὸν Θεὸν ἔλεγε, δῆλον ὅτι, κατ' αὐτόν, τὸ τέλος οὐκ ἔστιν ἀρχὴ εἰ μὴ καθό ἐστιν ἐν τῷ σκοπῷ τοῦ ποιοῦντος· οὗ χάριν ἐν τῷ ῥηθέντι τριακοστῷ, ἀρχήν τινα λέγων εἶναι τὸ ποιητικόν, τὸ εἶδος καὶ τὴν ὕλην, προσθεὶς δὲ αὐτοῖς καὶ τὴν στέρησιν, τοῦ τέλους οὐκ ἐμνημόνευσεν ἅμα. Οὐκοῦν καὶ οὕτω ποιητικὴν μέν τινα ἂν ἐφρόνει τοῦ οὐρανοῦ εἶναι τὴν ἀρχήν, ἧς ἐν τῷ σκοπῷ τὸ τέλος κείμενον, ἔδει καὶ αὐτὸ ἀρχὴν εἶναι· ἡμάρτανε δ' ἄν, πρώτην ἀρχὴν τοῦτο τὸ τέλος λέγων, καὶ ὑπὸ τοιούτου μάλιστα κινεῖσθαι τὸν ἀγένητον, ὥς αὐτός φησιν, οὐρανόν· τὸ γὰρ τοιοῦτο τέλος δυνάμει μόνον ἐστί, τῇ ἐνεργείᾳ τοῦ ποιοῦντος εἰς τὴν ἰδίαν ἰὸν ὕπαρξιν. Ἀλλ' ἀδύνατόν ἐστι ταῦθ' οὕτως Ἀριστοτέλη φρονεῖν, ὡς ἐξ ὧν φησι περὶ τῆς πρώτης πάντων ἀρχῆς διαφαίνεται· ἅμα δὲ δῆλον, ὅτι κἂν συμβαίνοντα ἑαυτῷ, κἂν τἀναντία ἅμα δὲ καὶ ἀδύνατα λέγοντα αὐτὸν ὑποθοίμεθα, ἐξ ἀνάγκης ἐφρόνει ποιητικήν τινα ἀρχὴν εἶναι τοῦ οὐρανοῦ, οὐ τῷ τοῦ τέλους μόνον λόγῳ κινητικήν· ἄνευ δὲ τούτων ὁ οὐρανός, ᾗ κινεῖται ὑπὸ τῆς πρώτης ἀρχῆς, οὐκ ἔστι κινῶν· οὐκ ἄρα κινεῖται ὑπ' αὐτῆς ὡς τέλους· ὑπὸ γὰρ τοῦ τέλους κινεῖται τὸ ποιητικὸν αἴτιον ὡς ἕνεκα αὐτοῦ ἐνεργοῦν, οὐ ποιεῖ δὲ αὐτὸς ἑαυτῷ τὸ τέλος· οὐ γὰρ ἂν τούτου ἐφίετο· ἄλλως δ' ἂν καὶ αὐτοκίνητος ἦν, ὅπερ οὔτε περὶ τοῦ οὐρανοῦ, οὔτε περὶ τοῦ ἀκινήτου κινητικοῦ συγχωρεῖν Ἀριστοτέλης | δοκεῖ· κινεῖται ἄρα ὡς ἀπ' αἰτίας κινητικῆς f. 125ᵛ εἴτουν ποιητικῆς. Ἀλλὰ μὴν καὶ πρὸς τέλος τι κινεῖται ὁ οὐρανός, καὶ τὸ κινοῦν αὐτὸν τέλους χάριν κινεῖ· ἐκεῖνό τε οὖν ἄριστον ὄν, κινεῖ πρὸς τὸ ἄριστον, πρὸς ἑαυτὸ ἄρα· καὶ αὐτὸς οὐρανὸς πρὸς τὸ ἄριστον κινεῖται, ἄριστον ὂν τῶν σωμάτων καὶ θειότατον· πρὸς τὸ ἄριστον ἄρα κινούμενος, καὶ ὑπὸ τοῦ ἀρίστου ἅμα κινεῖται, ἑνὸς ὄντος.

Ταῦτα δὲ πάντα σχεδὸν αὐτῇ λέξει Ἀριστοτέλους εἰσίν, εἴ τις καλῶς τοῖς ἐκείνου προσέχειν βούλοιτο· καὶ οὐχ ἡμεῖς δόξαν ἀλλοτρίαν αὐτῷ

περιτίθεμεν, ὥσπερ ἐπιδεικνύντες τί ἔδει φρονεῖν Ἀριστοτέλη, ἀλλὰ τῷ ὄντι τί Ἀριστοτέλει περὶ τῶν προκειμένων ἐπῆλθε φρονεῖν, ἐξ ὧν αὐτὸς εἶπε συνάγομεν· ὥστε κατ' Ἀριστοτέλη καὶ κινητικὸν καὶ τελικὸν αἴτιον τοῦ παντός ἐστιν ὁ Θεός, καὶ εἰδικόν, ὡς πρότερον ἀποδέδεικται, τουτέστι παραδειγματικόν· καὶ οἱ ἄλλως φρονεῖν ἐκεῖνον οἰόμενοι οὔτε τῇ λέξει αὐτοῦ, οὔτε τῇ διανοίᾳ προσέχουσι· καὶ αὐτῇ γὰρ λέξει αἴτιον τοῦ εἶναι καὶ ζῆν ἅπασι τοῖς ὁπωσοῦν οὖσι τὴν ἀΐδιον καὶ πρώτην καὶ ἀκίνητον ἀρχὴν ἀποφαίνεται· καὶ ταύτης ἠρτῆσθαι λέγει τὸν οὐρανὸν δηλονότι κατὰ τὸ εἶναι, ὡς ἀποδέδεικται, καὶ ἅμα ἐξ ὧν τίθησι περί τε οὐρανοῦ καὶ τῆς πρώτης ἀρχῆς. Καὶ καθόλου περί τε ἀρχῆς καὶ τῶν ἄλλων τοῦτ' αὐτὸ συμπεραίνεται ἀναγκαίως· ἄνευ δὲ τῶν ἄλλων, ἀρκεῖ δηλῶσαι τὴν Ἀριστοτέλους γνώμην καλῶς, ὡς ἐν τέλει τοῦ τριακοστοῦ περὶ τῆς πάντων ἀρχῆς καὶ τῆς τάξεως καὶ τῆς ἀϊδίου γενέσεως θεωρήσας ἄριστά τε καὶ τελεώτατα, ἐπάγει· „Ὅτι εἰ μὴ ἔσται παρὰ τὰ αἰσθητὰ ἄλλα, οὐκ ἔσται ἀρχὴ καὶ τάξις καὶ γένεσις καὶ τὰ οὐράνια· ἀλλ' ἀεὶ τῆς ἀρχῆς ἀρχή, ὥσπερ τοῖς θεολόγοις καὶ τοῖς φυσικοῖς πᾶσι." Μὴ οὐσῶν γάρ, φησί, τῶν νοητῶν
f. 126 οὐσιῶν, πρῶτον μὲν ἀδύνατον εἶναι ἀρχήν· | τὴν γὰρ ἀρχὴν νοητήν τινα οὐσίαν καὶ ἄϋλον καὶ ἀκίνητον ὁ λόγος τέθεικεν εἶναι, ἀρχῆς δὲ ἀναιρουμένης, ἀναρεῖσθαι δεῖ καὶ τὴν τάξιν· δέδεικται γὰρ ὅτι καθάπερ τὸ τοῦ στρατεύματος ἀγαθὸν καὶ ἡ τάξις διὰ τὸν στρατηγόν ἐστι καὶ παρὰ τοῦ στρατηγοῦ, οὕτως ἐστὶ καὶ ἡ τοῦ παντὸς τάξις διὰ τὸν πρῶτον κινοῦντα· ὥστ' ἐν τῷ παντὶ δηλονότι τεταγμένῳ γε ὄντι πληροῦσθαι τὸ εἶδος ἐκεῖνο τῆς τάξεως, τὸ ἐν τῷ νῷ καὶ τῇ βουλήσει τοῦ πρώτου ποιοῦντος κείμενον· τὸ γὰρ ἀγαθὸν τοῦ παντὸς οὐκ ἐν αὐτῷ μόνον ἐστὶ τῷ παντί, ἀλλὰ καὶ ἔξω αὐτοῦ τι κεχωρισμένον καὶ τῆς ἐν τῷ παντὶ τάξεως αἴτιον· διὸ καὶ μᾶλλόν ἐστιν ἀγαθόν. Οὐ γὰρ τὸ ἐν τῇ βουλήσει τοῦ τάττοντος ἀγαθόν, φησίν, αἰτίαν ἔχει τὴν ἐν τῷ τεταγμένῳ τάξιν, οἷον ὁ στρατηγὸς τὴν ἐν τῷ στρατεύματι, ἀλλὰ τὸ ἀνάπαλιν, ἡ ἐν τῷ παντὶ τάξις αἰτίαν ἔχει τὴν ἐν τῇ βουλήσει τοῦ τάττοντος, ὥσπερ ἡ τοῦ στρατεύματός ἐστι διὰ τὸν στρατηγόν. Τοῦ γὰρ στρατοῦ τἀγαθόν ἐστιν ἐν τῷ πληροῦν ἔργῳ τὴν τοῦ στρατηγοῦ βούλησιν. Ὥσπερ οὖν ἀρχῆς ἀναιρουμένης ἀναιρεῖται τάξις, οὕτω καὶ τάξεως ἐκβαλλομένης, ἀναιρεῖται γένεσις· εἰ γὰρ καὶ ἀΐδιός ἐστιν ἡ γένεσις τῇ τοῦ εἶναι διαμονῇ, φησίν, ἀλλὰ διακεκρῖσθαι δεῖ τὰ ὄντα κατ' οὐσίαν ἀλλήλων καὶ ἰδίας ἐνεργείας ἔχειν· τοῦτο δ' εἰ μὴ ἀπὸ ταὐτομάτου εἴη, ὑπό τινος αἰτίας δεῖ εἶναι ἢ γίνεσθαι, ἢ τῆς πρώτης ἀρχῆς, ἢ τῆς φύσεως, ἐπιταττούσῃ τῇ πρώτῃ ἀρχῇ ὑπουργούσης· ῥοπὴ γάρ τις ἐστὶν ἡ φύσις πρὸς τὸ οἰκεῖον ἑκάστῳ τέλος, ὑπὸ τοῦ πρώτου νοοῦντος καὶ τάττοντος ἐπιτεταγμένη· ὅθεν καὶ κατὰ τὰς ἰδίας ἐνεργείας

---

33 *φησίν* en marge A, en interligne D

αὐτῶν τὰ ὄντα πρὸς ἕν πως πάντα δεῖ συντετάχθαι διὰ τῶν προσεχῶν αἰτιῶν πρὸς τὴν πρώτην ἀναγόμενα. Ἔνια δέ, φησί, καὶ κοινωνοῦντα τῶν αὐτοῖς ὑπαρχόντων ἀγαθῶν τῷ | (f. 126v) παντὶ αἴτια γενέσεώς εἰσιν· οὕτω γὰρ πρὸς τὸ κοινὸν ἀγαθὸν τοῦ παντὸς τάττονται, οὐσίας τε ὄντα ἑτέροις αἴτια καὶ ὑπάρξεως καὶ τάξεως, τό γε εἰς αὐτὰ ἧκον, καὶ τὸ χωριστὸν ἀγαθὸν τοῦ παντὸς μιμούμενα· καὶ ὡς αὐτὰ προσεχῶς τὸ εἶναι ἐκεῖθεν ἔχει, οὕτω καὶ αὐτὰ ἄλλοις τοῦ εἶναι μεταδίδοντα. Εἰ γοῦν τῆς πρώτης ἀρχῆς ἀναιρουμένης, ἀναιρεῖται τάξις, τάξεως δὲ ἀναιρουμένης ἀναιρεῖται γένεσις, τῆς ἄρα πρώτης ἀρχῆς ἀναιρουμένης, ἀναιρεῖται γένεσις· οὐκοῦν τὴν πρώτην ἀρχήν, ἣν νοερὰν καὶ ἄϋλον τίθησι, καὶ τάξεως ἐν πᾶσι τοῖς οὖσι, καὶ γενέσεως ἐν τοῖς γινομένοις καὶ τῶν οὐρανίων ἁπάντων ἀρχὴν ἀποφαίνεται· καὶ διήκειν τὸ αἰτιῶδες καὶ ἀρχικὸν αὐτῆς ἀπὸ τῶν οὐρανίων ἐπὶ πάντα τὰ γινόμενα καὶ φθειρόμενα, ὥστε καὶ ταύτης μὴ οὔσης ἄν, μηδ' ἂν ἐκεῖνα πάντα δύνασθαι εἶναι.

Ταῦτα δὲ εἰπών, ἐπιτιμᾷ τοῖς τιθεῖσι πρῶτον τὸν ἀριθμὸν καὶ τούτου ἐχομένην ἑτέραν τινὰ φύσιν, δηλονότι τὰ μεγέθη, καὶ μετ' ἐκείνην αὖθις τὰ αἰσθητά, καὶ ἑκάστοις αὐτῶν διαφερούσας τιθεμένοις ἀρχάς· „Ποιοῦσι γάρ, φησίν, οὗτοι τὴν οὐσίαν τοῦ παντὸς ἐπεισοδιώδη,“ τουτέστιν ἄτακτον καὶ ἐνδεχομένην, ὡς ἴσον δύνασθαι πρὸς τὴν τοῦ παντὸς τάξιν, ἄν τε παρῇ, ἄν τε ἀπῇ τῶν αὐτοῦ μερῶν ὁτιοῦν, ἃ τοῖς συμβεβηκόσι πάντα ἁρμόττει. Ἐπειδὴ γὰρ τὴν ἀρχὴν τοῦ συμβεβηκότος συμβεβηκὸς εἶναι δεῖ, τὰ δὲ μεγέθη καὶ οἱ ἀριθμοὶ συμβεβήκασι τοῖς οὖσιν, αὐτῶν τε αἱ ἀρχαὶ συμβεβηκότα ἂν εἶεν καὶ ὧν ταῦτά εἰσιν ἀρχαί· ὥσθ' ἡ τοῦ παντὸς φύσις ἐπεισοδιώδης ἔσται. Ἀλλὰ τοῦτ' ἀδύνατόν, φησί, διότι τὰ ὄντα οὐ βούλεται διακεῖσθαι κακῶς, φύσιν τινὰ πρὸς τἀγαθὸν ἔχοντα· τὸ δὲ πλῆθος τῶν ἀρχῶν φαύλην ἂν ἐν τῷ παντὶ ποιοίη διάθεσιν, | (f. 127) μὴ πρὸς μίαν τὴν πρώτην ἀναφερόμενον, ἐξ ἧς ταῖς ἄλλαις καὶ δι' αὐτῶν πᾶσι τοῖς οὖσι, μετὰ τοῦ εὖ εἶναι, καὶ τὸ εἶναι κατά τινας βαθμοὺς ἐπιρρέοι· ὥσπερ δὴ κἂν ταῖς πολιτείαις κἂν ταῖς οἰκίαις κἂν παντὶ πλήθει τοῦτ' ἔστιν ἰδεῖν. Ἀλλὰ μὴν ἄριστα διοικεῖται τόδε τὸ πᾶν· καὶ ὑφ' ἑνὸς ἄρα ἡγεμόνος καὶ ἄρχοντος, ὅς ἐστι τὸ πρῶτον κινοῦν καὶ ποιοῦν, καὶ πρῶτον νοητὸν καὶ νοοῦν, καὶ πρῶτον ὀρεκτὸν καὶ πρῶτον ἀγαθόν· ὃ δέδεικται εἶναι ὁ Θεός.

Ἐκ πολλῶν μὲν οὖν καὶ ἄλλων δῆλός ἐστιν Ἀριστοτέλης εἶναί τινα ἀρχὴν ποιητικὴν τοῦ παντὸς τοῦδε φρονῶν, οὐ μόνον δ' ἀλλὰ καὶ τελικὴν καὶ παραδειγματικήν, ὡς πρότερον εἴρηται· ἀρκεῖ δ' ἐκ τῶν αὐτοῦ καὶ τοσαῦτα αὐτῇ λέξει σχεδὸν ἅπαντα εἰλημμένα· ἐκ δὲ τούτων σαφὴς καὶ ἡ πρὸς τὰ ἀντικείμενα λύσις· ῥητέον μέντοι γε καὶ χωρὶς πρὸς ἕκαστον.

Πρὸς τὸ πρῶτον τοίνυν ὁμοῦ καὶ πρὸς τὸ δεύτερον καθόλου ῥητέον

---

17 ἑκάστης D

ὡς, εἰ καὶ δυνατόν ἐστι λέγειν, ὅτι ἐν τοῖς διαπεπτωκόσι τῶν Μετὰ τὰ
φυσικὰ ἴσως τι εἴρηκε περὶ τῆς πρώτης ἀρχῆς πλατύτερόν τε ὁμοῦ καὶ
σαφέστερον, διαπεπτωκέναι δὲ πολλὰ λέγουσί τέ τινες καὶ πιθανόν ἐστι
διὰ τὸ πολλὰς ἀπορίας ἐν τοῖς νῦν σῳζομένοις βιβλίοις τὸν Ἀριστοτέλη
μὴ λελυκέναι, περαιτέρω τῆς πραγματείας τὴν αὐτῶν ἀναβαλλόμενον λύσιν
ὃ κἀν ταῖς ἄλλαις πραγματείαις πεποιηκὼς φαίνεται· εἰ καὶ ταῦτα τοίνυν
δυνατόν ἐστι λέγειν, ἀλλὰ ἀληθέστερόν ἐστιν ἀποκρίνασθαι τῇδε, ὅτι
ποιητὴν μὲν καὶ αἴτιον τοῦδε τοῦ παντὸς ἐδόξαζε τὸν Θεὸν Ἀριστοτέλης,
ὡς ἐκ τῶν εἰρημένων γέγονε δῆλον· εἰ δὲ δημιουργὸν οὔ φησι τοῦτον,
οὐδὲν θαυμαστόν. Εἰ γὰρ τῷ τοῦ δημιουργοῦ ὀνόματι ἡ καθόλου ποιητικὴ
f. 127v αἰτία νοεῖται παντὸς ὄντος, τοιαύτην δὲ αἰτίαν ἐκεῖνος καὶ πάνυ | φρονῶν
φαίνεται, ἐν τῇ λέξει ἴσως, οὐκ ἐν τῇ δόξῃ τὸ τοῦ Φιλοσόφου ἁμάρτημα,
καὶ μὴν οὐδὲ ἔστιν ἁμάρτημα κατά γε τὴν αὐτοῦ θέσιν. Ἐπειδὴ γὰρ
Ἀριστοτέλης ἀΐδιον ἐβούλετο τὸν κόσμον εἶναι, εὐλόγως οὐδὲ δημιουργεῖσθαι
τοῦτον ἔλεγεν, οὐδὲ τὸν Θεὸν δημιουργὸν εἶναι αὐτοῦ. Δημιουργεῖσθαι
γὰρ λέγεται τὰ ἐπὶ τὸ βέλτιον μεταπλαττόμενα· καὶ δημιουργεῖν, τὸ ἐκ
τοῦ ὄντος ποιεῖν τι, ὡς ἐπὶ τῶν τεχνιτῶν ἔχει· διὸ καὶ δημιουργοὺς τοὺς
ἐπὶ τῶν ἐργαστηρίων καὶ τοὺς χειρωνακτικοὺς πάντας καλοῦμεν, εἰ καὶ
τοὔνομα ἀπὸ τῶν τὰ δημόσια ἐργαζομένων παρείληπται τὴν ἀρχήν· οὗτοι
δ' εἰσὶν οἱ τῶν δημοσίων ἀπαιτηταὶ τελῶν. Τὸ δὲ προάγειν ἁπλῶς μᾶλλον
ποιεῖν λέγεται, καὶ ἔτι μᾶλλον κινεῖν, καθόλου λαμβανομένου τοῦ κινεῖν·
ὃν δὴ τρόπον καὶ Πλάτων τούτῳ χρῆται, καὶ αὐτὸς δὲ Ἀριστοτέλης ὡσαύτως
κέχρηται ἐν οἷς ἀντιδιαιρεῖ τὸ κινητικὸν αἴτιον τοῖς ἄλλοις εἴδεσι τῶν
αἰτίων. Εἰ δὲ πρὸς τὴν παρὰ Πλάτωνι αὐτοκινησίαν ἐνιστάμενος ἔδοξέ
τισι κακουργεῖν, φθάσαντες τὸ τούτου αἴτιον ἀπεδώκαμεν. Οὕτω μὲν οὖν τῷ
κινεῖν Ἀριστοτέλης καὶ τῷ ποιεῖν τὴν ἁπλῶς σημαίνειν βούλεται πρόοδον·
τὴν δ' ἔκ τινος προϋποκειμένης φύσεως ἐπὶ τὸ βέλτιόν τε καὶ τέλειον τοῦ
γινομένου μετάπλασιν δημιουργίαν λέγει, καὶ τούτῳ πολλάκις ἐχρήσατο τῷ
ὀνόματι ἔν τε ἄλλοις κἀν τοῖς περὶ ζῴων γενέσεως λόγοις, ἐπ' ἐκείνης τῆς
ἐννοίας, ἣν ἀδύνατόν ἐστι καὶ ἐπὶ τὴν ἁπάντων τῶν ὄντων ἐκ τῆς πρώτης
ἀρχῆς μεταγαγεῖν πρόοδον. Καὶ θαυμαστὸν οὐδέν, ὅπου γε καὶ τῶν ἱερῶν
διδασκάλων ἔνιοι, καίτοι παραγωγὸν τοῦ παντὸς ὁμολογοῦντες τὸν Θεόν,
f. 128 ὅμως δημιουργὸν οὐκ ἀξιοῦσι λέγεσθαι, ἀλλὰ ποιητὴν | μᾶλλον· „Ποιεῖν
μὲν γάρ ἐστι, φησὶν Αὐγουστῖνος, ὃ παντάπασιν οὐκ ἦν· δημιουργεῖν δὲ
τὸ ἐκ τοῦ ἤδη ὄντος προάγοντα ἕτερόν τι συνιστᾶν, ὃ πρότερον οὐκ ἦν."
Καὶ Μωσῆς δέ· „Ἐν ἀρχῇ, φησίν, ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ
τὴν γῆν."

Γελοῖον δὲ εἰ καταψηφιεῖταί τις Ἀριστοτέλους οὐκ ἐξ ὧν κακῶς εἶπεν,

---

30 *ἐνοίας* A   31 *γε*: *γὰρ*   36 Gen. I, 1

ἀλλ' ἐξ ὧν παντάπασιν ἐσιώπησε, μήτε τὴν κατάφασιν μήτε τὴν ἀπόφασιν ἐξειπών, τῆς σιωπῆς τοὐναντίον μᾶλλον πειθούσης καὶ πολλῷ πλέον ἐνταῦθα. Εἰ γὰρ Πλάτωνι δημιουργὸν ἢ ποιητὴν ἢ αἴτιον τοῦ παντὸς λέγοντι τὸν Θεὸν εἶχέ τι μέμφεσθαι, πολὺ γ' ἂν πλείους ἢ κατὰ τῶν ἰδεῶν ἐπενόησε λόγους· ἀλλὰ τοῦτ' ἀδύνατον ἦν· παιδαρίων γὰρ ἂν οὐδὲν διήνεγκεν Ἀριστοτέλης ὡς ἀληθῶς, ὃ Πλήθων εἰς αὐτὸν ἐξυβρίζει, εἰ ἀντέλεγε Πλάτωνι περὶ τοῦ θείου ταῦτα δοξάζοντι, αὐτὸς πολὺ σαφέστερόν τε καὶ ἀκριβέστερον τὴν δόξαν ταύτην τοῖς λόγοις ἐγκατασπείρας, ὡς ἱκανῶς ἀποδέδεικται· ὥστε καὶ ἀντεπιχειρεῖν ἔστιν ἐκ τοῦ ἐναντίου, καθόλου τε καὶ πολὺ ἀληθέστερον, ὡς εἴ γε ἐφρόνει μὴ εἶναι δημιουργὸν τοῦ παντὸς τὸν Θεόν, εἶπεν ἄν που μὴ εἶναι δημιουργόν, εἴτουν τῆς οὐσίας αὐτοῦ καὶ τοῦ εἶναι αἴτιον, εἴτε ὡς ποιητικόν, εἴτε ὡς τέλος, καὶ ταῦτ' εἰδὼς Πλάτωνα τῇ δόξῃ ταύτῃ φιλοτιμούμενον, ὃν οὕτω διακωδωνίζει φορτικῶς (εἰρήσθω γὰρ οὕτως), ὥστ' ἐνίοις δόξαι καὶ κακουργεῖν. Ἐπεὶ τοίνυν οὐκ εἶπέ που ταῦτα, δῆλον ὅτι οὐδὲ ἐφρόνει· ὃ δ' οὐ μόνον οὐκ ἀπέφησε τὴν δόξαν ταύτην, ἀλλὰ καὶ ἐπαχθὴς ἐστι καταφάσκων, οὕτω πολλάκις αὐτὴν ἀνομολογεῖ· ἀπέσχετο δὲ μόνου τοῦ δημιουργὸν ὀνομάσαι, καὶ οὐδ' ἄνευ λόγου, καθὼς εἴρηται. Εἰ δὲ καὶ φαύλως ἀπέσχετο τοῦ ὀνόματος, φαυλότερος πάνυ ὁ τηλικοῦτον φιλόσοφον ἐλέγχειν πειρώμενος καὶ φαυλίζειν | λέξεως ἕνεκα, καὶ ταῦτα βελτίοσι λέξεσι κεχρημένον, καὶ (f. 128v) ἅμα οἰκείαις ταῖς ἄλλαις αὐτοῦ θέσεσιν· ἢ οὕτω γ' ἂν καὶ Μωσῆς ἐγκαλοῖτο „ἐν ἀρχῇ ἐποίησεν" εἰπών, οὐκ „ἐδημιούργησεν", καὶ κοινωνοίη ἂν Ἀριστοτέλει τῆς μέμψεως, ὥσπερ Ἀριστοτέλης ἡμῖν τοῖς ἀπὸ Χριστοῦ κεκοινώνηκε τῆς συκοφαντίας· διαβεβλήμεθα γάρ, ὅτι τῇ κατ' αἰτίαν γενέσει καὶ τὴν χρονικὴν ἐξ ἀνάγκης ἕπεσθαι δοξάζομεν ἡμεῖς τε κἀκεῖνος.

Ἰδίως μέντοι γε πρὸς τὸ δεύτερον ἐπιχείρημα εἰδέναι δεῖ, ὅτι Ἀριστοτέλης ἐν τῷ τριακοστῷ τῶν Μετὰ τὰ φυσικὰ τὸ ἀγαθὸν ἀρχὴν εἶναι λέγοντι Ἀναξαγόρᾳ συγχωρεῖ, μέμφεται δὲ ἀδιορίστως εἰπόντι· „Ζητεῖν γάρ, φησί, λείπεται πότερον ὡς κινοῦν, ἢ ὡς εἶδος, ἢ ὡς τέλος· εἰ γὰρ καὶ κατὰ πάντα ταῦτα δυνατόν ἐστι τὸ ἀγαθὸν εἶναι ἀρχήν, ἐπεὶ ἕκαστον τούτων καὶ ἀρχή ἐστι καὶ ἀγαθόν, ἀλλὰ κατά τι τούτων λέγοιτ' ἂν τὸ ἀγαθὸν ἀρχὴ μᾶλλον ἢ κατὰ τὰ ἄλλα." Ὅπου δῆλός ἐστιν Ἀριστοτέλης τῷ ἀγαθῷ προσήκειν βουλόμενος τὸ εἶναι ἀρχῇ, ὡς τέλει μᾶλλον ἢ ὡς κινοῦντι καὶ εἴδει, ἐπεὶ τὸ μὲν εἶδος ἐκ τοῦ κινοῦντός ἐστι· τὸ δὲ κινοῦν, καὶ μάλιστα ἂν ᾖ νοῦς, ἕνεκά του, φησί, κινεῖ· ὥστε εἰ καὶ τὸ κινοῦν ἀγαθόν ἐστιν, ἀλλὰ πολλῷ μᾶλλον τὸ τὸν κινοῦντα κινοῦν· τοῦτο δέ ἐστι τὸ τέλος. Οὐκοῦν τὸν τοῦ ἀγαθοῦ λόγον καὶ τῆς ἀρχῆς μᾶλλον ἔχει τὸ τέλος ἢ ἡ ποιητικὴ αἰτία· καὶ τοῦτο γέγονεν Ἀριστοτέλει τοῦ τὸν Θεὸν

---

17 ἀνωμολογεῖ A

ἐκ τοῦ τέλους μᾶλλον σεμνύνειν αἴτιον· οὕτω γὰρ ἂν εἴη καὶ ἔσχατον ἀγαθὸν καὶ ἄριστον καὶ δι' ὃ πάντα. Οὐ μὴν οὕτω φησὶν εἶναι τέλος τὸν Θεόν, ὥστ' ἢ μὴ εἶναι τέλος τῆς οὐσίας καὶ τοῦ εἶναι, ἢ μὴ εἶναι ποιητικὸν αἴτιον. Καὶ τοῦτο δῆλόν ἐστι πρῶτον μὲν ἐξ ὧν τίθησι τὸν Θεὸν ποιητικὸν καὶ κινητικὸν καὶ τοῦ εἶναι καὶ ζῆν αἴτιον ἅπασι τοῖς οὐσίας καὶ ζωῆς f. 129 μετειληφόσιν ὁπώσποτε· | ἔπειτα δὲ κἀντεῦθεν· ἀεὶ γὰρ ὁ τοῦ τέλους λόγος προϋποτίθησι τὸν τῆς ποιητικῆς αἰτίας. Καὶ εἴπερ ὁ Θεός ἐστι τέλος τοῦ οὐρανοῦ, κἂν εἴη τι ποιητικὸν αἴτιον αὐτοῦ, αὐτὸν μὲν δὴ τὸν οὐρανὸν ἀδύνατον εἶναι ποιητικὸν ἑαυτοῦ· εἴη γὰρ ἂν καὶ τὸ τέλος, οὗ ἐφίεται, ἐν ἑαυτῷ μόνον, καὶ οὐκ ἔξω αὐτοῦ, καὶ οὕτως οὐκ ἂν εἴη πρῶτον κινούμενον, ἀλλὰ μᾶλλον αὐτοκίνητον κατὰ Πλάτωνα, κατὰ δὲ Ἀριστοτέλη, κινοῦν ἀκίνητον· καὶ οὕτως αὐτὸς ἂν εἴη πρώτη πάντων ἀρχή· οὗ τοὐναντίον Ἀριστοτέλης τίθησιν ἐν τῷ τριακοστῷ τῶν Μετὰ τὰ φυσικὰ λέγων· „Τἀγαθὸν καὶ τὸ τέλος τοῦ οὐρανοῦ φύσιν εἶναί τινα ἔξω ὑφεστηκυῖαν αὐτοῦ, ὥσπερ ἐν τοῖς κατὰ τόπον κινουμένοις ὁ οἰκεῖος τόπος, ἢ ὡς ὁ στρατηγὸς ἐν στρατεύματι· ἧς δὴ φύσεως τῇ ἐφέσει κινεῖσθαι τὸν οὐρανόν.“ Ἀλλὰ μὴν οὐδ' ἑτέραν τινὰ φύσιν δυνατόν ἐστι ποιητικὴν εἶναι τοῦ οὐρανοῦ παρ' αὐτὴν τὴν πρώτην· δέοι γὰρ ἂν αὐτὴν τέλους ἕνεκα ποιεῖν· τὸ δέ ἐστιν ἡ πρώτη κατ' Ἀριστοτέλη ἀρχή· καὶ οὕτω κινοῖτ' ἂν ὁ οὐρανὸς οὐχ ὑπ' αὐτῆς τῆς πρώτης ἀρχῆς, ἀλλ' ὑπ' ἐκείνου τοῦ κινοῦντος αὐτῆς εἵνεκα· εἰ δὲ τοῦτο, οὐκ ἂν εἴη πρῶτον κινούμενον ὁ οὐρανός, ἀλλὰ μᾶλλον τὸ κινοῦν αὐτόν· οὗ τοὐναντίον κατ' Ἀριστοτέλη ἐστὶν ἀληθές. Λείπεται τοίνυν τὴν πρώτην τελικὴν ἀρχὴν αὐτὴν καὶ πρώτην ποιητικὴν εἶναι τοῦ οὐρανοῦ ταῖς Ἀριστοτέλους ἑπόμενον εἶναι θέσεσι. Καὶ μὲν εἴ γε μηδέν ἐστιν οὐρανῷ συμβεβηκός, ἀμεταβλήτῳ κατ' Ἀριστοτέλη τυγχάνοντι, εἰ μὴ κατὰ τὸ ποῦ μόνον, πᾶν ὃ πρόσεστι τῷ οὐρανῷ, ἐκ τῆς οὐσίας αὐτοῦ τοῦτ' εἶναι ἀνάγκη· οἷον κίνησίν τε αὐτοῦ καὶ ἀϊδιότητα ταύτης καὶ τὸ αἰτιῶδες καὶ τὴν τάξιν τῶν ἐν αὐτῷ μερῶν τοῦ παντός· ὥστε κἀντεῦθεν τὸ τέλος τῆς τοῦ οὐρανοῦ κινήσεως, καὶ τῆς οὐσίας αὐτοῦ f. 129v τέλος | εἶναι δείκνυται κατ' Ἀριστοτέλη.

Πρὸς δὲ τούτοις, ἡ πρώτη ἀρχὴ τὸ ἄκρον ἀγαθόν ἐστι καὶ ἐφετὸν κατ' Ἀριστοτέλη καὶ νοῦς οὐδὲν ἄλλο νοῶν ἀλλ' ἢ μόνον αὐτόν· τοῦτο δ' ἐστὶν ὑπ' οὐδενὸς ἑτέρου νοητοῦ τελειούμενος, ἀλλὰ τῷ νοεῖν ἑαυτὸν νοῶν τὰ ἄλλα· οὔτε δ' ἂν ἐφετὸν ἦν, μὴ πάσης ἀγαθότητός τε καὶ τελειότητος ἐκεῖθεν πηγαζούσης ἑκάστῳ· ἐφίεται γὰρ ἕκαστον τοῦ τέλειον εἶναι· οὔτ' ἂν ἐνόει τὰ ἄλλα τῷ νοεῖν ἑαυτόν, εἰ μή τις ἦν τάξις καὶ σχέσις τῶν ἄλλων πρὸς αὐτόν· τίς δ' ἂν εἴη αὕτη, εἰ μὴ ἡ τῆς ὁμοιότητος, ἥτις ἐν πᾶσι τοῖς αἰτιατοῖς πρὸς τὴν ἰδίαν αἰτίαν εὑρίσκεται. Ταύτης γὰρ τῆς

---

12 ἡ devant *πρώτη* add D 31-32 *Πρὸς δὲ — Ἀριστοτέλη* en marge A

ὁμοιότητος εἵνεκα καὶ ἡ τοῦ ἀγαθοῦ ἐστιν ἔφεσις· οὐδενὸς γάρ τι ἐφίεται, εἰ μὴ ᾧ βούλεται εἶναι ὅμοιον καὶ οὗ προὔργου ποιεῖται τυχεῖν· ἄλλως δὲ μάτην ἂν ἡ ἔφεσις ἦν, μήτε τοῦ ἀγαθοῦ οὖσα, μήθ' ἵνα τὸ τοιοῦτον ἀγαθόν, ὡς ἂν οἷόν τε εἴη, μετασχεθῇ. Οὐκοῦν ἐφίεται ὁ οὐρανὸς οὐ τοῦ κινεῖσθαι μόνον, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων, ἃ παρὰ τῆς πρώτης ἀρχῆς ἀμέσως ἔχει, ἅτε κατὰ τὸν Φιλόσοφον ταύτῃ συνηρτημένος· οἷον ἁπλότητος καὶ τοῦ πρῶτον εἶναι καὶ ἀγένητον καὶ ἄφθαρτον καὶ ὅλως ἀμετάβλητον, γενέσεως δὲ αἴτιον καὶ μεταβολῆς ἐν τοῖς πρὸς ἡμῖν πράγμασι. Ταῦτα γὰρ πάντα τῷ πρὸς τὴν ἀρχὴν ἐξωμοιῶσθαι ταύτης ἐφιέμενος ἔχει, ἅτ' ἐκείνῃ πολλῷ μᾶλλον, ὡς αὐτός φησιν, ἁπάντων τούτων προσόντων· ὥστ' εἰ δεῖ τἀληθῆ λέγειν κατ' Ἀριστοτέλη, οὐ τοῦ κινεῖσθαι ἐφίεται, ἀλλὰ τὸ κινεῖσθαι, τουτέστιν ἀϊδίως φέρεσθαι, τοῦτο σημεῖόν ἐστι τοῦ παντὸς ἀρίστου τε καὶ θειοτάτου τοῦτον ἐφίεσθαι καὶ μετέχειν, ὡς ἀϊδίως τε καὶ ἀμεταβλήτως κινούμενόν τε καὶ ἐφιέμενον. Διὸ καὶ οὐ πρὸς τὸ τέλος κινεῖσθαι τοῦτον ὁ Φιλόσοφος λέγει, ὡς ἂν ὑφ' ἑτέρου ποιοῦντος πρὸς τοῦτο κινούμενον, ὃ κοινῇ πᾶσι τοῖς πρός τι ταττομένοις τέλος ὑπάρχει, ἀλλὰ μᾶλλον ὑπ' αὐτοῦ | f. 130 κινεῖσθαι, ὡς τῆς αὐτῆς οὔσης ποιητικῆς τε καὶ τελικῆς αἰτίας τοῦ οὐρανοῦ, τῆς ἀκινήτου πρώτης ἀρχῆς, ἣν τῷ μὲν ἀκίνητον εἰπεῖν τέλος εἶναι τίθεται, τῷ δὲ ἀρχὴν πρώτην, ποιητικόν· οὔτε γὰρ τῷ τέλει προσήκει κυρίως ἀρχῇ εἶναι, ἀλλὰ μᾶλλον ἐσχάτῳ· οὔτε τῷ κινοῦντι καὶ ποιοῦντι, ἀκινήτῳ εἶναι· κινεῖται γὰρ ὑπὸ τοῦ τέλους, ὅπερ ἐστὶν αὐτῷ αἴτιον τοῦ κινεῖν καὶ αἰτίῳ εἶναι· ᾧ δ' ἄμφω ταῦτα συνέδραμε, τοῦτ' εἰκότως πρώτην ἀρχὴν καὶ ἅμα ἀκίνητον Ἀριστοτέλης τίθησιν· καὶ διὰ τοῦτο οὐ μᾶλλον πρὸς τοῦτο ἢ ὑπὸ τούτου κινεῖται ὁ οὐρανός, οὔτ' ἐφίεται αὐτοῦ ὡς πρὸς αὐτὸ κινούμενος μᾶλλον ἢ ὡς ὑπ' αὐτοῦ· ἄλλως τε εἰ πρὸς ἐκεῖνο κινοῖτο μόνον, δοθέντος ὑπό τινος ἑτέρου κινεῖσθαι, ὃ πᾶσα ἀνάγκη, οὐκ ἂν διαφύγοι τὸ γίνεσθαί τε καὶ μεταβάλλεσθαι· νῦν δὲ τοῦ αὐτοῦ ὄντος πρὸς ὅ τε καὶ ὑφ' οὗ κινεῖται, ἅμα ὅλον τὸ εἶναι ἔχει καὶ ἀϊδίως, κατά γε Ἀριστοτέλη, καὶ μεταβολῆς ἁπάσης ἀπήλλακται. Δῆλον οὖν ἐκ τῶν εἰρημένων, ὡς οὔτ' εἶπέ που μὴ εἶναι τέλος τοῦ εἶναι τοῖς οὖσι τὸν Θεόν, κινήσεως δὲ μόνον, καὶ τοὐναντίον μᾶλλον ὑπειληφέναι αὐτὸν ἐξ ὧν εἴρηκε συμπεραίνεται.

Πρὸς τὸ τρίτον, τὸ γίνεσθαι κατ' Ἀριστοτέλη οὐ μόνον τὸ ἀπ' ἄλλου εἶναι σημαίνει, ἀλλὰ καὶ τὸ πρότερον μὴ εἶναι, ὡς ἐν τοῖς Περὶ οὐρανοῦ· „Οἱ δὲ τοὺς ἀριθμοὺς ἐκ τοῦ ἑνὸς καὶ τῆς δυάδος, ἢ ἐκ τοῦ μεγάλου καὶ τοῦ μικροῦ κατασκευάζοντες καὶ ἕλξιν τινὰ καὶ εἰδοποίησιν αὐτῶν λέγοντες καὶ οὕτως ἐπ' ἄπειρον αὔξοντες, δῆλον ὅτι τὸ πρότερον ἐτίθεσαν ἐν τῇ προόδῳ τῶν ἀριθμῶν καὶ τὸ ὕστερον· πρότερα γὰρ τὰ μέρη τοῦ

---

1 *οὐδ' ἑνὸς* A 6 *ταύτῃ* om M 9 *ἐξομοιῶσθαι* A

ὅλου ἐν τοῖς μὴ ἅμα γινομένοις· ἀλλὰ ἐπιδιδοῦσί τε καὶ εἶδός τι ἄλλο f. 130v ἐξ ἄλλου λαμβάνουσι, καὶ τὰ συντιθέντα πρότερα τῶν | συντεθειμένων. Τῶν δὲ οὕτω προϊόντων γένεσίς τε ἂν εἴη ἐοικυῖα τῇ τῶν φύσει γινομένων ἁπάντων· ἀδύνατον δέ, ἀϊδίων ὄντων τῶν ἀριθμῶν, κατ' ἐκείνους τοιαύτην γένεσιν εἶναι.“ Ὥστε οὔτ' αὐτὸς Ἀριστοτέλης γίνεσθαι λέγων τὸ ἀπ' αἰτίας εἶναι μόνον, οὔτε ὡς ἐκείνων οὕτως ἀριθμοὺς γίνεσθαι λεγόντων ὡς ἀπ' αἰτίας τινὸς προϊόντων διαβάλλει ὡς ἀϊδίων τιθέντας γένεσιν εἴτουν εἰς τὸ εἶναι ὅλως προαγωγήν, ἀλλὰ διότι φυσικήν τινα καὶ τοῖς ἀριθμοῖς ἀπεδίδουν γένεσιν, ἐν ᾗ τὸ πρότερόν ἐστι καὶ ὕστερον καὶ ἡ ἀλλοίωσις, καὶ ταῦτα ἀϊδίους αὐτοὺς τιθέντες. Ὅτι δὲ τοῦτ' αὐτοῖς ἐγκαλεῖ, δῆλον ἐξ αὐτῆς Ἀριστοτέλους τῆς λέξεως· εἰπὼν γάρ· „Ἄτοπον δὲ καὶ τὸ γένεσιν ποιεῖν ἀϊδίων ὄντων, μᾶλλον δ' ἕν τι τῶν ἀδυνάτων,“ ἐπάγει· „Οἱ μὲν οὖν Πυθαγόρειοι πότερον οὐ ποιοῦσιν, ἢ ποιοῦσι γένεσιν, οὐ δεῖ διστάζειν· φανερῶς γὰρ λέγουσιν ὡς ἐκ τοῦ ἑνὸς συσταθέντος, εἴτε ἐξ ἐπιπέδων, εἴτε ἐκ χροιᾶς, εἴτε ἐκ σπέρματος, εἴτε ἐξ ὧν ἀποροῦσιν εἰπεῖν, εὐθὺς τὸ ἔγγιστα τοῦ ἀπείρου, ὅτι εἵλκετο καὶ ἐπεραίνετο ὑπὸ τοῦ σπέρματος· τοῦτο δ' ἐστὶ τὸ ἐν τοῖς φυσικοῖς γίνεσθαι.“ Καὶ πάλιν μετ' ὀλίγα· „Τοῦ μὲν οὖν περιττοῦ γένεσιν οὔ φασιν, ὡς δῆλον ὅτι τοῦ ἀρτίου οὔσης γενέσεως· τὸν δ' ἄρτιον πρῶτον ἐξ ἀνίσων τινὲς κατασκευάζουσι, τοῦ μεγάλου καὶ μικροῦ ἰσασθέντων· ἀνάγκη οὖν πρότερον ὑπάρχειν τὴν ἀνισότητα αὐτοῖς τοῦ ἰσασθῆναι· εἰ δ' ἀεὶ ἦσαν ἰσασμένα, οὐκ ἂν ἦσαν ἄνισα πρότερον· τοῦ γὰρ ἀεὶ οὐκ ἔστι πρότερον οὐδέν· ὥστε φανερὸν ὡς οὐ τοῦ θεωρῆσαι ἕνεκα ποιοῦσι τὴν γένεσιν τῶν ἀριθμῶν, ἀλλ' ὅτι δηλονότι καὶ φύσεως οὕτως ἔχουσι καθ' αὑτοὺς καὶ ὀντότητος.“ Εἰ μὲν οὖν ἐν τούτῳ τῷ μέρει συκοφαντεῖ Πυθαγορείους Ἀριστοτέλης, ἄλλος ἂν εἴη λόγος· ὅτι δὲ οἴεται f. 131 τοιαύτην τινὰ γένεσιν λέγειν | τῶν ἀριθμῶν αὐτούς, ἐν ᾗ τὸ πρότερον καὶ ὕστερον καὶ ἡ μεταβολή, τουτέστι τὴν φυσικήν, ἣν αὐτὸς ἐν τῇ Περὶ οὐρανοῦ κυρίως καλεῖ γένεσιν, καὶ διὰ τοῦτ' ἐπιτιμᾷ σφίσιν ἀϊδίους μὲν λέγουσι τοὺς εἰδητικοὺς ἀριθμούς, γεννῶσι δὲ αὐτοὺς οὕτω, τοῦτο καὶ τυφλῷ, φασί, δῆλον ἂν ἐκ τῶν προσεχῶς εἰρημένων Ἀριστοτέλει γένοιτο· τοιαύτην δὲ γένεσιν εἶναι τῶν ἀϊδίων οἵ τε ἀΐδιον φιλοσοφοῦντες τὸν κόσμον, οἵ τε παρῆχθαι τοῦτον πιστεύοντες, ὁμοίως πάντες ἀδύνατον ἥγηνται. Οὐκ ἄρα διὰ τὸ γένεσιν ἀποφάσκειν τῶν ἀϊδίων, ἀναίτιόν τε καὶ ἄναρχον Ἀριστοτέλης τὸν κόσμον φρονεῖν ἀναγκάζεται, ὃς ἀρχὴν αὐτοῦ καὶ αἴτιον λέγει λαμπρῶς· οὔθ' ἡμεῖς ἀναγκασθησόμεθα Ἀριστοτέλη συκοφαντεῖν, ἢ μᾶλλον προαιρησόμεθα· ὥστε ἕωλος καὶ αὕτη ἡ ἐπιχείρησις, καὶ τὸ πᾶν εἰπεῖν συκοφαντική, ὥσπερ καὶ αἱ πρῶται πάνυ χυδαῖαι.

Δι' ἃ δὲ μάλιστα δόξειεν ἂν Ἀριστοτέλης ἀναίτιον τόδε νομίζειν τὸ

---

29 *γενῶσι* A 34 *ἀναγκ. τὸν κόσ. φρονεῖν* D

πᾶν καὶ ἀποίητον, ταῦτ' ἂν εἴη. Ἐν γὰρ τῶν Μετὰ τὰ φυσικὰ τῷ ἑβδόμῳ φησὶν ὅτι „τὸ αἴτιον ἐπ' ἐνίων μέν ἐστι τίνος ἕνεκα, οἷον ἴσως ἐπ' οἰκίας ἢ κλίνης· ἐπ' ἐνίων δέ, ὅτι ἐκίνησε πρῶτον· αἴτιον γὰρ καὶ τοῦτο· ἀλλὰ τὸ μὲν τοιοῦτον αἴτιον ἐπὶ τοῦ γίνεσθαι ζητεῖται καὶ φθείρεσθαι· θάτερον δε ἐπὶ τοῦ εἶναι." Ἐν τούτοις γοῦν φησὶν ἐναργῶς τὴν μὲν ποιητικὴν αἰτίαν ζητεῖσθαι ἐν τῷ γίνεσθαι καὶ φθείρεσθαι, τὴν δὲ τελικὴν ἐν τῷ εἶναι· ὥσπερ δηλονότι οἰκοδομικὴ μὲν αἰτία τοῦ γίνεσθαι τὴν οἰκίαν ἐστίν, ἡ δὲ σκέπη, τοῦ ψύχους καὶ τοῦ γίνεσθαι καὶ τοῦ εἶναι. Εἰ τοίνυν τὸν μὲν οὐρανὸν ἀγένητον Ἀριστοτέλης εἶναι δοξάζει, τὴν δὲ ποιητικὴν αἰτίαν ἐν τῷ γίνεσθαι τὸ πρᾶγμα ζητεῖσθαί φησι, δῆλον ὅτι τῶν γινομένων μόνον οἴεται εἶναί τινα ποιητικὴν αἰτίαν, | τοῦ δὲ οὐρανοῦ f. 131v τελικὴν μόνον, ὡς ἀεί τε ὄντος καὶ οὐδέποτε γινομένου. Ἔτι, καὶ ἐν τῷ ὀγδόῳ τῶν Μετὰ τὰ φυσικά φησιν ὅτι „τὸ εἶδος οὐδεὶς ποιεῖ οὐδὲ γεννᾷ, ἀλλὰ ποιεῖται τόδε, γίνεται δὲ τὸ ἐκ τούτων." Καὶ πολλαχοῦ δὲ ἄλλοθι τούτῳ κέχρηται τῷ νοήματι. Φαίνεται τοίνυν ἐκ τούτων μὴ μόνον τὴν πρώτην αἰτίαν ἀναιρῶν, ἀλλὰ καὶ πᾶσαν τοιαύτην αἰτίαν· εἴτε γὰρ εἶδός ἐστι μόνον ὁ οὐρανός, οὐδεὶς τοῦτον ποιεῖ οὐδὲ γεννᾷ· εἴτε ἔχει εἶδος, τὸ αὐτὸ πάλιν ἕπεται· ἕκαστον γὰρ τῶν ἐχόντων εἶδος διὰ τὸ εἶδος μᾶλλόν ἐστιν. Εἰ γοῦν μηδεὶς ποιεῖ τὸ εἶδος, δῆλον ὅτι οὐδὲ τὸ εἶναι τοῦ πράγματος· καὶ οὕτως οὔτε οὐρανός, οὔτ' ἄλλο τι τῶν ὄντων ἔκ τινος αἰτίας ἐστὶ ποιητικῆς, ἐξ ὧν Ἀριστοτέλης ἠξίωσεν.

Ἔτι καὶ ἐν τῷ εἰκόστῳ τῶν Ἠθικῶν περὶ τοῦ Θεοῦ λέγων· „Τῷ δὲ ζῶντι τοῦ πράττειν ἀφῃρημένῳ, φησίν, ἔτι δὲ μᾶλλον τοῦ ποιεῖν, τί λείπεται πλὴν θεωρίας;" ὥστε οὐδὲ ποιητὴν οὐδενός φησιν εἶναι τὸν Θεόν, ὃ μάλιστα τῶν ὀνομάτων σημαίνειν δοκεῖ τὴν ἐκ τοῦ Θεοῦ τῶν ὄντων πρόοδον· ὡς καὶ ἡ καθ' ἡμᾶς θεολογία ποιητὴν οὐρανοῦ καὶ γῆς ἀνυμνεῖ τὸν Θεὸν διὰ Μωσέα, „ἐν ἀρχῇ ἐποίησεν ὁ Θεός, εἰπόντα τὸν οὐρανὸν καὶ τὴν γῆν·" Πρὸς δὲ τούτοις καὶ ἐν τῷ πρώτῳ τῶν Περὶ ζῴων γενέσεως τὸ περὶ ποιητικοῦ αἰτίου ζητεῖν ταὐτὸν εἶναί φησι τρόπον τινὰ τῷ περὶ γενέσεως τῆς ἑκάστου ζητεῖν, ὥστε εἰ τοῦ οὐρανοῦ γένεσις οὐκ ἔστι κατ' Ἀριστοτέλη, οὐδ' ἄρα ποιητικὸν αἴτιόν ἐστιν αὐτοῦ κατ' αὐτόν, ὥσπερ εἰ τοὐναντίον γενητὸς ἦν ὁ οὐρανός, κἂν αἰτίαν εἶχε ποιητικήν, τῆς αὐτῆς περὶ ἀμφοῖν οὔσης ζητήσεως. Ἀλλ' οὐδὲ ταῦτά ἐστιν ἱκανὰ κατ' Ἀριστοτέλους. Λύεται δὲ ταῦτά τε καὶ ὅσα ἄν τις τοιαῦτα προσθήσειεν | ἐκ τῶν πρότερον εἰρημένων. Πλήθων δὲ ἢ λύσας ἔσται ὑπὲρ f. 132 Ἀριστοτέλους καὶ ἄκων, ἢ χείρων εἶναι ὁμολογήσει τῶν λύειν δυναμένων αὐτὸς ἐνδιδούς· ἀσθενέστερα δὲ εἶναι τῶν ἐπικεχειρημένων αὐτῷ ταῦτα οὔτ' ἐρεῖ, οἶμαι, οὔτε λέγων πείσει τινὰ τῶν εἰδότων αὐτοῦ βέλτιον.

---

7 *καὶ ἐν τῷ* D 11 *μόνων* D 32 *ὁ* om D

Δεύτερον, φησὶ Πλήθων κακῶς ἀποφήνασθαι τὸν Ἀριστοτέλη περὶ τοῦ ὄντος, ὡς ὁμωνύμως μετέχεται· εἰ γὰρ εἴη ὁμώνυμον, οὐκ ἂν εἴη ἕν· δεῖ δὲ αὐτὸ ἓν εἶναι. Ἐπειδὴ γὰρ ἅπαντα τὰ πολλὰ ἀφ' ἑνὸς πρόεισιν καὶ ἄκρως ἑνός, ἀνάγκη ταῦτα καὶ ἑνός τινος μετέχειν κοινοῦ, τοῦτο δέ ἐστι τὸ ὄν. Ἔτι, εἰ εἴη τὸ ὂν ὁμώνυμον, οὐκ ἂν εἴη ἕν, ἀλλὰ μὴν ἓν καὶ κατ' αὐτὸν Ἀριστοτέλη· αὐτὸς γάρ φησιν ἐν τῷ τριακόστῳ τῶν Μετὰ τὰ φυσικά·

Οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω.

Ὥστε καὶ αὐτὸς μίαν εἶναι βούλεται τῶν ὄντων ἀρχήν· αὕτη δ' ἂν εἴη τὸ ὄν· οὐκ ἄρα ὁμώνυμον τὸ ὄν.

Ἔτι, τὰ ἐπιχειρήματα δι' ὧν Ἀριστοτέλης οἴεται ἀποδεικνύναι τὸ ὂν ὁμωνύμως λέγεσθαι, δοκεῖ μηδὲν ἀναγκαῖον περαίνειν· φησὶ γὰρ ἐν οἷς ἐστι τὸ πρότερον καὶ ὕστερον, καὶ τὸ μᾶλλον καὶ ἧττον, τούτων μὴ κατηγορεῖσθαι συνωνύμως, εἴ τι κοινὸν λέγοιτο κατ' αὐτῶν. Ἔτι, φησὶ μὴ εἶναι γένος ἓν πάντων τὸ ὂν διὰ τὸ εἶναί τι ἄλλο ἀντικατηγορούμενον τοῦ ὄντος, τουτέστι τὸ ἕν· ὃ δεῖ καὶ αὐτὸ γένος εἶναι· τοῦτο δὲ ἀδύνατον, διότι ἀδύνατον πλείω γένη εἶναι πάντων. Οὐκ ἄρα τὸ ὄν ἐστι γένος. Ἔτι, εἰ εἴη τὸ ὂν γένος, φησί, διαιροῖτο ἂν διαφοραῖς τισιν εἰς τὰ αὐτοῦ
f. 132v εἴδη, ἃς δεῖ παρὰ τὴν οὐσίαν | εἶναι τοῦ γένους· οὐδὲν δὲ δύναται εἶναι παρὰ τὴν οὐσίαν τοῦ ὄντος, ὅπερ ἂν εἴη διαφορὰ τοῦ ὄντος.

Ταῦτα δέ φησι Πλήθων ῥᾴδιον ἀνατρέπειν· τὸ γὰρ ἐν τῷ ἐρίῳ λευκὸν ἧττόν ἐστι λευκὸν τοῦ ἐν τῇ χιόνι, ἀλλ' ἔστι συνώνυμον. Καὶ πάλιν τῶν ἀριθμῶν οἱ μὲν πρότεροι, οἱ δὲ ὕστεροι, οὐχ ὁμωνύμως μέντοι γε, ἀλλὰ τῷ αὐτῷ λόγῳ ἀριθμοί εἰσι πάντες· ὡς δὲ καὶ τὰ στοιχεῖα πρότερά εἰσι τῶν συνθέτων, ἀλλὰ συνωνύμως οὐσίαι εἰσίν· οὐδὲν δὲ κωλύει ἀντικατηγορεῖσθαί τι ἕτερον τοῦ ὄντος, εἶναι μέντοι καὶ οὕτως αὐτὸ γένος, ὥσπερ τοῦ ἀνθρώπου ἀντικατηγορεῖται τὸ γελαστικόν, καὶ οὐδὲν ἧττον καθόλου τί ἐστιν ὁ ἄνθρωπος καὶ συνωνύμως ὑπάρχει τοῖς κατὰ μέρος. Ὁμοίως δὲ καὶ εἰ ἀντιστρέφει τὸ πορευτικὸν τῷ ζῴῳ, δοθέντος ὁρίζεσθαι τὸ ζῷον κατὰ τὸ φανταστικόν, οὐ τὸ αἰσθητικόν, οὐδὲν κωλύσει τὸ γένος συνωνύμως κατηγορεῖσθαι τῶν ὑπ' αὐτό· ἀλλ' οὐδ' ἀνάγκη τὸ συμβαῖνον τοῖς ἄλλοις ἅπασι γένεσι καὶ τῷ ἀνωτάτῳ γένει συμβαίνειν· οὐδὲν γὰρ κωλύει εἶναί τι ἐκείνῳ ἐξαίρετον, ὃ μὴ τοῖς ἄλλοις γένεσιν ὑπάρξει. Ἔπειτα οὐδ' ἀληθὴς ὁ λόγος εἶναι δοκεῖ, τὸ τὴν διαφορὰν εἶναι παρὰ τὴν οὐσίαν τοῦ γένους· τοῦ γὰρ ζῴου μετέχει τὸ λογικόν, διαφορὰ ὂν αὐτοῦ· οὐδὲ δυνατόν ἐστι λέγειν διαφορὰν εἶναι ζῴου τὴν λογικότητα· ἡ γὰρ λογικότης

1 *Δεύτερον,* om D   8 Iliade, II, 204   18 *δὲ* en interligne D   29 *ἀντιστρέφοι* D, corrigé en *ἀντιστέφει* A

ἐξ ἀφαιρέσεως οὖσα, εἴη ἂν διαφορὰ μᾶλλον τῆς ζωότητος ἢ τοῦ ζῴου. Τοῦ δὲ ζῴου ὁμοίως διαφορὰ ἂν εἴη τὸ λογικόν. Ἀλλ' εἰς τοὐναντίον ἀρκεῖ τὸ τοῦ Φιλοσόφου ἀξίωμα.

Δεῖ τοίνυν εἰδέναι ὡς οἱ μὲν ἄλλοι πρὸ Ἀριστοτέλους πάντα συνωνύμως ἢ ὁμωνύμως κατηγόρουν, συνώνυμα λέγοντες τὰ τὸν αὐτὸν λόγον ἔχοντα ὁπωσοῦν, ὁμώνυμα δέ, τὰ μόνον ὀνόματος κοινωνοῦντα, τοῦ δὲ λόγου μηδ'|ὁπωσοῦν. Ἀριστοτέλης δὲ διελόμενος ἀκριβέστερον, τῷ διπλῷ f. 133 τούτῳ γένει τῆς κατηγορίας καὶ τὴν ἀναλογικὴν προσέθηκεν. Ἐπειδὴ γὰρ συνεῖδεν, ὡς εἰσὶ μέν τινα ὧν ὁ αὐτός ἐστι λόγος παντάπασιν, εἰσὶ δέ τινα πάντη διενηνοχότα τῷ λόγῳ, ἕτερα δὲ ὥσπερ μεταξὺ τούτων, ἐν οἷς ὁ αὐτός ἐστι λόγος πλὴν μετά τινος διαφορᾶς, ὅτι ἐν τῷ τοῦ αὐτοῦ ὀνόματος λόγῳ τὸ αὐτὸ ὄνομα κατὰ διάφορον σημασίαν λαμβάνεται, τὰ μὲν τὸν αὐτὸν πάντη λόγον ἔχοντα συνώνυμα καλεῖ, τὰ δὲ καθάπαξ ἕτερον, κυρίως ὁμώνυμα· τὰ δὲ μεταξὺ τῶν καθαρῶς ὁμωνύμων καὶ συνωνύμων ἁπλῶς, κατ' ἀναλογίαν ὠνόμασεν, ἃ καταχρηστικῶς ἔσθ' ὅτε καλεῖ ὁμώνυμα· ὥσπερ τὸ ζῷον ἐν κατηγορίαις ὁμωνύμως κατηγορεῖσθαι λέγει κατά τε τοῦ ἀληθοῦς καὶ τοῦ γεγραμμένου, καίτοι γε ἀναλογικῶς κατηγορούμενον. Ὡσαύτως δὲ καὶ τὸ ὄν· λαμβάνει γὰρ τότε τὸ ὁμώνυμον κατὰ τὴν ἀντίθεσιν ἁπλῶς, ἣν ἔχει πρὸς τὸ συνωνύμως λεγόμενον, οὐ κατὰ τὸν τρόπον τῆς ἀντιθέσεως· καὶ ὡς ἄν τις εἴποι σαφέστερον, ὡς τοῦ συνωνύμου ἀπόφασιν· διὸ καὶ τῷ ὁμωνύμῳ, ὥσπερ τινὶ καθόλου, πρὸς τὸ κυρίως ὁμώνυμόν τε καὶ ἀναλογικὸν φαίνεται χρώμενος· καὶ οὕτω τὰ μὲν συνώνυμα καθ' ἕνα τρόπον λαμβάνει· τὰ δὲ ὁμώνυμα κατὰ πλείους· φησὶ γὰρ ἐν τῷ ὀγδόῳ τῶν περὶ Κινήσεως· „Εἰσί τε τῶν ὁμωνυμιῶν αἳ μὲν πολὺ ἀπέχουσαι, αἳ δὲ ἔχουσαί τινα ὁμοιότητα, αἳ δ' ἐγγὺς ἢ γένει ἢ ἀναλογίᾳ· διὸ οὐδὲ δοκοῦσιν ὁμωνυμίαι εἶναι, οὖσαι.“ Καὶ πολὺ μὲν ἀπεχούσας ὁμωνυμίας καλεῖ, ἐν αἷς ψιλή τις τῶν ὀνομάτων κοινότης εὑρίσκεται· | αὗται δέ εἰσιν αἱ τῶν κυρίων μάλιστα ὀνομάτων, αἳ καὶ f. 133ᵛ ἀπὸ τύχης καλοῦνται, ὁμωνυμίαι ἁπλῶς πᾶσαι λεγόμεναι· ἐνίαις δὲ ὁμοιότης τις ἔνεστιν, ὥσπερ εἰ τὸ ὄνομα τοῦ ἀνθρώπου κατά τε τοῦ ζωοῦ καὶ τοῦ τεθνεῶτος, ἢ καὶ ἔτι τοῦ γεγραμμένου λέγοιτο, καθό τινα πρὸς τὸν ἀληθῆ καὶ ζῶν ἄνθρωπον ὁμοιότητα ἔχει· αἳ δέ εἰσι καὶ ἔτι ἔγγιον, ἢ συμβαινόντων πῃ τῶν ὁμωνυμούντων ἐν τῷ γένει, ὥσπερ σῶμα τό τε οὐράνιον καὶ τὸ φθαρτὸν λέγεται ὁμωνύμως μὲν φυσικῶς· οὐ γὰρ τὴν αὐτὴν ἔχουσιν ὕλην· συνωνύμως δὲ λογικῶς, ὅτι ἐν τῷ λογικῷ συνέρχονται γένει, οὗ χάριν δοκεῖ καθάπαξ μηδὲ εἶναι ὁμώνυμα. Ἢ τοίνυν οὕτως ἐγγύς εἰσιν, ἢ διά τινα ἀναλογίαν, τουτέστι μεταφορικὴν ὁμοιότητα, ὥσπερ ποιμὴν ὅ τε τῶν προβάτων λέγεται καὶ ὁ λαῶν προϊστάμενος

8 *ἐπεὶ* D 16 *κατηγορίαις* om D

βασιλεύς, ἅτε ἑκατέρου ἰθύνοντος τὸ ὑφ' αὐτὸν πλῆθος καὶ διεξάγοντος· ὥστε καὶ ταύτης εἵνεκα τῆς ἐγγύτητος πολλαὶ δοκοῦσι μὴ εἶναι ὁμωνυμίαι, πάνυ γε οὖσαι· πάντα δὲ τὰ κατά τινα ὁμοιότητα συνερχόμενα ἀναλογικὰ ἐκάλεσεν, ὅτι ἀναλογίαν, τουτέστιν ἀναφοράν τινα ἀνάλογον ἔχει· ἢ πρὸς ἓν ἀναφερομένων δυοῖν τινων· καὶ τοῦτο πάλιν διχῶς· πῇ μὲν πρὸς αἰτίαν, ὡς τὰ ἀφ' ἑνός· πῇ δὲ πρὸς ἀποτέλεσμα, ὡς τὰ πρὸς ἕν, ἢ μὴ πρὸς ἄλλο τι τρίτον, ἀλλὰ θατέρου αὐτῶν πρὸς θάτερον ἀναφερομένου. Ἰατρικὸν μὲν γὰρ βιβλίον καλεῖται καὶ σκεύασμα, ὅτι ἀπὸ τῆς ἰατρικῆς ἄμφω· ὑγιεινὸν δὲ φάρμακόν τε καὶ οὖρον, ὅτι πρὸς ἕν, τὴν ὑγείαν, εἰ καὶ διαφόρως·
f. 134 Σωκράτης δὲ ὅ τε ἀληθὴς καὶ ἡ εἰκὼν αὐτοῦ λέγεται, ὅτι αὕτη καθ'|ὁμοιότητα τοῦ ἀληθοῦς καὶ δι' ἐκεῖνόν ἐστι.

Ταῦτα τοίνυν ἅπαντα τῶν τε ὁμωνύμων καὶ συνωνύμων ἐν τῷ τρίτῳ τῶν Μετὰ τὰ φυσικὰ καὶ ἄλλοθι πολλαχοῦ διακρίνει· ἐκεῖ γὰρ περὶ τοῦ ὄντος τὸν λόγον ποιούμενος· „Τὸ ὄν, φησί, λέγεται μὲν πολλαχῶς, ἀλλὰ πρὸς ἓν καὶ μίαν τινὰ φύσιν, καὶ οὐχ ὁμωνύμως.“ Εἶτα τὸ ὑγιεινὸν τεθεικὼς παράδειγμα, ἐπάγει· „Ὁμοιοτρόπως δὲ καὶ ἄλλα ληψόμεθα ἑπόμενα τούτοις· οὕτω δὲ καὶ τὸ ὂν λέγεται πολλαχῶς μέν, ἀλλ' ἅπαν πρὸς μίαν ἀρχήν.“ Καὶ αὖθις· „Τὸν λόγον ἔστι μέν, φησί, τὸν αὐτὸν εἶναι καθάπαξ, λέγω τὸν τῶν συνωνύμων· ἔστι δ' οὐ τὸν αὐτὸν πλὴν τινος προσθέσεως, ἢ ἀφαιρέσεως· οὗτος δ' ἂν εἴη τῶν ἀναλογικῶν καὶ πρὸς ἕν.“

Ἐν δὲ τῷ ὀγδόῳ φησὶν ὅτι ὁ ἀριθμὸς καὶ τὸ τί ἦν εἶναι οὐκέτι εἷς ἔσται, ἀφαιρεθέντος τινός, ἢ προστεθέντος. Τοῦτο δὲ γίνεται ἐπὶ πάντων τῶν πρὸς ἓν λεγομένων. Τὰ μὲν δὴ λεγόμενα κατά τινων τῇδε Ἀριστοτέλης διαιρεῖ ἀκριβέστερον δήπου τῶν πρὸ αὐτοῦ, οἳ εἰς δύο μόνα διῄρουν· τὸ δὲ ὂν οὔτε συνωνύμως φησὶ λέγεσθαι καθ' ὧν ἂν λέγοιτο, οὔτε ὁμωνύμως κατὰ τὰ κυρίως ὁμώνυμα, ἀλλ' ἀναλογικῶς καὶ πρὸς ἕν· οὕτω γάρ, φησί, „καὶ τὸ ὂν λέγεται πολλαχῶς μέν, ἀλλ' ἅπαν πρὸς μίαν ἀρχήν.“

Καὶ αὖθις ἐν τῷ εἰκόστῳ· „Ἐπεὶ δέ ἐστιν ἡ τοῦ φιλοσόφου ἐπιστήμη τοῦ ὄντος, ᾗ ὂν καθόλου καὶ οὐ κατὰ μέρος, τὸ δὲ ὂν πολλαχῶς καὶ οὐ καθ' ἕνα λέγεται τρόπον, εἰ μὲν ὁμωνύμως, κατὰ κοινὸν δὲ μηδέν, οὐκ ἔστιν ὑπὸ μίαν ἐπιστήμην· οὐ γὰρ ἓν γένος τῶν τοιούτων· εἰ δὲ κατά τι κοινόν, εἴη ἂν ὑπὸ μίαν ἐπιστήμην· ἔοικε δὴ τὸν εἰρημένον λέγεσθαι
f. 134v τρόπον, καθάπερ τὸ ἰατρικὸν καὶ τὸ ὑγιεινόν· | καὶ γὰρ τούτων ἑκάτερον πολλαχῶς λέγομεν.“ Τὰ δ' αὐτὰ δὲ καὶ ἐν τῷ ἑβδόμῳ λέγει· „Ἐπεὶ τό γε ὀρθόν ἐστι μήτε ὁμωνύμως φάναι, μήτε ὡσαύτως, ἀλλ' ὥσπερ τὸ ἰατρικὸν τῷ πρὸς τὸ αὐτὸ μὲν καὶ ἕν“, καὶ τὰ ἑξῆς· μᾶλλον δὲ ἄνωθεν λαμβάνοντες ὅπως Ἀριστοτέλει τὰ περὶ τοῦ ὄντος διώρισται, διὰ βραχέων ἐροῦμεν.

---

19 *λέγων* D 37 *καὶ* (2°) om A

Ἐν γὰρ τῷ πέμπτῳ τῶν Μετὰ τὰ φυσικά, εἴς τε τὸ καθ' αὑτὸ καὶ τὸ κατὰ συμβεβηκός, καὶ τὸ ἀληθὲς ὅπερ ἐστὶ τὸ ἐν τῇ διανοίᾳ ὄν, ἐν ᾗ ἐστιν ἡ σύνθεσις καὶ ἡ διαίρεσις, καὶ τὸ σύμπαν εἰπεῖν, ἡ ἀντίφασις, καὶ παρὰ ταῦτα εἰς τὸ δυνάμει καὶ ἐνεργείᾳ διεῖλε τὸ ὄν· εἴη τ' ἂν αὕτη ἡ τοῦ ὄντος διαίρεσις, ὀνόματος εἰς διαφόρους ἐννοίας· διὰ τοῦτο καὶ αὐτὸς ἐκεῖ λέγει· „Ἀλλ' ἐπεὶ τὸ ὂν τὸ ἁπλῶς λεγόμενον λέγεται πολλαχῶς, ὥσπερ εἰ λέγων ὅτι τοὔνομα τοῦ ὄντος ἁπλῶς τε καὶ καθόλου λεγόμενον πολλὰ καὶ διάφορα σημαίνει“· εἶτα τὸ ὂν αὐτὸ τὸ καθ' αὑτὸ καὶ τῷ κατὰ συμβεβηκὸς ὄντι ἀντιδιαστελλόμενον ἀπολαβών, εἴς τε τὸ τί ἐστι διεῖλε καὶ τὰ ἄλλα γένη· ὧν τὸ μὲν τί ἐστι πρῶτόν ἐστι καὶ ἀρχή τις ὡς ὑποκείμενον, τὰ δὲ λοιπὰ πάντα, ποσότητες ἢ ποιότητες, ἢ πάθη, ἤ τι τοιοῦτον τοῦ πρώτως ὄντος εἰσί, καὶ οὐ μᾶλλον ἀπ' αὐτοῦ εἰσιν ἢ αὐτοῦ· καὶ τοῦτ' ἔστιν ἐξ οὗ τε ἤρτηνται τ' ἄλλα καὶ δι' ὃ λέγονται. Αὐτὴ τοίνυν ἡ διαίρεσις προσήκει τοῖς ἀναλογικῶς λεγομένοις· ἔστι γὰρ διαίρεσις πράγματος ἓν ἔχοντος ὄνομα καὶ λόγον ἕνα μὲν τὸν γενικόν· εἰρήσθω γὰρ οὕτως, ἐπεὶ καὶ τὸ κοινὸν καὶ καθόλου γένος εἴωθεν Ἀριστοτέλης καλεῖν· εἰδικὸν δὲ οὐχ ἕνα, ἀλλὰ πλείους. Ἐπειδὴ γὰρ ὁ ἑκάστων λόγος ἐκ τοῦ τῆς ὑπάρξεως αὐτῶν τρόπου λαμβάνεται, τὸ δὲ καθ' αὑτὸ ὂν ἕνα τρόπον | ὑπάρξεως ἔχει, ᾧ τοῦ τε κατὰ συμβεβηκὸς ὄντος καὶ τοῦ ἐν τῇ διανοίᾳ, f. 135 τουτέστι τοῦ ἀληθοῦς, διακρίνεται, εἰκότως ἑνός ἐστι λόγου τὸ ὄν, τό τε ἐν τῇ οὐσίᾳ καὶ τὸ ἐν τῷ συμβεβηκότι· ἀληθὲς γάρ ἐστι καθ' αὑτὸ τήν τε οὐσίαν ἀνὰ μέρος, τό τε συμβεβηκὸς τοιοῦτό τι ὂν ἀποφήνασθαι· καὶ εἰ ποιητικῶς τὸ εἶναι τὸ συμβεβηκὸς διὰ τὴν οὐσίαν ἔχει, εἰδικῶς μέντοι γε οὐκ ἔστιν ἐκ τῆς οὐσίας, ἀλλὰ τῇ εἰδικῇ τοῦ συμβεβηκότος ὀντότητι κατ' αὐτοῦ τὸ ὂν λέγεται, ὥσπερ καὶ κατὰ τῆς οὐσίας, τῇ εἰδικῇ ταύτης ὑπάρξει· καὶ διὰ ταῦτα τὸ ὂν ἕνα τε τρόπον ἔχει κοινὸν τῆς ἐν ἀμφοῖν τούτοιν ὑπάρξεως καὶ ἅμα λόγον ἕνα κοινόν. Μέχρι μὲν οὖν τούτου γένος οὐσίας τε καὶ συμβεβηκότος εἶναι δοκεῖ τὸ ὄν· ἀλλ' ἔστι τι προσιστάμενον. Εἰ γὰρ καὶ εἷς ἐστι καθ' αὑτὸ ὁ κοινὸς ἀμφοῖν λόγος, ἀλλὰ πρότερον μὲν ὑπὸ τῆς οὐσίας, ὕστερον δὲ ὑπὸ τοῦ συμβεβηκότος μετέχεται. Δῆλον γὰρ ὅτι τὸ συμβεβηκὸς τὴν οὐσίαν αἰτίαν ἔχει· ἀμφοῖν δὲ τὸ εἶναι εἰδικῶς ἐνυπάρχει, ὡς εἴρηται. Πρότερον δέ τι ὑπὸ τῆς αἰτίας ἢ τοῦ ἐκ ταύτης ὄντος μετέχεται· οὐδὲ δεῖ τινα θαυμάζειν, ὅπως εἷς τέ ἐστι καθ' αὑτὸν ὁ τῆς οὐσίας καὶ τοῦ συμβεβηκότος λόγος καὶ σῴζεταί γε ἐν τῇ οὐσίᾳ πρὸ τοῦ συμβεβηκότος· ἡ γὰρ θέρμη τοῦ τε πυρός, τοῦ τε πυρακτωθέντος σιδήρου ἑνὸς μέν ἐστι λόγου, τούτου μέντοι γε μηδόλως προσισταμένου, ἐν τῷ πυρὶ πρότερον ὁ τῆς θέρμης λόγος εὑρίσκεταί τε καὶ σῴζεται· ἔχει γὰρ διὰ τοῦ πυρὸς κἂν τῷ σιδήρῳ τὸ εἶναι· καὶ πολλοῖς ἄλλοις παρα-

---

2 *τὸ* avant *κατὰ* om D   6 *τὸ ἁπλῶς*: *τί ἁπλῶς* D   13 *ἤρτηται* D   20 *αὐτὸν* D

δείγμασι τοῦτο σαφές ἐστιν. Ἐπεὶ τοίνυν τὸ μὲν εἰλικρινῶς συνώνυμον
f. 135v ἕνα λόγον ἔχει | μετεχόμενον ἐπίσης τοῖς ὑπ' αὐτὸ καὶ ὧν καταλέγεται,
ὡς Ἀριστοτέλει καὶ Πορφυρίῳ δοκεῖ, τοῦ δ' ὄντος οὐκ ἐπίσης ἥ τε οὐσία
μετέχει καὶ τὸ συμβεβηκός, ἀλλὰ κατὰ τὸ πρότερόν τε καὶ ὕστερον, ἀναγ-
καίως ἀκολουθεῖ τὸ ὂν μὴ εἶναι συνώνυμον· τῷ δ' ἕνα λόγον ἔχειν πως
οὐδὲ ὁμώνυμόν ἐστι, καὶ διὰ τοῦτο καλῶς ἐν τοῖς ἀναλογικοῖς τέτακται,
καὶ τούτων τοῖς ὅτι μάλιστα ἐγγυτάτω· οὐ γὰρ πάντα τὰ ἀναλογικῶς
λεγόμενα ἕνα τρόπον ὑπάρξεως ἐν τοῖς καθ' ὧν λέγεται ἔχει, εἰ καὶ πάντα
προτέρως τε καὶ ὑστέρως ὑπὸ τῶν μετεχόντων μετέχεται.

f. 136 | Εἰ δ' ἐν ἑκάστῳ γένει φησὶν ὁ Φιλόσοφος εἶναί τι πρῶτον, ὅ τ' ἄλλα
μετρεῖ, ἀλλ' οὐκ εἶδός τι τοῦτ' εἶναι βούλεται τῶν ἀντιδιῃρημένων εἰδῶν
αὐτῷ πρότερον, ὥστ' οὐδ' ἐν ἐκείνῳ τετάχθαι τῷ γένει κυρίως, ἀλλά τι
ἐλάχιστον ἐν τῇ ὑπάρξει τῶν ὑπὸ τῷ γένει ταττομένων ἑκάστου· ὃ λαμ-
βάνειν ἔστι δι' ἀναλύσεως, ὥσπερ ἐν τῷ τῆς ποσότητος γένει μονάς, καὶ
δι' αὐτὴν στιγμή· ὡς δὲ κἀν τῷ τῆς οὐσίας γένει, εἶδός τε καὶ τούτου
εἵνεκα ἡ ὕλη· τοῦτο μὲν οὖν οὐ κωλύει γένος εἶναι οὐσίαν τε καὶ ποσό-
τητα. Εἰ δὲ ἄνθρωπος ἦν ἵππου πρότερος, ᾗ ζῷον, οὐκ ἂν οἷόν τ' ἦν
γένος αὐτῶν εἶναι τὸ ζῷον· καὶ εἰ γραμμὴ προτέρα ἦν ἐπιπέδου, ᾗ ποσά
εἰσιν ἄμφω, οὐκ ἂν ἦν γένος αὐτῶν ἡ ποσότης· νῦν δὲ ἵππος μὲν ἀν-
θρώπου κεχωρισμένος ἐστί, καὶ ἐπιφανείας γραμμή· συμβεβηκὸς δέ τι
οὐκ ἔτι ἔσται αὐτὸ τῆς οὐσίας κεχωρισμένον. Τοῦτό τε τοίνυν εἴργει τὸ
ὂν γένος εἶναι συνώνυμον καὶ τὸ μὴ ἐπὶ πάντα ἐκτείνεσθαι τὴν συνώνυμον
κατηγορίαν αὐτοῦ, καίτοι πάντων κατηγορουμένου τῶν ὄντων, λέγω δὲ
τῶν καθ' αὑτὰ νοητῶν· οὐ γὰρ δὴ κατά γε τῶν αὐτοῦ παθῶν, οὐδέ γε
τῶν ἐν ἑκάστῳ γένει ἐσχάτων τε καὶ ἁπλουστάτων διαφορῶν. Ὅλως δὲ ὁ
Φιλόσοφος τὸ γένος κυρίως ὁρίζεται τῷ τε κατὰ πλειόνων εἰδῶν λέγεσθαι
ἐν τῷ τί ἐστι καθ' ἕνα λόγον ἅμα μετεχόμενον καὶ τῷ εἰς ταῦτα εἰδικαῖς
τισι κατιέναι διαφοραῖς, καὶ τῷ τὸν λόγον αὐτοῦ ἔξω τοῦ τῶν διαφορῶν
εἶναι λόγου· οὗ δ' ἂν τι τούτων ἀπείη, τοῦτο γένος εἶναι οὐ δύναται, εἴτε
τὸ ὄν, εἴτε ὁτιοῦν εἴη· ἀλλ' ἢ μόνον ὡς κοινόν τι καὶ πάντων ἐπαναβεβηκός·
οὕτω δὲ τὸ ὂν πολλαχοῦ γένος καὶ αὐτὸς καλεῖ, καὶ συνώνυμον δέ ἐστιν
οὐχ ἁπλῶς, ἀλλ' ἢ κατ' ἀναλογίαν.

f. 135v | Δήλη μὲν οὖν ἐστιν ἐκ τῶνδε καὶ ἡ πρὸς τὰ ἀντικείμενα λύσις. Δεῖ
μέντοι γε καὶ πρὸς ἕκαστον αὐτῶν ἀποκρίνασθαι, ἵνα καὶ τοῖς ἧττον
δυναμένοις παρακολουθεῖν εὐσύνοπτον τὸ τῶν Πλήθωνος λόγων γένηται
ψεῦδος.

Πρὸς τὸ πρῶτον τοίνυν τῶν ἐπιχειρημάτων αὐτοῦ καὶ δεύτερον ῥητέον

10-32 *Εἰ δὲ — κατ' ἀναλογίαν*: en marge de la main de Scholarios dans A au fol. 136; dans D au fol 28r 27 *ὑπ' αὐτῶν* après *ἅμα* add D 29 *ἓν* après *ἂν* add D 37 *τῶν ἐπιχειρημάτων αὐτοῦ* en interligne A, om D

ὁμοῦ, ὅτι τῷ μὲν ἅπαντα ἀφ' ἑνὸς εἶναι καὶ ἄκρως ἑνὸς συγχωροῦμεν κατὰ Ἀριστοτέλη· αὐτὸς γάρ ἐστιν ὁ λέγων ἐν τῷ δευτέρῳ τῶν Μετὰ τὰ φυσικὰ πᾶν τοιόνδε τι κατὰ μέθεξιν ἀνάγεσθαι πρὸς ἕτερόν τι τοιοῦτον κατ' οὐσίαν· καὶ ἐπεὶ ὄν ἐστι κατὰ τὴν ἰδίαν ὕπαρξιν ἡ πρώτη ἀρχὴ κατ' αὐτόν, ἥν φησιν εἶναι Θεόν, πρὸς τοῦτο πάντα δεῖ τὰ ὄντα ἀνάγεσθαι καὶ αὐτοῦ μετέχειν, ἅτε κατά τινα ὁμοιότητα τῆς αὐτοῦ βουλήσεως τῆς ἰδίας ὑπάρξεως τετυχηκότα· τὸ δὲ καὶ ἀνάγκην εἶναι κοινοῦ τινος μετέχειν ἑνὸς συνωνύμως οὔτ' Ἀριστοτέλει δοκεῖ, οὔτε δεῖ συγχωρεῖν τινα Πλήθωνι· οὐδεμία γὰρ ἀνάγκη. Εἰ γὰρ ἀρκεῖ καθάπαξ ἡ πρώτη πάντων αἰτία πρὸς τὸ προάγειν πάντα τὰ ὁπωσοῦν αὐτῆς μετέχοντα | τῷ ἀπείρου εἶναι δυνά- f. 137 μεως, τί δεῖ τοῦ κοινοῦ ὄντος; Καὶ συνάγειν δὲ ἅπαντα πρὸς ἑνότητα ἱκανή ἐστιν ἡ τῆς πρώτης αἰτίας ὁμοιότης ἐν τοῖς πράγμασιν ἱδρυμένη, εἴπερ κατά τινα ἀναλογίαν καὶ τάξιν προήχθησαν· ἥτις ἐν τῷ πῇ μὲν κοινωνεῖν, πῇ δὲ διαφέρειν αὐτὰ ἀλλήλων συνέστηκεν ἐν αὐτοῖς. Καίτοι γε εἰ μὲν ποιητικὴ αἰτία τῶν ὄντων τοῦτ' ἦν τὸ κοινόν, εἶχεν ἄν τινα λόγον· νῦν δὲ οἱ τοῦτο τιθέντες τὸ κοινόν, εἰδητικήν τινα αἰτίαν τῶν ὄντων τοῦτο λέγουσιν· ὃ τιθέναι ἀδύνατον· τὰ γὰρ καθ' ἕκαστον ὄντα εἰδικῶς εἰσιν ὄντα καθ' αὐτά, ὡς εἴρηται, εἰ καὶ ποιητικῶς ἐκ τῆς πρώτης εἰσὶν ἀρχῆς. Εἰ γοῦν καὶ μίαν εἶναί φησι τῶν ὄντων Ἀριστοτέλης ἀρχὴν ἐν τῷ τριακοστῷ τῶν Μετὰ τὰ φυσικὰ καὶ ἕνα ἡγεμόνα τοῦ παντὸς τοῦδε καὶ διοικητήν, ἀλλ' οὐχ ᾤετο διὰ ταῦτα ἀναγκαῖον εἶναι καὶ μίαν εἰδικὴν τιθέναι ἀρχὴν τὸ ὄν, ἑτέραν δὴ παρ' ἐκείνην· αὐτὴν δὲ τὴν πρώτην ποιητικὴν ἀρχὴν καὶ εἰδικήν πως εἶναι, τουτέστι παραδειγματικήν, αὐτοῦ τε Ἀριστοτέλους καὶ πάντων τῶν εὖ φρονούντων γέγονε δόξα, ὡς πρότερον εἴρηται· ἅμα δὲ καὶ ἀδύνατόν ἐστιν εἰδικήν τινα ἀρχὴν τῶν ὄντων τιθέναι τὸ ὄν, κειμένου γένος τε εἶναι αὐτὸ καὶ συνώνυμον καὶ κεχωρισμένον τῶν καθ' ἕκαστα ὄντων, ὡς οἱ περὶ Πλάτωνα ἀξιοῦσι.

Καὶ ὡς μὲν ἀδύνατόν ἐστι κεχωρίσθαι τὸ κοινὸν ὄν, εἴ γε μέλλοι συνωνύμως μετέχεσθαι ὑπὸ πάντων, δῆλον ἐντεῦθεν· ὃ γὰρ τὴν τινὸς οὐσίαν σημαίνει οὐ δύναται αὐτοῦ κεχωρίσθαι κατὰ τὸ εἶναι· ἀδύνατον γὰρ τὴν οὐσίαν οὗ ἐστιν οὐσία χωρίζεσθαι· ἀλλὰ τὰ γένη καὶ τὰ εἴδη τὴν οὐσίαν δηλοῦσι τῶν καθ' ἕ|καστα ὄντων λεγόμενα κατ' αὐτῶν, καὶ ἐκ f. 137v τῆς οὐσίας αὐτῶν εἰσιν· ὅθεν οὐδὲ κεχωρισμένα δύνανται εἶναι· οὐδ' ἄρα τὸ ὂν κεχωρισμένον εἶναι δύναται, συνώνυμον ὄν.

Ὅτι δὲ καὶ γένος τοῦτ' εἶναι ἀδύνατον, εἴπερ ἐστὶν εἰδικὴ τῶν ὄντων ἀρχή, δῆλον ἐντεῦθεν. Τὴν μὲν γὰρ εἰδικὴν ἀρχὴν πραγματικὴν εἶναι δεῖ· οὐδεμία δὲ πραγματικὴ ἀρχὴ κατὰ τοῦ ἀπ' αὐτῆς ὄντος λέγεται ἐκείνῳ τῆς κατηγορίας τῷ εἴδει ᾧ φαμεν τόδε εἶναι τόδε, ἀλλὰ μᾶλλον ᾧ λέγεται

---

16 *εἰδικήν* D 16-17 *τῶν ὄντων αἰτίαν* D 17 *καθ' ἕκαστα* D

τόδε εἶναι ἐκ τοῦδε· ὥσπερ οὔ φαμεν τὸν ἄνθρωπον εἶναι ψυχήν, κατά γε Ἀριστοτέλη, εἰδικὴν ἀρχὴν ἀνθρώπου ταύτην ἀποφαινόμενον, ἀλλὰ μᾶλλον ἐκ ψυχῆς εἶναι αὐτὸν καὶ σώματος λέγομεν. Τὸ δὲ γένος τῶν εἰδῶν τῷ προτέρῳ κατηγορεῖται τρόπῳ, οὐ τῷ δευτέρῳ· οὐκ ἄρα, εἰ τὸ ὂν γένος ἐστί, δύναται εἰδικὴ ἀρχὴ τῶν καθ᾽ ἕκαστα ὄντων εἶναι, οὔτ᾽ εἰ τοιαύτη τίς ἐστιν ἀρχὴ δύναται γένος εἶναι.

Διὰ δὴ ταῦτα πάντα Ἀριστοτέλης σοφῶς τε πάνυ καὶ εὐμαθῶς ποιητικὴν μὲν αἰτίαν πάντων καὶ εἰδικὴν τὴν πρώτην ἀρχὴν ὑπείληφεν, ἣν μίαν τε καὶ μάλιστα οὐσίαν εἶναί φησιν, ὡς ἐν τῷ πρώτῳ ζητήματι δέδεικται, καὶ ἐκ ταύτης ἥκειν τὸ εἶναι καὶ ζῆν τοῖς ὁπωσοῦν οὐσίας μετέχουσι καὶ ζωῆς· τὰ δὲ γένη καὶ εἴδη, ὡς μὲν ὄντα, ἐν αὐτοῖς εἶναι πραγματικῶς ὧν γένη καὶ εἴδη εἶναι λέγονται· ἐκ γὰρ τῆς οὐσίας αὐτῶν εἰσι καὶ αὐτῆς ὑπάρχουσι μέρη· ὡς δὲ καθόλου τινά, ᾧ δὴ τρόπῳ πρός γε τὴν ἡμετέραν γνῶσιν λυσιτελεῖ, ἐπινοίας τινὰς εἶναί φησιν, ἀποδιδομένας τοῖς πράγμασιν ἐν τῇ πρὸς ἄλληλα τάξει, δι᾽ ὧν εὐμεθόδως καὶ f. 138 ἀναγκαίως τὴν ἑκάστου νοοῦμεν | οὐσίαν· πρότερον μὲν τὶ κοινὸν αὐτῷ τε καὶ ἄλλοις ὑπάρχει, ἔπειτα τὸ ἰδιάζον σκοποῦντες καὶ ἐκ τούτων τὸν τῆς οὐσίας λόγον συνάγοντες. Ταῦτα δὲ καὶ χωριστὰ εἶναι λέγει κατά γε τὸν λόγον· ὁ γὰρ τοῦ ἐπαναβεβηκότος λόγος τοῦ λόγου τοῦ ὑποβεβηκότος διενήνοχέ τε καὶ κεχώρισται, καὶ τὸ καθόλου οὐ πραγματικήν τινα τῶν ὑπ᾽ αὐτὸ ἀρχὴν εἶναί φησιν· ᾗ γὰρ ἂν πράγματι διενηνόχει τῶν ὑπ᾽ αὐτό· τοῦτο δὲ ἀδύνατον εἶναι· τὸ γὰρ γένος καὶ τὸ εἶδος τὸ αὐτὸ πρᾶγμα ἐπιφέρουσι, διαφέρον μόνον κατὰ τὸν λόγον. Ἀλλ᾽ ἀρχὴν τῆς τῶν ὑποκειμένων νοήσεως τὸ καθόλου μόνον εἶναί φησι. Καὶ τῶν καθόλου τὰ μὲν εἶναι λέγει συνώνυμα, ὀνόματί τε καὶ πράγματι κατηγορούμενα, ὡς εἴρηται πρότερον, χωρίς τινος διαφορᾶς· ἅ φησιν εἶναι τὰ γένη· τὰ δέ, ὁμώνυμα ἀναλογικὰ διὰ τὸ μὴ εἰλικρινῶς ἐν ταὐτότητι πράγματος ἐπιλέγεσθαι, ἀλλὰ κατὰ διαφόρους τινὰς ἰδιότητας, τοὐλάχιστον κατὰ τὸ πρότερόν τε καὶ ὕστερον.

Οὕτω δὲ καὶ τὸ ὂν ἔχειν φησὶ τὸ κατὰ τῆς οὐσίας καὶ τοῦ συμβεβηκότος λεγόμενον, οὔτε ποιητικὴν ἀρχὴν τῶν ὄντων τοῦτο λέγων, ὡς τὸ ὑπερούσιον ὄν, οὔτε εἰδικήν, οὔτε γένος κεχωρισμένον, οὔτε συνώνυμον διὰ τὰ εἰρημένα, ἓν δὲ αὐτὸ καὶ κοινὸν εἶναι, καὶ ὑπὸ πάντων μετέχεσθαι ἀξιῶν ἑνότητι καὶ κοινότητι κατηγορίας τῆς γε προειρημένης. Πλήθων δὲ ἀμελείσθω, πάντα ἓν ὁμοίως εἶναι βουλόμενος, καὶ ὁμοίως κοινά, καὶ ὁμοίως μετέχεσθαι, τά τε θεῖα, τά τε ἀνθρώπινα πράγματα, τάς τε ἐπινοίας τῶν καθόλου, καὶ τῷ μὴ ἐθέλειν, ἢ μὴ δύνασθαι διαιρεῖν πολλὰ τοῦ ὄντος καταψευδόμενος.

f. 138v Τὰς δὲ πρὸς τοὺς | ἀριστοτελικοὺς λόγους ἐνστάσεις αὐτοῦ οὕτω λυτέον ἂν εἴη. Τὸ μὲν δὴ λευκὸν ἁπλῶς τε καὶ καθ᾽ αὑτὸ λεγόμενόν ἐστι συνώ-

νυμον, καθ᾽ ὅσον ἐν τῷ τῆς ποιότητος τάττεται γένει μετά τινων πρὸς τὰ ἀντικείμενα εἴδη διαφορῶν· τό τε γὰρ εἶδος ἕν ἐστι καὶ ἁπλοῦν καὶ λόγον ἕνα ἔχει, καὶ οὐκ ἂν ἐπιδέχοιτο τὸ μᾶλλον καὶ ἧττον, ἀλλὰ καθ᾽ ὅ ἐστιν ἐν τῇ χιόνι καὶ τῷ ἐρίῳ. Οὔτε συνώνυμόν ἐστιν· οὐδὲν γάρ ἐστι γένος λευκοῦ ἐρίου καὶ λευκῆς χιόνος, ἅτε τῶν μὲν ἁπλῶν καὶ καθ᾽ αὐτὰ ὄντων τιθεμένων ἐν γένει, τούτων δὲ συνθέτων τε ὄντων καὶ κατὰ συμβεβηκός, καὶ τὸ μᾶλλον καὶ ἧττον διὰ ταῦτ᾽ ἂν ἐπιδέχοιτο· ἅπαν γὰρ ἐπουσιῶδες εἶδος, εἰ καὶ μὴ ἔστι μᾶλλον καὶ ἧττον καθ᾽ ἑαυτό, ἀλλ᾽ ἔχει τινὰ ἐπιτηδειότητα πρὸς τὸ μᾶλλον καὶ ἧττον ἐν διαφόροις ὑποκειμένοις εὑρίσκεσθαι, ἢ ἐν τῷ αὐτῷ κατὰ διάφορον χρόνον. Τοῦτο δὲ συμβαίνει διχῇ· ἢ τῷ τὴν δύναμιν τοῦ τὸ εἶδος τόδε προάγοντος ἐνίοτε μὲν ἰσχυροτέραν, ἔστι δ᾽ ὅτε ἀσθενεστέραν τῷ αὐτῷ τε ὑποκειμένῳ καὶ πλείοσιν ἐμφύεσθαι, ἢ τῷ μᾶλλον ἢ ἧττον παρεσκευάσθαι πως τὸ ὑποκείμενον πρὸς τὴν τοῦδε τοῦ εἴδους ὑποδοχήν· ὃ καὶ δι᾽ ἄλλας μὲν αἰτίας δύναται συμβαίνειν, μάλιστα δὲ πλείονός τε καὶ ἐλάττονος ἕνεκα πρὸς τὸ ἐναντίον ἐπιμιξίας, εἰ καὶ τούτου πάλιν ἡ ποσότης τῆς τοῦ ποιοῦντος δυνάμεως δοκεῖ τισιν αἴτιον εἶναι. Ἐπεὶ τοίνυν καὶ τὸ λευκὸν ἐπουσιῶδες εἶδός ἐστι καὶ τῆς οὐσίας τοῦ πράγματος χωρίζεσθαι πάνυ δυνάμενον, ἔχει μέν τινα ἐπιτηδειότητα πρὸς τὸ μᾶλλον καὶ ἧττον εὑρίσκεσθαι ἐν τοῖς πράγμασι καὶ κατὰ διαφόρους | βαθμούς· ἓν μέντοι γε τῷ εἴδει ἐστίν· ὅθεν εἰ μὲν f. 139
καθ᾽ αὑτὸ λαμβάνοιμεν τὸ λευκόν, οὐ μετέχει τὸ λευκὸν καὶ τὸ ἔριον, συνώνυμόν ἐστιν· ἀλλ᾽ οὐ μᾶλλον ὑπάρχει καὶ ἧττον· εἰ δὲ καθ᾽ ὅ ἐστιν ἐν τῷ ἐρίῳ καὶ τῷ λευκῷ, ἔχει μὲν τὸ μᾶλλον καὶ ἧττον, ἀλλ᾽ οὐ συνωνύμως κατηγορεῖται· τὸ μὲν γὰρ συνωνύμως κατηγορούμενον, μίαν ἐπιφέρει οὐσίαν· τὸ δὲ λευκὸν κατὰ διάφορον τρόπον ὑπάρξεως ἔν τε τῷ ἐρίῳ καὶ τῇ χιόνι πέφυκεν εἶναι.

Περὶ δὲ τῶν ἀριθμῶν, εἰ μὲν τῶν ἐν τοῖς αἰσθητοῖς λέγοιμεν, ὁ αὐτός ἐστι λόγος περὶ αὐτῶν τε καὶ τοῦ λευκοῦ, ὅτι οἱ τρεῖς ἄνθρωποι καὶ τέτταρες οὐ δύνανται εἶναι συνώνυμοι· οὐδὲ γὰρ γένος αὐτῶν τι δύναται εἶναι, οὔτε κατ᾽ Ἀριστοτέλη, οὔτε κατ᾽ αὐτὸν Πλάτωνα· εἰ δ᾽ αὐτοὺς καθ᾽ αὑτοὺς θεωροῖμεν τοὺς ἀριθμούς, πάλιν εἰ μὲν λέγοι τις εὑρίσκεσθαι τὸ πρότερον καὶ ὕστερον ἐν αὐτοῖς, ᾗ ἓν εἶδος ἀριθμοῦ πρότερόν ἐστιν ἄλλου εἴδους, τοῦτο ψεῦδός ἐστιν· ὁ γὰρ τοῦ ἀριθμοῦ λόγος ἐπίσης καὶ ἅμα ἐστὶν ἔν τε τῷ ἐκ δυοῖν μονάδαιν καὶ τριῶν καὶ πλειόνων συγκειμένῳ ἀριθμῷ, καὶ οὐδὲν μᾶλλόν ἐστιν ἀριθμὸς ὁ ἐκ πλειόνων μονάδων συνηθροισμένος τοῦ ἐξ ἐλαττόνων· τὸ γὰρ ἐκ μονάδων συγκεῖσθαι καὶ μέτρον κοινὸν τὴν μονάδα ἔχειν καὶ μονάδι εἰδοποιεῖσθαι τῇ τελευταίᾳ καὶ τὰ τοιαῦτα

21 *ἡ χιὼν* add en interligne avant *τὸ ἔριον* D   23 *τῇ χιόνι* add en interligne avant *τῷ λευκῷ* D

πρόσεστιν ἑκάστῳ, ᾗ ἀριθμῷ, οὐδ' ἔχει ταῦτα ὁδὶ ἀριθμὸς δι' ἕτερον. Εἰ δὲ θεωροίη τις τὸ πρότερον καὶ ὕστερον ἐν αὐτοῖς, καθ' ὃ οἱ τῶν ἀριθμῶν ἐλάττους μετρεῖν δύνανται τοὺς μείζους, τοῦτο κατὰ συμβεβηκός ἐστιν ἐν αὐτοῖς· οὐ γὰρ ᾗ ἀριθμοῖς ἀλλ' ᾗ μείζοσι καὶ ἐλάττοσι τοῦτο πρόσεστιν, f. 139v οὐδ' ἐνεργείᾳ, ἀλλὰ δυνάμει. Οὕτω δὲ τὸ | προτέροις αὐτοῖς καὶ ὑστέροις εἶναι οὐκ ἐμποδών ἐστι τῷ καὶ συνωνύμοις εἶναι, ὥσπερ οὐδὲ Σωφρονίσκου Σωκράτης ὕστερος ὤν, διὰ τοῦτο οὐκ ἔσται συνώνυμος· οὐ γάρ, ᾗ τοιάδε φύσις ἐστί, διαφέρει τῷ χρόνῳ, ἀλλὰ τῷ ὕστερος γεγενῆσθαι· ἐκεῖνα δὲ ἡ τοιαύτη τάξις οὐκ ἐᾷ συνώνυμα εἶναι, οἷς καθ' αὑτὰ καὶ κατὰ τὸν αὐτῶν λόγον ἔνεστιν αὕτη· ὥσπερ ἐν μὲν συμβεβηκόσιν ὁ τοῦ ὄντος λόγος πρότερον, ὕστερον δὲ ἐν τῇ οὐσίᾳ ἐστί, κἂν ταύτῃ μὲν ποιητικῶς, ἐν δὲ τῷ συμβεβηκότι αἰτιατῶς· οὕτω γὰρ Ἀριστοτέλει καὶ ἀληθείᾳ δοκεῖ, τὴν οὐσίαν προτέραν εἶναι καὶ φύσει καὶ γνώσει καὶ χρόνῳ τοῦ συμβεβηκότος, ἀλλ' οὐ κατ' ἄλλο τι, ἀλλ' ᾗ αὐτὴν οὐσίαν, ᾗ ἐκείνου συμβεβηκότος.

Ὡς ἂν δὲ σαφὴς πλέον ὁ περὶ τῶν ἀριθμῶν ὧδε γένοιτο λόγος, ἅπας μὲν ἀριθμὸς ποσότης τίς ἐστι, καὶ διὰ τοῦτο ἀδύνατον συγκεῖσθαι ἐκ μὴ ποσῶν οὐδενὶ τρόπῳ· οὐκ ἀνάγκη δ' ὥσπερ αὐτὸς ποσόν τί ἐστιν ἐνεργείᾳ καὶ καθ' αὑτόν, οὕτω καὶ τὰ ἐξ ὧν σύγκειται, ἀλλ' ἀρκεῖ μετέχειν ταῦτα τῆς τοῦ ποσοῦ φύσεως ἁμηγέπη. Μάλιστα μὲν οὖν μέρη ὡς ἀρχαί τινες οὖσαι καὶ ὕλαι τοῦ ἀριθμοῦ, αἱ μονάδες, διῃρημέναι μὲν ἀλλήλων, ἐν ἑαυταῖς δὲ ἀδιαίρετοι, πρότεραι μέν εἰσι τοῦ ἐξ αὐτῶν συγκειμένου ἀριθμοῦ· ἀεὶ γὰρ τὰ συντιθέντα τῶν συγκειμένων πρότερα, καὶ τοῦ ὅλου τὰ μέρη· ἀλλ' οὐκ εἰσὶ συνώνυμοι τῷ ἀριθμῷ· οὐδὲ γάρ εἰσι ποσότητες, εἰ μὴ δυνάμει· οὐδὲ κυρίως εἰσὶν ἐν γένει, εἰ μὴ κατ' ἀναγωγήν, ὡς ἡ ὕλη καὶ τὸ εἶδος ἐν τῇ οὐσίᾳ, καὶ αἱ διαφοραὶ ἐν ἑκάστῳ γένει, καὶ ὡς ἡ στιγμὴ ἐν ποσό- f. 140 τητι, καὶ ὅλως τὰ στοιχεῖα καὶ αἱ ἀρχαί. Ὅτι γὰρ τὰ τοιαῦτα | οὐκ εἰσὶ κυρίως ἐν γένει, ἀλλὰ μόνον τὸ εἶδος καὶ τὸ ἄτομον, τοῦτο καὶ τοῖς ὁπωσοῦν λογικῆς μετέχουσι δῆλόν ἐστιν· ἀριθμὸς δὲ οὐδείς ἐστι μέρος ἀριθμοῦ καθ' αὑτόν, εἰ μὴ κατὰ συμβεβηκός, καθ' ὅσον αἱ τοσαῦται μονάδες, αἳ ποιοῦσι χωρὶς εἰδικόν τινα ἀριθμόν, ἄλλαις μονάσι συναγόμεναι ὁπωσοῦν, εἰδικόν τινα ἐργάζονται ἀριθμὸν μεγέθει τοῦ προτέρου μείζω, ὥσθ' οὕτως ἐν τῷ μείζονι ἀριθμῷ τὸν ἐλάττω δυνάμει μὲν εἶναι νῦν, ἐνεργείᾳ δὲ γίνεσθαι, ἐπειδὰν χωρισθῇ· εἰδικὸν δέ τινα ἀριθμὸν μέρος εἶναι εἰδικοῦ τινος ἀριθμοῦ καθ' αὑτόν τε καὶ ἐνεργείᾳ, καθάπαξ ἀδύνατον, ὥστε οὐδὲ πρότερον εἶναι· οἷον ὁ τρία καθ' αὑτὸν μὲν θεωρούμενος, εἰδικός ἐστιν ἀριθμός, καὶ οὕτως οὐ διενήνοχε τοῦ ἓξ τῷ πρότερος εἶναι· ἅμα τε γὰρ καὶ ἐπίσης τὸν τοῦ ἀριθμοῦ λόγον ἔχουσιν, ἄμφω εἰδικοὶ ἀριθμοὶ τυγχάνοντες· ἀλλ' οὐδ' ἀνάγκη τὸν τρία εἶναι πρὸς τὴν τοῦ ἓξ γένεσιν, ἀλλὰ

1 *ὅδε ὁ ἀριθμὸς* D 11 *πρότερον, ὕστερον* de la main de Scholarios dans D

μᾶλλον μὲν τὰς τρεῖς εἶναι μονάδας καὶ τὴν τῆς δυάδος δύναμιν, ὡς ἂν ἐκ τούτων ὁ ἕξ γένοιτο. Τῷ ὄντι δὲ οὐδὲ τοῦτ' ἀνάγκη, ἀλλ' ἀνάγκη ἓξ εἶναι μονάδας, ἢ τῷ ἐκ πέντε μονάδων συντεθειμένῳ μονάδα προσελθεῖν ἑτέραν, καὶ εἶδος ἕτερον ἀριθμοῦ ποιῆσαι. Καθ' αὑτὸν μὲν οὖν θεωρούμενος ὁ τρία, ὡς εἴρηται, οὔτε πρότερος καὶ ἅμα ἐστίν, ἐν δὲ τῷ ἓξ οὐκ ἔστιν εἰδικὸς ἀριθμός, ἀλλὰ μᾶλλον ὕλη τοῦ ἕξ, ὅς ἐκ δὶς τριῶν, ἢ τρὶς δύο μονάδων συγκείμενος, τὸ τῇ τοιᾷδε συνθέσει ἑπόμενον εἶδος ἔχει. Καὶ οὕτω πρότερος μέν ἐστιν ὁ τρία τοῦ ἕξ· ἀλλ' οὐχ ᾗ εἰδικὸς ἀριθμὸς ἄλλου τοιούτου, ἀλλ' ὡς τὰ μέρη τοῦ ὅλου, καὶ τὰ συντιθέντα | τῶν συγκειμένων· f. 140ᵛ μέρη δὲ ὡς ἀρχαί, οὕτω δὲ οὐκ ἂν εἶεν συνώνυμα διὰ τὰ εἰρημένα· ᾗ δὲ τὸν αὐτὸν ἔχουσι λόγον τοῦ ἀριθμοῦ, καὶ ἅμα εἰσίν.

Ὁ δ' αὐτὸς σχεδὸν καὶ περὶ τῶν ἁπλῶν σωμάτων λόγος ἐστί· τὰ γὰρ ἁπλᾶ σώματα, ἃ καὶ στοιχεῖα ὑπὸ τῶν πολλῶν εἰώθασι λέγεσθαι, ἐν τῷ αὐτῷ γένει μετὰ τῶν συνθέτων σωμάτων εἰσίν, ὅπερ ἐστὶ τὸ σῶμα, καὶ ἔτι ἀνωτέρω ἡ οὐσία· καὶ διὰ τοῦτο τὸν αὐτὸν ἔχουσι τοῦ γένους λόγον ἐν εἰδικῇ τῇ διαφορᾷ, καὶ εἰσὶ δή που συνώνυμα· τὸν αὐτὸν γὰρ τοῦ εἶναι τρόπον καθόλου τά τε ἁπλᾶ σώματα καὶ τὰ σύνθετα ἔχουσιν, ὅς ἐστι τὸ καθ' αὑτὰ ὑφεστάναι· καὶ οὗτος ὁ τῆς ὑπάρξεως τρόπος εἷς ὢν οὕτω, τὴν ἑνότητα τοῦ λόγου ποιεῖ, ἥτις ἐστὶν αὐτὸ τὸ γενικώτατον γένος, ἡ οὐσία· οὐδὲ προσίσταται τῇ τοῦ λόγου ἑνότητι τὸ τὰ μὲν ἁπλᾶ εἶναι, τὰ δέ, σύνθετα, ὥσπερ οὐδ' ἐν αὐτοῖς τοῖς ἁπλοῖς σώμασιν ἡ κατά γε τὸ τελειότερον καὶ ἀτελέστερον διαφορὰ τὸν τῆς οὐσιάς διαιρεῖ λόγον· τελειότερον γάρ ἐστι τὸ πῦρ τοῦ ἀέρος, καὶ ἐφεξῆς οὕτως· ἀλλ' οὐδὲν ἧττον πῦρ τε καὶ ἀὴρ σώματά τε εἰσὶ καὶ οὐσίαι. Ἀλλ' οὐδὲ πρότερόν ἐστιν ἐν τοῖς ἁπλοῖς σώμασιν ὁ τῆς οὐσίας λόγος ἢ ἐν τοῖς ἐξ αὐτῶν συγκειμένοις, ᾗ σώματά τε εἰσὶ καὶ οὐσίαι δή που τινές. Τὸ γὰρ καθ' αὑτὰ ὑφεστάναι καὶ ἐν αὐτοῖς τὰ συμβεβηκότα εἶναι καὶ σῴζεσθαι οὐ μᾶλλόν ἐστι τοῖς συνθέτοις διὰ τὰ ἁπλᾶ ἢ τοῖς ἁπλοῖς δι' ἐκεῖνα, ἀλλ' ἑκατέροις καθ' αὑτὰ τοῦτο πρόσεστι, καὶ ὁμοίως ἄμφω καὶ ἅμα τὸν τοιοῦτον ἔχουσι λόγον, ᾧ τῶν συμβεβηκότων διακρίνονται· ᾗ καὶ Ἀριστοτέλης ἐν τῷ τετάρτῳ τῶν Μετὰ τὰ φυσικά φησιν· „Οὐσία λέγεται τὰ ἁπλᾶ σώματα, οἷον γῆ, πῦρ καὶ ὕδωρ καὶ ὅσα τοιαῦτα, καὶ ὅλως σώματα, | καὶ τὰ ἐκ τούτων f. 141 συνεστῶτα ζῷά τε καὶ δαιμόνια, καὶ τὰ μόρια τούτων· ἅπαντα δὲ ταῦτα λέγεται οὐσία, ὅτι οὐ καθ' ὑποκειμένου λέγεται, ἀλλὰ κατὰ τούτων τὰ ἄλλα.“ Ἧ μὲν οὖν σώματά τε καὶ οὐσίαι εἰσὶ τὰ λεγόμενα στοιχεῖα, συνώνυμα τοῖς ἐξ αὐτῶν συγκειμένοις καὶ ἅμα εἰσίν· ᾗ δὲ ἁπλᾶ, πρότερά εἰσιν ἐκείνων, ᾗ συνθέτων. Τοῦτο δὲ οὐ φθείρει τὴν συνωνυμίαν, ὡς καὶ ἐπὶ τῶν ἀριθμῶν εἴρηται, ἀλλὰ τὸ τὸν κοινὸν λόγον ἐν τῷ μὲν εὑρίσκεσθαι

2 ὁ om D

καθ' αὑτὸ καὶ πρώτως, ἐν ἑτέρῳ δέ, δι' ἐκεῖνο τῶν μετεχόντων αὐτοῦ, τοῦτο οὐκ ἐᾷ συνωνύμως ἐκεῖνα λέγεσθαι, καθάπερ τὸ τὴν οὐσίαν καθ' αὑτὴν τοῦ τῆς ὀντότητος λόγου μετέχειν, δι' αὐτῆς δὲ καὶ τῷ συμβεβηκότι τοῦτον δίδοσθαι, τοῦτο τὴν οὐσίαν προτέραν τοῦ συμβεβηκότος εἶναι, ᾗ αὐτὴν οὐσίαν καὶ ᾗ ἐκείνου συμβεβηκότος, ποιεῖ.

Δῆλον δὲ καὶ ὅτι τὰ κυρίως συνώνυμα εἰδικὰ εἶναι δεῖ. Συγχωρῶ τοίνυν τὰ ἁπλᾶ σώματα καὶ τὰ ἐκ τούτων εἶναι συνώνυμα, ἀλλ' ὡς εἰδικά, ὅτ' ἐν αὐτοῖς οὐκ ἔστι τὸ πρότερον καὶ ὕστερον ἐν τῷ τῆς οὐσίας λόγῳ, ὡς εἴρηται· ᾗ δέ εἰσιν ἐν τοῖς συγκειμένοις ὡς στοιχεῖα αὐτῶν (εἰρήσθω γὰρ οὕτως), οὐ λέγω εἶναι συνώνυμα, ἀλλ' ὃν τρόπον περὶ παντὸς στοιχείου καὶ πάσης ἀρχῆς εἴρηται· ἅμα δὲ δῆλον καὶ ὅτι, ᾗ ἐν τῷ συγκειμένῳ εἰσί, δυνάμει πρὸς τὸ εἰδικὰ εἶναι τυγχάνουσιν ὄντα· ὁπόταν δὲ διακριθῶσι, τοῦτ' ἐνεργείᾳ ἔχουσι καὶ εἰσὶν εἰδικά. Καὶ τότε ζητεῖν ἂν δέοι περὶ αὐτῶν, πότερον ἐπίσης καὶ καθ' αὑτὰ τὴν τῆς οὐσίας ἐπιδέχονται κατηγορίαν, ἢ θάτερα διὰ θάτερα· ὥστε δῆλον ἐκ τῶν εἰρημένων, ὅτι καὶ τὰ ἁπλᾶ f. 141v σώματα, ᾗ μὲν σώματα, συνώνυμά εἰσι τοῖς συνθέτοις· | ἀλλ' οὐκ εἰσὶ πρότερα ἐκείνων τῷ γε οὐσίαι εἶναι, εἰ καὶ πρότερα τῷ ἁπλᾶ εἶναι, συνθέτων ὄντων ἐκείνων· ᾗ δὲ ἀρχαί τινες τῶν συγκειμένων καὶ ἐν αὐτοῖς εἰσιν, οὔτε εἰδικὰ ἀλλὰ δυνάμει μόνον εἰσίν, οὔτε συνωνύμως οὐσίαι.

Ὡς μὲν οὖν οὐκ ἀληθεῖς εἰσιν αἱ ἀπὸ τοῦ λευκοῦ καὶ τοῦ ἀριθμοῦ καὶ τῶν στοιχείων ἐνστάσεις, οὔτε τοὺς ἀριστοτελικοὺς περὶ τοῦ ὄντος λόγους, ὡς ἄρα ἀναλογικῶς λέγοιτο, διασαλεύουσι, βεβαιοῦσι μὲν οὖν αὐτούς. Καὶ τοσαῦτα ἀρκείτω.

Ὃ δέ φησιν Ἀριστοτέλης περὶ τοῦ ὄντος καὶ τοῦ ἑνός, γένοιτ' ἂν δῆλον ἐκθεμένοις αὐτῇ λέξει ἅ φησιν ἐν τοῖς περὶ γένους προβλήμασιν· ἐκεῖ γὰρ ἁμαρτάνειν λέγει, εἴ τις εἴποι γένος εἶναι τὸ πᾶσιν ἀκολουθοῦν· πλείω γὰρ τὰ πᾶσιν ἑπόμενα, οἷον τὸ ὂν καὶ τὸ ἓν τῶν πᾶσιν ἑπομένων ἐστίν. Εἰ οὖν τὸ ὂν γένος ἀποδέδωκε, δῆλον ὅτι πάντων ἂν εἴη γένος, ἐπειδὴ κατηγορεῖται αὐτῶν, κατ' οὐδενὸς δὲ τὸ γένος ἀλλ' ἢ κατὰ τῶν εἰδῶν κατηγορεῖται· ὥστε καὶ τὸ ἓν εἶδος ἂν εἴη τοῦ ὄντος. Συμβαίνει οὖν κατὰ πάντων ὧν τὸ γένος κατηγορεῖται, καὶ τὸ εἶδος κατηγορεῖσθαι. Ἐπειδὴ καὶ τὸ ὂν καὶ τὸ ἓν κατὰ πάντων ἁπλῶς κατηγορεῖται, δέον ἐπ' ἔλασσον τὸ εἶδος κατηγορεῖσθαι.

Οὐ τοίνυν ὁ Φιλόσοφος ἀξιοῖ μὴ δύνασθαι γένος εἶναι οὗ τι ἀντικατηγορεῖται ἕτερον, ἵνα καὶ ἡ ἀπὸ τοῦ γελαστικοῦ ἀντίθεσις χώραν ἔχῃ τῷ Πλήθωνι· ἀλλά φησιν, ὅτι τὸ πᾶσιν ἑπόμενον ἀδύνατον εἶναι γένος. Καὶ εἴ τις οὕτως εἴποι, φαύλως ἂν εἴποι δή που· οὐ γὰρ ἕν ἐστι τὸ

---

36 ἔχει A

πᾶσιν ἑπόμενον, ἀλλὰ πλείω· οἷον, τὸ ὄν, τὸ ἕν, τὸ ἀγαθόν, τὸ τέλειον καὶ τὰ τοιαῦτα. Εἰ γοῦν ἕν τις τούτων ἀπολαβών, εἴποι γένος εἶναι πάντων, διότι πᾶσιν ἕπεται, εἴη ἂν καὶ τῶν ἄλλων, ἃ πᾶσιν ἕπεται γένος, καὶ αὐτὰ εἴη ἂν ἐκείνου εἴδη· | καὶ οὕτως ἐπειδὴ πᾶσιν ἑπόμενα, καὶ f. 142 εἴδη τοῦ πᾶσιν ἑπομένου εἰσίν, ἐπ' ἴσων αὐτά τε κατηγορηθήσεται εἴδη ὄντα καὶ τὸ γένος αὐτῶν. Ἀλλ' ἀδύνατον ἐπ' ἴσων λέγεσθαι τό τε γένος καὶ τὸ εἶδος· κατὰ πλειόνων γὰρ τὸ γένος λέγεσθαι πᾶσα ἀνάγκη.

Τούτων οὕτως ὑπ' Ἀριστοτέλους λεγομένων, ὅ φησι κατ' αὐτοῦ Πλήθων ὑπὲρ αὐτοῦ μᾶλλον γίνεται. Εἰ μὲν γὰρ ἀντιστρέφει τῷ ζῴῳ τὸ πορευτικόν, οὐδὲν κωλύει τὸ ζῷον γένος εἶναι· ὥσπερ οὐδ' ὁ ἄνθρωπος παύσεται εἶδος εἶναι τῶν καθ' ἕκαστα ἀνθρώπων διὰ τὸ ἀντικατηγορεῖσθαι αὐτοῦ τὸ γελαστικόν. Εἰ δὲ τὸ ἓν ἀντιστρέφει τῷ ὄντι, κωλύει καὶ πάνυ τὸ ὂν γένος εἶναι, διότι ζῷον μὲν καὶ πορευτικὸν οὐ πᾶσιν ἕπεται πράγμασιν, οὐδὲ ἄνθρωπος καὶ γελαστικόν· τὸ δὲ ὂν καὶ ἓν ἕπονται πᾶσι, καὶ διὰ τοῦτο τὸ εἰρημένον ἄτοπον ἀκολουθεῖ, εἴ τις φαίη τὸ ὂν γένος εἶναι· τὸ δέ ἐστιν ὅτι κατὰ πάντων ὧν τὸ γένος κατηγορεῖται, καὶ τὸ εἶδος κατηγορηθήσεται· τοῦτο δὲ τὸ ἄτοπον ἐπὶ τοῦ ζῴου καὶ τοῦ πορευτικοῦ ἥκιστα ἀκολουθεῖ· τὸ γὰρ ζῷον εἰ κατηγορεῖται τοῦ πορευτικοῦ, οὐ κατηγορεῖται ὡς γένος αὐτὸ εἴδους ἐκείνου, ἀλλ' ὡς αὐτὸ καθ' ἑαυτοῦ, ὡς ἐπὶ πάντων ἔχει τῶν ἀντιστρεφόντων· ἐλέγετο δ' ἂν ὡς κατὰ εἴδους, εἴ γε πᾶσιν ἦν ἑπόμενον τὸ ζῷον, καὶ ὡς γένος κατηγορεῖτο· ὃ δὴ περὶ τοῦ ὄντος οἱ περὶ Πλάτωνα ἀξιοῦσιν.

Ἐπειδὴ τοίνυν Ἀριστοτέλης ἐπιλαμβάνεται τῶν λεγόντων γένος εἶναι τὸ πᾶσιν ἀκολουθοῦν, καὶ πρὸς τοῦτο φέρει τὰς ἀποδείξεις, εἰ μὲν ἔκ τινων πᾶσιν ἀκολουθούντων ἀντεπέφερε τὰς ἐνστάσεις ὁ Πλήθων, ἤνυεν ἄν τι δικαίως· νῦν δὲ κινδυνεύει ἢ μηδὲν συνιεὶς ὧν Ἀριστοτέλης λέγει, ἢ ἑκούσιος συκοφάντης εἶναι δοκεῖν, ἀπὸ τοῦ ζῴου καὶ τοῦ πορευτικοῦ ἐνιστάμενος, | ἃ μὴ πᾶσιν ἕπεται· ἢ τό γε τρίτον, τῶν τῆς διαλεκτικῆς f. 142ᵛ νόμων καθάπαξ ἄπειρος κρίνεσθαι. Γένος μὲν οὖν οὔ φησιν Ἀριστοτέλης εἶναι τὸ ὂν διὰ τὴν εἰρημένην αἰτίαν· κοινὸν δέ τί φησιν εἶναι καὶ καθόλου καὶ κατὰ πάντων λεγόμενον αὐτό τε καὶ τὸ ἕν· „Λέγεται γάρ, φησίν, ἰσαχῶς τὸ ὂν καὶ τὸ ἓν καὶ καθόλου κατηγορεῖται μάλιστα πάντων.“ Καὶ ἐν τῷ εἰκοστῷ τῶν Μετὰ τὰ φυσικά φησιν· „Διαφέρει δ' οὐθὲν τῶν ὄντων ἀναγωγὴν πρὸς τὸ ἓν ἢ πρὸς τὸ ὂν γίνεσθαι· καὶ γὰρ εἰ μὴ ταὐτόν ἐστιν, ἄλλο δ' ἐστίν, ἀντιστρέφει γε· τό τε γὰρ ἓν καὶ ὄν πως, τό τε ὂν καὶ ἕν.“ Ἄλλο μὲν οὖν φησιν εἶναι, ὡς δὴ τῷ λόγῳ διαφέρον· προσθήκην γὰρ ἔχει τό γε ἀδιαίρετον εἶναι· ὡς δὲ ἀντιστρέφον, οὐδὲν διαφέρει αὐτό τε λέγειν κοινὸν εἶναι πᾶσι τοῖς οὖσι καὶ τὸ ἕν. Εἰ δὲ

---

31 *καὶ* avant *κατὰ* om D

τοῦτ' ἐξαίρετον εἶναι τῷ ἀνωτάτῳ γένει βούλεται Πλήθων, τὸ μὴ κατ' εἰδῶν ἀντικατηγορεῖσθαι, οὔτ' αὐτὸς ἂν χρῷτο κυρίως τῷ τοῦ γένους ὀνόματι, καὶ Ἀριστοτέλει συμβαίνει κοινὸν μέν τι εἶναι καὶ καθόλου πάντων κατηγορούμενον οἰομένῳ τὸ ὄν, τῆς δὲ τοῦ γένους οὐ μετέχειν ἐννοίας, ἧς δεῖ μετέχειν ἅπαν ὃ ἂν μέλλοι γένος εἶναι κυρίως. Ἀλλὰ μὴν καὶ ὁ ἐν τῷ εἰκοστῷ τῶν Μετὰ τὰ φυσικὰ περί τε τοῦ ὄντος καὶ τοῦ ἑνός, ὡς ἄρα οὐ δύναται γένη εἶναι, συλλογισμὸς ἀποδεικτικῶς τε καὶ οἰκείως τοῖς περὶ τούτων νόμοις Ἀριστοτέλει ἐπεχειρήθη· φησὶ γάρ, ὅτι· „Τεθέντος εἶναι γένη τὸ ὂν καὶ τὸ ἕν, ἀνάγκη τὰς διαφορὰς μετέχειν αὐτῶν· διαφορὰ δὲ οὐδεμία τοῦ γένους μετέχει· οὐκ ἄρα δεῖ τιθέναι αὐτὰ γένη.“ Ὅτι μὲν οὖν μηδεμία διαφορὰ τοῦ γένους μετέχει, ἐν τῷ δεκάτῳ τῶν Μετὰ τὰ φυσικὰ δείκνυσιν ἄριστα, τὴν τοῦ γένους ἔννοιαν ἐκτιθείς· „Τὸ γὰρ f. 143 τοιοῦτο, φησί, γένος καλῶ ᾧ ἄμφω ἓν καὶ ταὐτὸ λέγεται | μὴ κατὰ συμβεβηκὸς ἔχον διαφοράν· οὐ μόνον γὰρ δεῖ τὸ κοινὸν ὑπάρχειν, οἷον ἄμφω ζῷα, ἀλλὰ καὶ ἕτερον ἑκατέρῳ τοῦτο αὐτὸ τὸ ζῷον, οἷον τὸ μέν, ἵππον, τὸ δέ, ἄνθρωπον. Ἀνάγκη ἄρα τὴν διαφορὰν ταύτην, ἑτερότητα τοῦ γένους εἶναι· λέγω γὰρ γένους διαφορὰν ἑτερότητα, ἣ ἕτερον ποιεῖ τοῦτο αὐτό.“ Ἑτερότητα τοίνυν οὖσαν τοῦ γένους καθ' αὑτὴν τὴν διαφοράν, πῶς ἂν οἷόν τε εἴη μετέχειν αὐτοῦ; Οὐδὲν γὰρ μετέχει τινός, οὗ ἕτερόν ἐστι καὶ διενηνοχός, ᾗ ἕτερόν ἐστιν. Εἰ δὲ καὶ ὡς ἐν τῷ τετάρτῳ τῶν Τοπικῶν φησιν· „Ὅρος ἐστὶ τοῦ μετέχειν τὸ ἐπιδέχεσθαι τὸν τοῦ μετεχομένου λόγον, καὶ τὸ μετεχόμενον μέρος εἶναι τοῦ λόγου τοῦ μετέχοντος,“ τούτων δὲ οὐδ' ἕτερον ἁρμόττει διαφορᾷ πρὸς τὸ γένος, πῶς ἂν γένοιτο ταύτῃ μετέχειν αὐτοῦ; Δῆλον γὰρ ὅτι λογικόν ἐστιν εἶναι τὸ λόγον ἔχειν· τούτῳ δὲ οὐδὲν κοινὸν καὶ τῷ ζῴῳ εἶναι, εἰ καὶ ᾧ τὸ λόγον ἔχειν, τοῦτο καὶ τὸ ζῷον εἶναι ἀκολουθεῖ· καὶ πρὸς τούτοις, εἴπερ ἡ μὲν διαφορὰ ἐκ τοῦ εἴδους λαμβάνεται, τὸ δὲ γένος ἐκ τῆς ὕλης, οὐκ ἐγκλείεται δὲ κατ' ἐνέργειαν τὸ εἶδος τῇ οὐσίᾳ τῆς ὕλης, ἀλλ' ἡ ὕλη δυνάμει μᾶλλόν ἐστι πρὸς τὸ εἶδος, ταύτῃ δεῖ καὶ τὴν διαφορὰν οὐκ ἀνήκειν εἰς τὴν φύσιν τοῦ γένους, ἀλλὰ τῷ γένει τὴν διαφορὰν ἐνεῖναι δυνάμει μόνον· ὅτι δὲ καὶ μηδεμία διαφορὰ ληφθῆναι δύναται, ἧς οὐκ ἂν ἐμπεριέχοιτο τῇ ἐννοίᾳ τὸ ὂν καὶ τὸ ἕν, αὐτόθεν σαφές ἐστι.

Τούτων οὕτως ἐχότων, εἰ μὲν ὁμωνύνως τις βούλεται τὸ ὂν γένος καλεῖν, ἐξέστω τούτῳ· καὶ ὁ Φιλόσοφος γὰρ ἔστιν οὗ τὸ ὂν καὶ τὸ ἓν τῇ τοῦ γένους προσηγορίᾳ τιμᾷ, γένος νοῶν ἐκεῖ τὸ κοινὸν καὶ κατὰ f. 143ᵛ πάντων λεγόμενον. | Εἰ δὲ συνωνύμως οὕτω βούλοιτο λέγειν, ὡς τῆς τοῦ γένους ἐννοίας ἁπάσης καὶ τῷ ὄντι ὑπαρχούσης πρός γε πάντα τὰ ὑπ' αὐτὸ καὶ ὧν διήκει, ὥσπερ ἐπὶ τῶν κυρίως ἔχει γενῶν, πῶς οὐ ψεῦδός ἐστι

---

7 *δύνανται* D 23 *οὐδέτερον* DM 29 *εἰς*: *πρὸς* D

λέγειν μὴ εἶναι ἀνάγκην τῷ ἀνωτάτῳ συμβαίνειν πάντα τὰ τοῖς ἐπὶ μέρους συμβαίνοντα γένεσιν; Τοῦτο γὰρ οὐδέν ἐστιν ἄλλο ἢ τὸ γένος τίθεσθαι ἐγχωρεῖν οὐκ εἶναι γένος, καὶ τὴν ἀντίφασιν συμπλέκειν, καὶ πάντα ὁμοῦ ποιεῖν χρήματα, καὶ εἰς τὰς τῶν λόγων μεθόδους παρανομεῖν ἀληθῶς. Ἀνάγκη μὲν οὖν τοὐναντίον ἅπαν· τὰ τοῖς ἐπὶ μέρους συμβαίνοντα γένεσιν καὶ τῷ ἀνωτάτῳ συμβαίνειν, εἴπερ μήτε ζῷόν ἐστι γένος μᾶλλον σώματος, μήτε σῶμα μᾶλλον οὐσίας· τούτων δὲ ἄλλων ἄλλα ὑπέρκειται, ἡ δὲ οὐσία πάντων, καὶ γένη πάντα συνωνύμως εἰσίν.

Ἀλλ' ὡς ἔοικεν, εἰδικήν τινα ἀρχὴν ὑποτιθεὶς τὸ ὂν εἶναι Πλήθων, καὶ ταῦτα βιάζεται· ὅτι δὲ τοῦτ' ἀδύνατον, καὶ πρὸς τούτῳ ἀμήχανον εἰδικήν τε ἀρχὴν ἅμα καὶ γένος εἶναί τι, πρότερον ἀποδέδεικται. Εἴ τις οὖν τὸ ὂν ἐξαιρεῖν βουλόμενος, ἅμα τε λέγοι γένος εἶναι καὶ μὴ ἔχειν τὰ καθ' αὑτὸ τῷ γένει προσόντα, ἀτιμάζει τοῦτο μᾶλλον ἢ τιμᾷ, ἀτελές τι γένος τοῦτο οἰόμενος· εἴ γε καὶ δυνατὸν ἦν γένος τι εἶναι ὡς ἀληθῶς ἄνευ τῶν καθ' αὑτὸ προσόντων τῷ γένει· οὐ γὰρ μᾶλλον πλεονεκτήσει τῶν ἄλλων γενῶν ἢ ὑστερήσει, οὗ γε ἄπεστι τὰ ὄντα ἐκ τῆς τῶν γενῶν τελειότητος· ᾗ γὰρ γένος, δεῖ πάντα ἔχειν. Πεπλάνηται δὲ Πλήθων, τὸ λογικὸν οἰόμενος, ἐπειδὰν ᾖ ζῴου διαφορά, σημαίνειν τὸ λόγον ἔχον. Ἐντεῦθεν γὰρ οὐδὲν ἄτοπον ἡγεῖται | κατὰ τοῦ λογικοῦ κατηγορῆσαι τὸ f. 144
ζῷον, ὥσπερ οὐδὲ κατ' ἀνθρώπου δεινόν ἐστι τοῦτ' εἰπεῖν, εἴπερ ἐστὶν ἄνθρωπος ζῷον καὶ λογικόν· τὸ δ' οὐχ οὕτως ἔχει· ἀλλὰ λογικὸν μὲν παρωνύμως λέγεται ὁ ἄνθρωπος, ὡς δὴ ζῷον· ὃ δὲ λογικὸν διαφορά ἐστι τοῦ ζῴου, σημαίνει τὸ λόγον ἔχειν, ἢ τὸ λόγῳ χρῆσθαι. Ὥσπερ οὖν τὸ λόγον ἔχειν οὐκ ἔστι ζῷον, οὕτως οὐδὲ τὸ λογικόν, ὅπερ ἐστὶ τὸ λόγον ἔχειν· τοῦτο δ' ἐστὶν ἡ τοῦ ζῴου διαφορά. Εἴτε γὰρ ὡς ποιότης θεωροῖτο καὶ εἶδος ἡ διαφορά, ὥσπερ ἀδύνατον τὴν ὕλην κατὰ τοῦ εἴδους κατηγορεῖσθαι, οὕτω καὶ τὸ γένος κατά γε τῆς διαφορᾶς· οὐ γάρ ἐστι τὸ εἶδος ἡ ὕλη, οὐδὲ τὸ σύνθετον· ἀλλὰ τὸ εἶδος μετὰ τῆς ὕλης ποιεῖ τὸ σύνθετον· καὶ τοῦ συνθέτου τί ἐστι τό τε εἶδος, ἥ τε ὕλη· εἴτε ὡς μέρος θεωροῖτο τοῦ πράγματος, ὥσπερ οὐκ ἄν τις εἴποι τὴν χεῖρα ἄνθρωπον, ἢ κεφαλήν, οὕτως οὐδὲ τὸ λόγον ἔχειν ὀρθῶς ἐρεῖ ζῷον ἢ ἄνθρωπον, ἀλλὰ τὸ λόγον ἔχειν παρωνύμως συνθεὶς τῷ ζῴῳ, τοῦτ' ἐρεῖ ἄνθρωπον εἶναι, ὡς αὐτοῦ ὄντος ᾧ τὸ λόγον ἔχειν σὺν πολλοῖς μὲν ἄλλοις, ὑπὲρ πάντα δὲ πρόσεστιν.

Ὅτι δὲ ἡ διαφορὰ καὶ ὡς μέρος θεωρεῖσθαι δύναται τοῦ μὲν γένους δυνάμει, τοῦ δὲ εἴδους ἐνεργείᾳ, παντί που δῆλον ἐστίν· οὕτως οὖν σαφές ἐστι, διαφοράν τε εἶναι ζῴου τὸ λογικόν, ἐπειδὰν αὐτῷ διαιρῆται τὸ ζῷον, καὶ παρὰ τὴν οὐσίαν εἶναι τοῦτο τοῦ ζῴου. Καὶ εἴ ποτέ τις τοῦ λογικοῦ

12 *ἐξαίρειν* AD 18 *καὶ* avant *λογικὸν* add D 36 *ἐπειδὰν — τὸ ζῷον* en marge de la main de Scholarios AD 37 - p. 58 l. 7 *Καὶ εἴ ποτε — λογικῷ εἶναι* en marge de la main de Scholarios AD

τὸ ζῷον κατηγορήσειεν, εἰ μὲν ὡς λογικότητος, ψευδῆ ἂν ποιήσειε κατηγορίαν· οὐ γάρ ἐστιν ἀληθὲς τὰ σύνθετά πῃ κατὰ τῶν ἁπλῶν τῇδε κατηγορεῖν, ἀλλὰ μᾶλλον ὅτι ζῴου ἐστίν, ἢ ἀνθρώπου ἡ λογικότης· ἐκείνου μὲν ἑτερότης δηλονότι· ἀνθρώπου δὲ οὐσιώδης διαφορά, ἢ πάθος· οὐ γὰρ δεῖ ταῦτα ἐξετάζειν ἐν τῷ παρόντι μετ᾽ ἀκριβείας. Εἰ δὲ ὡς ᾧ πρόσεστι λογικότης, κατὰ συμβεβηκὸς τῇδε ἂν κατηγοροίη, καὶ οὐ κυρίως, ὁπώσποτ᾽ ἂν ἔχοι ἐν ἀνθρώπῳ τό γε λογικῷ εἶναι. Πλήθων δέ, ὡς δὴ Ἀριστοτέλους ἑαλωκότος, εἰ τὸ λογικὸν εἴη ζῴου διαφορά, „εἰ τὴν λογικότητα, φησίν, ἀναπλάττει, καὶ ἡμεῖς τὴν ζωότητα ἀνταναπλάσσομεν." Πολὺ δὲ ἀπέχει τοιαύτας ἀποφυγὰς ζητεῖν ὁ Φιλόσοφος, ὅς γε οὐδὲ ζωότητι καὶ λογικότητι φαίνεται χρώμενος ἀντὶ γένους τε καὶ διαφορᾶς· μᾶλλον δὲ ζωότητι μὲν
f. 144v ὡς | γένει χρῆσθαι παντάπασιν ἀμήχανον ἦν, εἰ μὴ Πλήθωνι ὁμοίως ἠμάθαινεν· ἀλλ᾽ οὔτε τῇ ζωότητι πρὸς οὐδέν ποτε χρῆται, οὔτε τῇ λογικότητι ὡς διαφορᾷ. Εἰ γὰρ καὶ δοκεῖ ταὐτὸν εἶναι ζωότης καὶ ζῷον, ᾗ ἐστιν αὐτὸ γένος, καὶ λογικότης, καὶ λογικὸν ᾗ ἐστι διαφορά, ἀλλὰ πολλὴν ἔχει διαφοράν· τὸ μὲν γὰρ ζῷον σύνθετόν τι σημαίνει, κἂν ᾖ γένος· ἡ δὲ ζωότης, ἁπλοῦν· καὶ ὥσπερ ἀρχαί τινές εἰσι τὰ τοιαῦτα τῶν ἐπινοιῶν, οὐχ αὗται αἱ ἐπίνοιαι· οἷον ἥ τε λογικότης οὐκ ἔστι διαφορὰ ἀλλ᾽ ἀρχὴ μᾶλλον διαφορᾶς· καὶ ἡ ζωότης, οὐ γένος ἀλλ᾽ ἀρχὴ γένους· ἔστι γὰρ ἡ ζωότης, ᾗ ζῷόν τί ἐστιν, καὶ ἡ λογικότης, ᾗ λογικόν· ὥσπερ ἀνθρωπότης ᾗ ἄνθρωπός ἐστι, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως.

Ὅτι δὲ τὰ γένη καὶ τὰ εἴδη σύνθετά εἰσί πως, δῆλον ἐντεῦθεν· τό τε γὰρ ὑπάλληλον γένος σύνθετόν ἐστιν ἐκ γένους καὶ διαφορᾶς, καὶ πᾶν δὲ γένος διά τινος τῶν ἀντικειμένων διαφορῶν τῷ εἴδει εἰσκρίνεται, συνθέτῳ καὶ αὐτῷ ὄντι διὰ ταῦτα· συνθέσεως δὲ πλείω δή που τὰ εἴδη, ἐν οἷς καὶ τὰ τοιάδε ἐστίν. Ὡς οὖν διαφέρον εἰπεῖν λογικότητα καὶ λογικόν, ἢ ζῷον καὶ ζωότητα διὰ τὰ εἰρημένα, οἱ διαλεκτικοὶ νόμοι ζῴῳ καὶ λογικῷ καὶ ἀνθρώπῳ τὰς οἰκείας ἐφαρμόττουσιν ἐπινοίας, οὐ λογικότητι καὶ τοῖς ὁμοίοις, κἀκείνοις μόνοις ὡς καθόλου χρῶνται· ταύτας δὲ ὡς ἀρχάς τινας τούτων ἀφιᾶσι. Δεῖ μὲν γάρ, φασί, τὸ καθόλου κατηγορεῖν· ὅλον δέ τι εἶναι τὸ κατηγορούμενον· οὕτω δὲ ἔχει ζῷον καὶ λογικὸν καὶ ἄνθρωπος. Καὶ ταῦτα μόνα φασὶν εἶναι καθόλου, γένος τε δηλονότι καὶ εἶδος καὶ
f. 145 διαφοράν· καὶ ταῦτα κατηγοροῦσι τῶν ὑπ᾽ αὐτά, | ἀνθρώπου μὲν λογικὸν καὶ ζῷον, ἄνθρωπον δὲ τοῦ καθέκαστον. Οὔτε δὲ λογικότητα ἀνθρώπου ἢ ζωότητα, οὔτε αὐτήν φασι λογικότητα δεῖν αὐτῆς ἀνθρωπότητος κατηγορεῖν, ἢ αὐτὴν ζωότητα, αὐτῆς λογικότητος· οὐδὲν γὰρ τούτων ἐστὶ καθόλου, οὔτε ὅλον τι οὐδενὶ τρόπῳ. Ἀλλὰ περὶ μὲν τούτων δι᾽ ἀκριβείας λέγειν οὐ τῆς παρούσης ἐστὶ σχολῆς τε καὶ χρείας· ἀρκεῖ δὲ τοσοῦτον εἰπεῖν, ὡς εἴτε λογικότητα λέγοι τις, εἴτε λογικόν, καὶ εἴτε ζῷον, εἴτε ζωότητα, ἕν τι πανταχόθεν παραφυλάττεσθαι δεῖ, ὅπως τὸ μὲν γένος

κατηγορῶμεν τοῦ εἴδους, καὶ αὐτὴν δὲ τὴν διαφορὰν παρωνύμως, μὴ μέντοι γε τὸ γένος τῆς διαφορᾶς διά γε τὰ εἰρημένα, εἰ μὴ ὡς καὶ τὸ ὑποκείμενον τοῦ πάθους κατηγορεῖν δυνατὸν οὐ κυρίως. Ἐφ' οἷς πᾶσι καὶ τοῦτο σαφές ἐστιν, ὅτι τὰ ὑπερκείμενα τῶν ὑποκάτω κατηγορεῖται συνωνύμως, καὶ ὑπ' αὐτῶν μετέχεται· ἡ δέ γε διαφορὰ ἐν τῇ κατηγορικῇ συστοιχίᾳ οὐ κατ' εὐθεῖάν ἐστιν ὑπὸ τὸ γένος· οὐ γάρ ἐστιν εἶδος, ἀλλ' ἀρχὴ μᾶλλον τοῦ εἴδους, δυνάμει οὖσα πρότερον ἐν τῷ γένει, ὡς ἄλλοις τε πᾶσι καὶ Πορφυρίῳ δοκεῖ, καὶ διὰ τοῦτο οὐ κατηγορεῖται ταύτης τὸ γένος.

Πλήθωνι μὲν οὖν καὶ οὕτως ἀπαντᾶν ἱκανόν ἐστιν ἐξ ὑπογύου· δι' ἃ δὲ μάλιστα δόξειεν ἂν τὸ ὂν γένος εἶναι συνώνυμον, ταῦτά ἐστιν. Ἐπειδὴ γὰρ τὸ δυνάμεως μιᾶς ἀντικείμενον ἑνὸς εἶναι δεῖ λόγου, ἀντικείμενον δὲ πρῶτον τοῦ νοῦ τὸ ὄν ἐστιν, ἑπόμενόν ἐστιν ἐντεῦθεν τὸ ὂν ἑνὸς εἶναι λόγου, ὥστε καὶ συνώνυμον. Ὅτι δὲ τῷ νῷ τὸ ὂν πρῶτον ἀντίκειται, δῆλόν ἐστιν ἐξ ὧν Ἀριστοτέλης ἐν προοιμίοις | λέγει τῶν Φυσικῶν, τὰ f. 145v
μᾶλλον συγκεχυμένα γνωριμώτερά τε εἶναι καὶ πρὸ πάντων νοεῖσθαι τῶν ἄλλων· μάλιστα δὲ συγκεχυμένον ἐστὶ τὸ ὂν διὰ τὸ πρὸς πλείω ἐκτείνεσθαι. Καὶ χωρὶς δὲ τούτου, ὁπόταν λέγω· τὸ λογικόν ἐστιν ὄν, ἢ τῷ λόγῳ τῆς οὐσίας καὶ τοῦ συμβεβηκότος τὸ ὂν ἐπιφέρω τῷ λογικῷ, ἢ κοινωτέρῳ τινὶ λόγῳ· εἰ μὲν δὴ τὸ δεύτερον, ἔχω τὸ προκείμενον, ὅτι τὸ ὂν ἑνός ἐστι λόγου πρός τε οὐσίαν αὐτὴν καὶ συμβεβηκός· εἰ δὲ τῷ λόγῳ τῆς οὐσίας, ἢ τῷ τοῦ συμβεβηκότος, ἀδύνατα ἕπεται. Εἰ μὲν γὰρ τῷ τοῦ συμβεβηκότος, ἔσται τὸ λογικὸν συμβεβηκός, καὶ μὴν ἐν τῷ τῆς οὐσίας ἐστὶ γένει· εἰ δὲ τῷ τῆς οὐσίας, καὶ τοῦτ' ἀδύνατον εἶναι δοκεῖ· εἰ γὰρ καθ' αὑτό τις ἀληθεύοι τὸ λογικὸν εἶναι λέγων οὐσίαν, τῆς μὲν οὐσίας γένους οὔσης, διαφορᾶς δὲ τοῦ λογικοῦ, ἕψεται τὸ γένος κατηγορεῖσθαι τῆς διαφορᾶς· τοῦτο δὲ κατ' Ἀριστοτέλη ἀδύνατον ἐν τῷ ἕκτῳ τῶν Τοπικῶν, κἀν τρίτῳ τῶν Μετὰ τὰ φυσικά· ἐκεῖ γάρ φησι τὸ γένος μὴ δύνασθαι κατηγορεῖσθαι καθ' αὑτὸ τῆς διαφορᾶς, καὶ ὁ τούτου λόγος ἔναγχος ἀποδέδοται. Λείπεται τοίνυν κοινοτέρῳ τινὶ λόγῳ τὸ ὂν κατηγορεῖσθαι τοῦ λογικοῦ· ἔστιν ἄρα ἑνὸς λόγου πρός τε οὐσίαν καὶ συμβεβηκὸς τὸ ὄν· ὃ δὲ κατά τινων ἑνὶ λόγῳ καθ' αὑτὰ λέγεται, συνωνύμως δή που λέγεται κατ' αὐτῶν· τὸ ὂν ἄρα ἐστὶ συνώνυμον.

Ἀλλὰ καὶ τούτους τοὺς λόγους, πλέον δραστηριότητος ἔχοντας τῶν γε Πλήθωνι σεσοφισμένων λύειν οὐ χαλεπόν, κανόνι τοῖς πρότερον εἰρημένοις χρωμένους. Πλήθων δὲ ἢ ἐνδιδοὺς χείρων ἔσται τῶν λύειν δυναμένων, ἢ λύων, ὑπὲρ Ἀριστοτέλους ἔσται καὶ ἄκων, ὅπερ ἐν τοῖς | ἔμπρο- f. 146
σθεν εἴρηται.

---

9 οὖν en interligne AD

Τρίτον, ἐξαμαρτεῖν φησι Πλήθων Ἀριστοτέλη τὴν καθ' ἕκαστα οὐσίαν μᾶλλον οὐσίαν καὶ πρώτην λέγοντα· ἧττον δὲ καὶ δευτέρας, τὰ τῶν οὐσιῶν γένη καὶ εἴδη· οὐδὲν γὰρ διαφέρει ἄνθρωπον πάντα εἰπεῖν, καὶ πάντας ἀνθρώπους· ταὐτὸν δέ ἐστι πάντας ἀνθρώπους εἰπεῖν καὶ καθ' ἕκαστον πάντας ἀνθρώπους, ὥστε οὐδὲν διαφέρει εἰπεῖν τὸν πάντα ἄνθρωπον, καὶ τοὺς καθ' ἕκαστον ἀνθρώπους· οὐκ ἄρα οἱ καθ' ἕκαστον ἄνθρωποι μᾶλλόν εἰσι τοῦ παντὸς ἀνθρώπου· οἱ δὲ καθ' ἕκαστον ἄνθρωποι μερικαὶ οὐσίαι εἰσί· καὶ ὁ πᾶς ἄνθρωπος, καθόλου οὐσία· οὐκ ἄρα ἡ πρώτη οὐσία μᾶλλον οὐσία τῆς δευτέρας τε καὶ καθόλου.

Ἔτι, τὸ εἶναι ἑκάστου ἀπὸ τῆς πρώτης αἰτίας ἐστίν, ὥσπερ καὶ τοῦ καθόλου· φανερὸν δέ ἐστιν ὅτι ἡ πρώτη αἰτία διὰ τὸ καθόλου ποιεῖ τὸ καθέκαστον, καὶ οὐ τὸ ἀνάπαλιν, καθὰ καὶ Πλάτων τοῦτ' ἀξιοῖ· οὗ δὲ χάριν τὶ γίνεται τιμιώτερόν ἐστι τοῦ ἕνεκα αὐτοῦ γινομένου· ὥστε ἡ πρώτη οὐσία οὐκ ἔστι τιμιωτέρα, καὶ ἑπομένως οὐδὲ μάλιστα ὄν.

Ἔτι, ἡ τοῦ καθόλου ἐπιστήμη βελτίων ἐστὶ τῆς τοῦ μερικοῦ, ὡς καὶ αὐτὸς Ἀριστοτέλης φησὶν ἐν τοῖς Περὶ ἀποδείξεως. Βελτίων δέ ἐστι δή που τῷ εἶναι βελτίονος. Τὸ ἄρα καθόλου βέλτιόν ἐστι τοῦ μερικοῦ.

Ἔτι, τὸ καθόλου ἔχει πρὸς τὸ καθέκαστον ὡς τὸ ὅλον πρὸς τὸ μέρος· τὸ δὲ ὅλον μεῖζον τοῦ μέρους, καὶ ἑπομένως τιμιώτερον· καὶ τὸ καθόλου ἄρα, τοῦ κατὰ μέρος.

Ἀλλ' εἰς τοὐναντίον ἀρκεῖ τὸ τοῦ Ἀριστοτέλους ἀξίωμα. Δεῖ γὰρ εἰδέναι, ὡς ὁ μὲν Πλάτων τὰ γένη καὶ εἴδη καὶ ὅλως τὰ καθόλου ὑπετίθει κεχωρίσθαι τῶν καθέκαστα οὐ τῷ λόγῳ μόνον, ἀλλὰ δὴ καὶ τῷ εἶναι, ἃ τοιαῦτά γε ὄντα εἰδικὰς αἰτίας ἔλεγε τοῦ τε εἶναι, τοῦ τε γινώσκεσθαι τὰ καθέκαστα· οἷς εἵπετο καὶ τιμιώτερα τῶν μερικῶν ἐκεῖνα τιθέναι
f. 146v ἁπλῶς, | ὡς ἀΐδιά τε καὶ αἴτια αἰτιατῶν καὶ φθαρτῶν. Ἄλογος δέ ἐστιν ἡ θέσις αὕτη καὶ πολλῶν μὲν ἄλλων εἵνεκα, καὶ διὰ ταῦτα δή, λογικῶς εἰπεῖν· πρῶτον μὲν γὰρ τὸ φθαρτὸν καὶ ἄφθαρτον οὐκ εἰσὶ τοῦ αὐτοῦ γένους, τοὐλάχιστον τοῦ φυσικοῦ· εἰ γοῦν τὰ καθόλου κεχωρισμένα εἴη τῶν αἰσθητῶν κατὰ τὸ εἶναι, εἶεν ἂν αὐτὰ μὲν ἄφθαρτα καὶ καθ' αὑτὰ καὶ κατὰ συμβεβηκός· τὰ δὲ καθέκαστα φθαρτά εἰσι καθ' αὑτά· οὕτω γοῦν τά τε καθέκαστα καὶ τὰ τούτων γένη καὶ εἴδη οὐκ ἂν εἶεν τῆς αὐτῆς συστοιχίας οὐδὲ γένους τοῦ αὐτοῦ· τοῦτο δὲ ἀδύνατόν ἐστι· παντὸς γὰρ ἀτόμου γένος τε καὶ εἶδος τοῦ αὐτοῦ γένους αὐτῷ καὶ τῆς αὐτῆς συστοιχίας εἶναι δεῖ. Πρὸς δὲ τούτῳ, εἰ τὰ γένη καὶ τὰ εἴδη, ἐν τῷ τί ἐστι λεγόμενα κατὰ τῶν καθέκαστα, οὐσιωδῶς τι δηλοῦσιν ὑπάρχον αὐτοῖς, ὃ δὲ οὐσιωδῶς ἔνεστί τινι ἀδύνατον αὐτοῦ κεχωρίσθαι, εἴ γε μηδὲ τὴν

4-5 *ταυτὸν δὲ — ἀνθρώπους* en marge de la main de Scholarios A 25 *ἐκεῖνα* en marge A 30 *αὐτὰ μὲν* en interligne A, om D 37 *ἐστιν* après *αὐτοῦ* add D

οὐσίαν χωρίζεσθαι δυνατὸν τοῦ οὗ ἐστιν οὐσία, οὐκ ἂν εἴη κεχωρισμένα τὰ εἴδη καὶ γένη τῶν καθέκαστα ἕν γε τῷ εἶναι. Δῆλον δέ ἐστιν, ὡς οὐδὲ πρὸς τὸ εἶναι τὰ καθέκαστα ἢ γινώσκεσθαι ἀνάγκη τιθέναι τὰ καθόλου κεχωρισμένα· εἰ γὰρ ἄϋλά εἰσιν ἐκεῖνα καὶ ἀκίνητα κατὰ Πλάτωνα, οὐκ ἂν γινώσκοιτο δι' αὐτῶν ἥ τε κίνησις καὶ ἡ ὕλη· τὸν μὲν γὰρ ἡμέτερον νοῦν τὰ αἰσθητὰ γινώσκειν ἔκ τινος πρὸς τὰ καθόλου τίθησιν ὁμοιότητος· ἀδύνατον δὲ τοῦ κινητοῦ πρὸς τὸ ἀκίνητον ὁμοιότητα εἶναι, καὶ πρὸς τὸ ἄϋλον τοῦ ὑλικοῦ καθ' αὑτά· καὶ οὕτως οὐ μόνον οὐκ ἔσονται γνώσεως αἴτια ἡμῖν τὰ τοιαῦτα καθόλου, ἀλλὰ καὶ ἀγνοίας· ἀναιροῖτο δ' ἂν οὕτω καὶ ἡ φυσικὴ ἐπιστήμη καὶ ἡ ἐκ τῶν κινούντων | καὶ ὑλικῶν αἰτίων f. 147 ἀπόδειξις. Ἀλλ' οὐδ' ἀνάγκη πρὸς τὴν τῶν αἰσθητῶν γένεσιν τὰς ἰδέας τιθέναι· ἀρκεῖ γὰρ τὸ καθόλου ποιοῦν τῷ διατιθέναι τὴν ὕλην πως, φύσιν ἔχουσαν πρὸς τὴν τῶν εἰδῶν ὑποδοχὴν τὰ τῶν αἰσθητῶν εἴδη προάγειν· δύναται γὰρ αὐτὸ τὴν τῆς ὕλης ἐκτείνειν δύναμιν καὶ πρὸς τὴν ἐνέργειαν προβιβάζειν, μηδενὸς αὐτῷ συνεργοῦντος ἔξωθεν παραδείγματος, ἀλλὰ μόνης τῆς πρώτης αἰτίας κινούσης· ἧς ἡ δραστηριότης διὰ τοῦ καθόλου ποιοῦντος πρὸς πάντα ἐκτείνεται τὰ καθέκαστα καὶ πρὸς ἑαυτὴν ἐξομοιούσης πῃ τὰ γινόμενα ὡς μίαν δὴ καὶ κοινὴν πάντων ἰδέαν· ἐκ δὲ τῶν ἀΰλων εἰδῶν τὰ ὑλικὰ πῶς ἂν ἠδύναντο προϊέναι; εἰ καὶ μὴ τὸ καθόλου ποιοῦν ἤρκει τῇ τούτων προόδῳ, οὐκ ἂν ῥᾳδίως ἔχοι τις συνιδεῖν, εἰ μή τις αὐτοῖς τοῖς εἴδεσι τὴν τοῦ πρώτου κινοῦντος δύναμιν περιθείη· οὕτω δὲ ἢ μὴ μίαν εἶναι τὴν πρώτην ἀρχήν, ἢ παρέλκειν ἐκεῖνα δεῖ, καὶ μάτην τίθεσθαι εἶναι.

Πλάτων μὲν τοιάνδε τινὰ περὶ τῶν καθόλου γνώμην εἰληφὼς φαίνεται, καὶ οὕτως ἐλεγχομένην ἐξ ὑπογύου· καὶ πλείοσι γὰρ καὶ δραστικωτέροις λόγοις αὐτὴν ἀναιρεῖν ἔξεστι τῷ γε προὔργου πρὸς αὐτὴν ἀποδυομένῳ· Ἀριστοτέλης δὲ οὐσίας μέν τινας κεχωρισμένας τίθησιν εἶναι, ἀλλ' οὔτε εἴδη τούτων τῶν αἰσθητῶν, οὔτ' αὐτὰς εἶναι τὰ καθόλου φησίν, ἀλλ' ἐκείνας μὲν τὸν κόσμον τόνδε κινεῖν, καὶ αἰτίας εἶναι τῶν ὄντων καὶ γινομένων, ἕτερόν τινα τρόπον· τὰ δὲ καθόλου, ἅπερ ὁ νοῦς ποιεῖ τῇ ἐκ τῶν μερικῶν ἀφαι|ρέσει, ταῦτα καὶ εἰδικῶς ἀρχὰς εἶναι τῶν καθέκαστα, ᾗ ὑπάρχουσιν f. 147v ἐν αὐτοῖς ἔργῳ, καὶ αἴτια τῆς αὐτῶν γνώσεως, καθὸ δι' αὐτῶν τὰ αἰσθητὰ ταῦτα καὶ καθέκαστα γινώσκει ὁ νοῦς κατά τινα ἐπιστροφήν· ἀρκεῖν γὰρ ὑπελάμβανε τὴν τοῦ νοῦ φύσιν ποιεῖν τὰ ἐκ τῶν αἰσθητῶν εἰλημμένα φαντάσματα ἐνεργείᾳ νοητὰ καὶ καθόλου, καὶ διὰ τοῦτο περιττὸν ἡγεῖτο ζητεῖν δρᾶσίν τινα τῶν ὑψηλοτέρων σωμάτων ἢ ἐπιῤῥοήν τινα τῶν κεχωρισμένων εἰδῶν εἰς τὸν ἀνθρώπινον νοῦν, ὡς ἐτίθει Πλάτων.

Τὸ δὲ δι' ἀφαιρέσεως οὕτω νοεῖν ἀναγκαῖον εἶναι νενόμικεν ἐκ τοῦ τὸν ἀνθρώπινον νοῦν ἐνέργειαν μὲν εἶναι τῆς πρὸς τὸ σῶμα κοινωνίας χωρίς, ἡνῶσθαι μέντοι γε σώματι ἀμηγέπη, ἅτε δύναμιν ὄντα ψυχῆς, ἢ

ἐστι σώματος ἐντελέχεια· μήτε δὲ σωματικόν τι εἰς τὸ ἀσώματον οἷόν τε εἶναι δρᾶν, μήτε γινώσκεσθαί τι δύνασθαι, εἰ μὴ δι' εἴδους, ὅπερ ὡς ὁμοιότης τις τοῦ γινωσκομένου προσπίπτοι ἂν τῇ γινωσκούσῃ δυνάμει οἰκείως· εἰ δ' ὁ νοῦς μηδαμῶς ἥνωτο σώματι, ἣν ἂν ἀνάγκη νοεῖν αὐτὸν διὰ τῶν κεχωρισμένων οὐσιῶν, καὶ οὐκ ἂν ἐδέησε χωρίζειν, ἀλλ' ἤρκει μόνον τῶν κεχωρισμένων μετέχειν. Διὰ ταῦτα ἐν τῷ ἑβδόμῳ τῶν Μετὰ τὰ φυσικὰ Ἀριστοτέλης οὔτε οὐσίαν εἶναι τὰ καθόλου φησίν, οὔτε ἀρχήν τινα τοῦ εἶναι τοῖς καθέκαστα, ᾗ λέγονται κατὰ πλειόνων, ὅτε καὶ ἀληθῶς τὴν τοῦ καθόλου ἔχουσιν ἔννοιαν· μήτε κεχωρίσθαι ταῦτα τῶν μερικῶν, εἰ μὴ τῷ λόγῳ μόνον· καθὸ δέ εἰσιν ἐν τοῖς καθέκαστα ἔργῳ, οὐσιώδη τε μέρη τούτων εἶναι αὐτὰ καὶ ἐνεργείᾳ διὰ ταῦτα εἶναι, ὡς δὴ τούτων f. 148 μόνων ἐνεργείᾳ | ὄντων καθ' ἑαυτά. Ἡ μὲν οὖν ἐνεργείᾳ εἰσὶ καὶ οὐσίαι, οὐκ ἔχουσι τὴν τοῦ καθόλου ἔννοιαν, ἀλλὰ μᾶλλον τὴν τοῦ μέρους· ᾗ δὲ σύνεστιν αὐτοῖς ἡ τοῦ καθόλου ἔννοια, οὔτε καθ' αὑτὰ ὑφεστήκασι, καὶ χείρω τῶν καθ' αὑτὰ ὑφεστηκότων καὶ ἐνεργείᾳ ὄντων ἐν τοῖς φαινομένοις εἰσίν· οὕτω δ' ἔχοντα, πῶς ἂν εἴη βελτίω καὶ τιμιώτερα τῶν καθέκαστα ἁπλῶς, εἰ μὴ κατά τι, καθόσον δηλονότι ὁμοιότητά τινα ἔχουσι πρὸς τὴν τῶν ὄντων ἀρχήν, ἥ ἐστι κατὰ φύσιν ἀΐδιος; Ἄφθαρτά τε γὰρ διαμένει τὰ τῶν πραγμάτων εἴδη ἔν τε τῇ φύσει διὰ γενέσεως τῇ διαδοχῇ καὶ ἐν τοῖς ἡμετέροις νοῖς δι' ἀφαιρέσεως, καὶ αἴτιά εἰσιν ἐν ἡμῖν ἐπιστήμης, αὐτὰ πρῶτον ὑπὸ τοῦ νοῦ γινόμενα· ὡς εἰ μὴ δι' αὐτῶν οὕτω γινομένων, οὐκ ἂν ἄλλως δυνηθέντων τῶν ὄντων εἰς τὸν ἡμέτερον δρᾶσαι νοῦν. Τούτοις μὲν οὖν ὄντα βελτίω τῶν αἰσθητῶν καὶ καθέκαστα, τοῖς δ' ἄλλοις ἅπασι χείρω τῷ μήτε ἐν ἑαυτοῖς ὄντα φθορᾶς περιγίνεσθαι μήτ' ἔξωθεν δρᾶν εἰς τὸν ἡμέτερον νοῦν, ἀλλ' ἐπινοίας μόνον ὄντα τινὰς καὶ τῇ δυνάμει τῆς ὕλης συμφερόμενα ἀϊδίως, οὐδὲ τούτοις πολύ γ' ἂν ὑπερέχοιεν, ἅτε μὴ ὑπάρξει καὶ φύσει ἀλλ' ὁμωνύμῳ τινὶ τῶν βελτίστων ὁμοιότητι ὑπερέχοντα.

Εἰδῶν μὲν οὖν πέρι καὶ γενῶν καὶ ὅλως τῶν καθόλου τοιαύτη τις ἐξ Ἀριστοτέλους δόξα κεκράτηκεν. Πλήθωνι δὲ ἀπαντῶντες, Ἀριστοτέλη μεμφομένῳ κἀνταῦθα, πρὸς τὸ πρῶτον τῶν ἐπιχειρημάτων φαμέν, ὡς ὁ Φιλόσοφος ἑκάστην οὐσίαν πρώτην τῇ καθόλου παρατιθείς, μᾶλλον οὐσίαν ἐκείνης εἶναι φησίν, οἷον τὸν Σωκράτην μᾶλλον οὐσίαν εἶναι ἢ τὸν ἁπλῶς ἄνθρωπον· τοῦτο δὲ λέγων, οὐ πρὸς τὸ εἶναι τῶν οὐσιῶν τούτων ἀποτείνει f. 148v τὸν λόγον, | ἀλλὰ πρὸς τὴν τοῦ ὑποκεῖσθαι καὶ ὑφεστάναι ἐνέργειαν· ὅθεν ὁ τῆς οὐσίας λαμβάνεται λόγος, ὡς ἐν τῷ ἑβδόμῳ τῶν Μετὰ τὰ φυσικά φησιν· „Ὅτι οὐσία ἐστὶ τὸ μὴ καθ' ὑποκειμένου, ἀλλὰ καθ' οὗ τὰ ἄλλα.“ Ἅτε οὖν πλείοσιν ὑποκειμένην τὴν πρώτην οὐσίαν, καὶ μᾶλλον οὐσίαν εἶναί φησι· σαφὲς δέ ἐστιν ὡς οἷς ὑπόκειται τὸ γένος καὶ τὸ εἶδος, τούτοις

---

21 *γινόμενα* corrigé de *γενόμενα* A 37 *Ἅτε γοῦν* D

τε πᾶσι καὶ ἔτι πλείοσι τὸ ἄτομον ὑποβέβληται· τῷ δέ γε εἶναι οὐκ ἔστι διαφορὰν εὑρεῖν ἐν αὐταῖς ταῖς οὐσίαις· ἓν γάρ εἰσι πᾶσαι πρᾶγμα οὐσιωδῶς, τὴν τοῦ ὑποκειμένου καὶ κατηγορουμένου τάξιν ἐν ἀλλήλαις φυλάττουσαι, ἢ τοῖς τε ὑπερκειμένοις, τοῖς τε ὑποκειμένοις τὴν αὐτὴν ἀποδίδωσιν ὕπαρξιν, ἂν σύστοιχα ᾖ· οὐ φημι δὲ νῦν περὶ τοῦ κεχωρίσθαι αὐτάς, ἢ μή, καὶ πῶς ἂν χωρίζοιντο.

Οὗτος μὲν ὁ τοῦ Φιλοσόφου σκοπὸς ἐκεῖ· ἐν δὲ τῷ λόγῳ Πλήθωνος οὐδαμοῦ ἡ πρώτη οὐσία πρὸς τὴν δευτέραν παραβάλλεται, ἀλλ' οἱ καθ' ἕκαστον ἄνθρωποι πρὸς πάντα ἄνθρωπον· τοῦτο δὲ οὐδὲν διαφέρει τοῦ τὴν δευτέραν οὐσίαν παραβάλλειν πρὸς ἑαυτήν· οἱ γὰρ καθ' ἕκαστον ἄνθρωποι ὁμοῦ πάντες ὁ πᾶς εἰσιν ἄνθρωπος· καὶ συγκεχυμένον τι δι' ἀμφοῖν τούτων ὁμοίως ὑποτίθεται. Ἔδει δὲ μᾶλλον, ἀντὶ τοῦ οἱ καθ' ἕκαστον ἄνθρωποι, ἕκαστος εἰπεῖν ἄνθρωπος, ἢ οὕτως, ὡς ἂν ὑποτιθοῖτό τι διωρισμένον καὶ τὴν πρώτην οὐσίαν δηλοῦν. Διαφέρει δὲ πολὺ συγκεχυμένως τέ τι εἰπεῖν καὶ διωρισμένως, καίτοι, κατά γε Ἀριστοτέλη, οὐδὲ ὁ πᾶς ἄνθρωπός ἐστιν ἡ δευτέρα οὐσία, ἀλλ' ὁ ἄνθρωπος· τὸ δὲ πᾶς τὸν τῆς κατηγορίας τρόπον, ὅτι καθόλου αὐτοῦ κατηγορεῖται τὸ λεγόμενον, δηλοῖ· ὥστε τὸ ἐπιχείρημα ἅπαν οὔτ' ἀληθές ἐστι καὶ σοφιστικόν. Ἃ δὲ περὶ τοῦ καθόλου οὐ καθόλου συνείρει τῷ ἐπιχειρήματι, παντάπασιν ἀπᾴδοντα τοῦ προκειμένου καὶ ψόφοι μόνον ὄντες κενοί, | μηδ' ὑφ' ἡμῶν ἀπολογίας τινὸς ἀξιούσθωσαν. f. 149

Πρὸς τὸ δεύτερον, ἐπεὶ καθόλου τό τε γένος, τό τε εἶδος λέγεται, ἕνεκα μὲν τοῦ γένους οὐδὲν ποιεῖ ἡ φύσις· ἐπειδὴ γὰρ τέλος τῆς γενέσεως τὸ εἶδός ἐστι, πρὸς δὲ τὸ εἶδος ὡς ὑλική τις ἀρχὴ παραβάλλεται τὸ γένος, ἅτ' ἐκ τοῦ ἐν τῷ πράγματι ὑλικοῦ λαμβανόμενον, καὶ ἔστιν ἡ ὕλη διὰ τὸ εἶδος, δῆλον ὅτι καὶ ἡ φύσις, εἰ ποιοίη διὰ θάτερον τούτων, ποιοίη ἂν διὰ τὸ εἶδος, οὐ τοῦ γένους ἕνεκα· ἀλλὰ μὴν οὐδὲ τοῦ εἴδους εἵνεκα ποιεῖ καθάπαξ. Εἰ γὰρ καὶ πρὸς τὸ εἶδος ὁ τῆς φύσεως ἔσχατός ἐστι σκοπός, ἅτε βουλομένης τὸ εἶδος ἐν τῇ τῶν ἀτόμων διαδοχῇ μένειν ἀνώλεθρον, ἀλλ' ἐν τῷ ποιεῖν ἕκαστον ἄτομον εἰς τὰς ἀτομούσας ἰδιότητας ὁρίζει τὴν ἰδίαν ἐνέργειαν, αἷς ἐγκλείει τὸ εἶδος· οὐδὲν γὰρ ἕτερόν ἐστι τὸ ἄτομον ἢ τὸ εἶδος αὐτό, τοῖς ἀτομοῦσιν ἰδιώμασιν ἐγκλειόμενον. Εἰ μὲν οὖν ἦν που τὸ εἶδος κεχωρισμένον τῶν καθ' ἕκαστα, οὐκ ἂν ἕνεκα αὐτοῦ, ἀλλὰ πρὸς αὐτὸ μᾶλλον ἐγίνετο τὰ καθ' ἕκαστα ὑπὸ τοῦ Θεοῦ, εἰ μὴ ἔμελλεν ἢ ὕστερα τῶν αἰσθητῶν εἶναι τὰ εἴδη, ἢ ἐπ' ὠφελείᾳ τινὶ αὐτῶν τὰ καθ' ἕκαστα γίνεσθαι. Ἐπεὶ δ' ἐκεῖνο ἀδύνατον δέδεικται εἶναι καὶ δεῖ τὸ εἶδος ἐν τοῖς καθ' ἕκαστα σῴζεσθαι, οὐ μᾶλλον ἕνεκα τοῦ εἴδους ἢ αὐτῶν ἀτόμων χάριν ὑπὸ Θεοῦ τὰ ἄτομα γίνεται· ὧν ἡ γένεσις σωτηρία τοῦ εἴδους ἐστί. Καὶ εἴ γε δεῖ τἀληθῆ λέγειν, οὐ πρὸς τὸ εἶδος ὁ τοῦ

---

25 *ποιοῖ* D *ποιοῖ ἂν* D 28 *διαμένειν* D

Θεοῦ σκοπὸς φέρεται· τοῦτο γὰρ οὐδέν ἐστι παρὰ τὰ καθ᾽ ἕκαστα· ἀλλὰ πρὸς τὴν αὐτοῦ διηνέκειαν, δι᾽ ἣν καὶ ἡ τῶν φθαρτῶν φύσις πρός τινα τῆς ἀϊδιότητος αὐτοῦ καὶ ἀγαθότητος ὁμοιότητα ἀφικνεῖται. Ἡ δὲ τοῦ εἴδους αὕτη διηνέκεια τῷ ἀνεκλείπτῳ τῆς γενέσεως ἕπεται, καὶ τοῦτ᾽ ἔστιν f. 149v ἀϊδίως μένειν τὸ εἶδος, τὸ ἀϊδίως τὰ καθ᾽ ἕκαστα | γίνεσθαι. Γένεσις μὲν δὴ ἀτόμου ἑνὸς πρὸς τὴν τοῦ εἴδους διαμονὴν τεταγμένη, χείρων ἐκείνης ὁμολογουμένως ἐστίν, ὡς δι᾽ ἐκείνην οὖσα· καὶ εἴπερ ἄτομον ἓν χεῖρόν ἐστι πλειόνων ὁμοῦ καὶ τοῦ εἶναί ποτε παυσομένων, πολλῷ ἂν χεῖρον εἴη τῶν διηνεκῶς γινομένων, ἅτε ᾗ τοιούτων μηδέποτε παυσομένων, αὐτό ποτε τοῦ εἶναι παυσόμενον· αὐτοῦ δὲ τοῦ εἴδους, ὅ ποτε ἐν τῷ ἀτόμῳ ἐστίν, οὐκ ἂν εἴη χεῖρον τὸ ἄτομον, εἰ μὴ καὶ τοῦ ἐνεργείᾳ ὄντος τὸ δυνάμει ὂν τιμιώτερον εἴποι τις ἁπλῶς εἶναι, καὶ τὸ μέρος τοῦ ὅλου, καὶ τὸ αἰτιατὸν τοῦ αἰτίου· οὕτω δὲ ἔχει τὸ εἶδος πρὸς τὸ καθ᾽ ἕκαστον, ἔργῳ τῆς χείρονος δήπου πρός γε αὐτὸ μοίρας ὄν. Ὅτι δὲ τὸ εἶδος ἐν ἑνὶ ἀτόμῳ ὅλον ἐστί, καὶ μέρος ἐστὶν αὐτοῦ, διὰ τοῦτο καὶ ὡς ἐν ἑνὶ ἀτόμῳ ἠδύνατ᾽ ἂν σῴζεσθαι ὄντι ἀφθάρτῳ, οὐδὲν ἧττον ἢ ἐν τοῖς φθειρομένοις σῴζεται, καὶ αὐτοῖς ἀνεκλείπτως οὖσιν, ἄλλων ἄλλα διαδεχομένων· καὶ ὅτι ὕστερόν ἐστιν οὐχ ὡς καθόλου μόνον, ἀλλὰ δὴ καὶ ἁπλῶς, εἴ γε μέλλοι αὐτοῦ εἵνεκα γίνεσθαι τὸ καθ᾽ ἕκαστον, εἰ καὶ οὐκ ἔστι ταὐτὸν εἶδός τέ τι καθόλου εἰπεῖν καὶ εἶδος ὅπερ ἐστὶν ἐν ὁτῳοῦν τῶν καθ᾽ ἕκαστα, ταῦτ᾽ ἀληθῆ τυγχάνοντα πάντα, ὅμως ἐπιδεικνύναι ἀληθῆ παραιτούμεθα πρός γε τὴν νῦν ἐνεστῶσαν χρείαν, καὶ τὰ εἰρημένα δὲ ἐκ περιουσίας εἴρηται. Ἀλλ᾽ ἤρκει πρὸς τὸ δεύτερον ἐπιχείρημα τοῦτο λογικῶς εἰπεῖν, ὅτι τὴν μὲν πρώτην οὐσίαν διὰ τὴν δευτέραν εἶναι δεῖ συγχωρεῖν πως, ἐγχωρεῖν δέ τι προσεῖναί τινι τῶν ἕνεκά του γινομένων, ὃ μηδαμῶς, ἢ ἧττον πρόσεστι τῷ οὗ ἕνεκα γίνεται· οὕτω γοῦν καὶ τὸ ὑποκεῖσθαι μᾶλλον ὑπάρχειν τῇ ἀτόμῳ οὐσίᾳ ἢ τῇ καθόλου, διότι πλείοσιν αὕτη ὁμολογουμένως ὑπόκειται, ὥστε καὶ μᾶλλον οὐσίαν εἶναι διὰ τοῦτο· τῷ γὰρ ὑπο- f. 150 κεῖσθαι καὶ μὴ καθ᾽ ὑπο|κειμένου εἶναι τὴν οὐσίαν ὁ Φιλόσοφος ὁρίζεται, ὅτι τῷ εἶναι ταύτην τὰ ἄλλα ἕπεται.

Πρὸς τὸ τρίτον, ἐπιστήμη βελτίων ἐστὶν ἑτέρας ἐπιστήμης διχῶς, ὡς ἐν τῷ προοιμίῳ τῶν Περὶ ψυχῆς δείκνυσιν ὁ Φιλόσοφος· ἢ κατὰ τὴν οὐσίαν, τουτέστι κατὰ τὸ ἀντικείμενον αὐτῆς, ἢ κατὰ τὴν ποιότητα· αὕτη δ᾽ ἂν εἴη ἡ τῆς ἐπιστήμης μέθοδος, οἷον τὸ οἰκοδομεῖν βέλτιόν ἐστι τοῦ κλίνην ποιεῖν, διότι καὶ οἰκία κλίνης βελτίων· τὸ δὲ εὐμεθόδως οἰκοδομεῖν βέλτιόν ἐστι τοῦ ἀμεθόδως, διότι καὶ οἰκία βελτίων ἐστὶν ἡ εὖ εἰργασμένη τῆς ἑτέρως ἐχούσης· ἄμφω δὲ ταῦτα οὐκ ἀεὶ τῇ αὐτῇ συμβέβηκεν, ἀλλ᾽ ἔσθ᾽ ὅτε ᾗ τὰ βελτίω ὑποβέβληται, ταύτῃ ἔλαττον ἀκριβείας πρόσεστι,

35-36 *τὸ δὲ — βελτίων* en marge A

καὶ τὸ ἀνάπαλιν, ὡς ἐπὶ γεωμετρίας ἔχει καὶ ἀστρονομίας· ὧν βελτίων ἐστὶν ἁπλῶς παραβαλλομένων ἡ τῷ ὑποκειμένῳ πλεονεκτοῦσα. Ἡ τοίνυν ἐπιστήμη τοῦ καθόλου βελτίων ἂν εἴη τῆς τοῦ μερικοῦ τῇ γε ἀκριβείᾳ, οὐ τῇ τοῦ ὑποκειμένου ἀξίᾳ. Καὶ τοῦτο μέν ἐστιν ἀληθὲς ἐν παραθέσει δυοῖν τινῶν ἐπιστημῶν, ὧν ἡ ἑτέρα πρὸς τὴν ἑτέραν, ὡς τὸ καθόλου πρὸς τὸ μέρος ἔχει, ἅτε τοῦ τῆς ἑτέρας ὑποκειμένου τῷ τῆς λοιπῆς ἔκ τινος προσθήκης ἐμπεριεχομένου, ὥσθ' ἕτερον ἀριθμῷ τοῦτο γίνεσθαι, ὡς ἐπ' ἀριθμητικῆς καὶ ἁρμονικῆς ἔχει· ὡς δὲ καὶ τὸ αὐτὸ συμπέρασμα βέλτιον οἶδεν ὁ διά τινων καθόλου προτάσεων τοῦτ' ἐπιστάμενος τοῦ διὰ τῶν κατὰ μέρος τοῦτο εἰδότος· ὅλως δὲ οὐδὲ ἔστιν ἐπιστήμη τοῦ μερικοῦ, ἀλλ' αἴσθησις μόνον. Ἡ δ' ἐπιστήμη κυρίως τῶν καθόλου μόνον ἐστίν, ὡς Ἀριστοτέλει δοκεῖ, πλαγίως δὲ καὶ τῶν καθ' ἕκαστα καὶ ὥσπερ κατά τινα ἐπιστροφήν. Καὶ ταῦτα μὲν ἐν τοῖς Περὶ Ἀποδείξεως βούλεται λόγοις, οὐ μὴν τὸ αὐτὸ μᾶλλόν τις ἐπίσταται καθόλου εἰδὼς ἢ κατὰ μέρος· τοὐναντίον γὰρ μᾶλλον τὸ καθόλου τι εἰδέναι συγκεχυ|μένως καὶ ἀδιορίστως ἐστὶν ἐπί- f. 150v στασθαι· τὸ δὲ κατὰ μέρος διωρισμένως τε καὶ σαφῶς εἰδέναι ἐστίν, ὡς αὐτός φησιν ὁ Φιλόσοφος ἐν προοιμίῳ τῶν Φυσικῶν, τῇ τῶν παιδίων γνώσει τὴν καθόλου καλῶς παρεικάζων, ἃ πάντας ἀδιακρίτως πατέρας προσαγορεύει· τοῦ δὲ χρόνου προβαίνοντος, τῇ γνώσει τελειούμενα διακρίνουσιν· οἷον ὁ προσιόντα τὸν Σωκράτην εἰδὼς ὅτι Σωκράτης ἐστί, βέλτιον οἶδε τοῦ εἰδότος ἄνθρωπον εἶναι· τούτου δ' ἔτι ἔλαττον οἶδεν ὁ ζῷον αὐτὸν εἶναι εἰδώς, εἴ γε μέλλοι καθάπαξ εἰδέναι καὶ ᾗ Σωκράτης ἐστίν· ᾗ γὰρ Σωκράτης, καὶ ζῷόν ἐστι καὶ ἄνθρωπος καὶ ὅσα τούτῳ ἐπαληθεύεται. Ταύτῃ γοῦν ὡς ἡ ἐντελέχεια τιμιωτέρα δυνάμεως, καὶ τοῦ αορίστου ὅλως τὸ ὡρισμένον ἐστίν, οὕτω καὶ τὸ μερικὸν τοῦ καθόλου τιμιώτερον ἂν εἴη δήπου· καὶ ἡ τοῦ μερικοῦ γνῶσις τῆς τοῦ καθόλου τιμιωτέρα ἐν τῷ αὐτῷ καὶ ἑνὶ πράγματι. Ὥστε πολλοῦ δεῖ ἑαυτὸν ἀγνοεῖν Ἀριστοτέλης, ἢ ἀξύμφωνα ἀξιοῦν.

Ἀλλ' ἀγνοοῦσι μᾶλλον Ἀριστοτέλη καὶ αὐτὴν ἀλήθειαν οἱ ἄνευ τοῦ διαιρεῖν ἕκαστα ἐξετάζοντες· ἥ τε γὰρ καθόλου ἐπιστήμη βελτίων ἐστὶ τῆς κατὰ μέρος καὶ ἡ τοῦ καθόλου, τῆς τοῦ κατὰ μέρος, ὡς ἐν τοῖς Περὶ Ἀποδείξεως λέγεται· καὶ τὸ κατὰ μέρος αὖθις τιμιώτερόν ἐστι τοῦ καθόλου καὶ βέλτιον καθ' αὑτὸ καὶ κατὰ τὴν ἐν τῷ πράγματι ὕπαρξιν, εἰ καὶ τῇ πρὸς τὴν ἐπιστήμην ἀποβλέψει τὸ καθόλου βελτιόν ἐστιν ὡς μᾶλλον νοητόν· ἄλλως γὰρ ταῦτα παραβέβληται, ᾗ ὑφ' ἡμῶν θεωρεῖται, καὶ ἄλλως ᾗ εἰσὶ καθ' αὑτά. Καὶ ταῦτα μὲν ὑπὲρ τοῦ Ἀριστοτέλη δεῖξαι ἑαυτῷ συνᾴδοντα.

Πρὸς δὲ τὴν τοῦ ἐπιχειρήματος λύσιν ἀρκεῖ τοῦτ' εἰπεῖν, ὅτι τὴν

36 Ἀριστοτέλη sic A

πρώτην οὐσίαν Ἀριστοτέλης ἐν κατηγορίαις τῶν δευτέρων προτίθησιν οὐ f. 151 τῷ λόγῳ τοῦ μερικοῦ καὶ τοῦ καθόλου προη|γουμένως, ἀλλὰ τῷ μήτε καθ' ὑποκειμένου λέγεσθαι, μήτ' ἐν ὑποκειμένῳ εἶναι, αὐτὴν δὲ πάντων ὑποκείμενον εἶναι καλῶς δήπου λέγων. Εἰ γὰρ οὐσία ἐστίν, ὡς αὐτὸς ἐν τῷ τετάρτῳ τῶν Μετὰ τὰ φυσικά φησι, τὸ μὴ καθ' ὑποκειμένου λεγόμενον, ἀλλὰ καθ' οὗ τὰ ἄλλα, τουτέστι τὸ τοῖς ἄλλοις ὑποβεβλημένον καὶ ὑφεστός, καὶ τοῦτ' ἔστιν ὁ τῆς οὐσίας εἰδικὸς λόγος, ἡ δὲ πρώτη οὐσία καὶ ἄτομος πᾶσιν ὑπόκειται καὶ καθ' ὑπόκειμένου οὐδενὶ τρόπῳ ἐστίν, εὔδηλον ὅτι καὶ μᾶλλον οὐσία ἂν εἴη· πλειόνων γὰρ κοινοῦ τινος μετεχόντων, ἀφ' οὗ δήπου καὶ ὀνομάζονται, ᾧ μάλιστα τὸ κοινὸν τοῦτο πρόσεστι, τοῦτο ἂν μάλιστα καὶ λέγοιτο ἀπ' αὐτοῦ.

Πρὸς τὸ τέταρτον, τὸ συνεχὲς ὅλον καὶ τὸ καθόλου ὅλον ὁμοίως μὲν ἔχουσι τῷ γε ἑκάτερον πλείω περιέχειν, ἢ ἐν πλείοσιν εἶναι καὶ ἐκ πλειόνων· διενηνόχασι δὲ τῷ τοῦ εἶναι τρόπῳ. Ἐν μὲν γὰρ τῷ συνεχεῖ ὅλῳ τὸ μέρος ἐνεργείᾳ ἐστίν, οἷον ἡ χεὶρ ἐν τῷ σώματι· τὸ δὲ κατὰ μέρος δυνάμει ἐστὶν ἐν τῷ καθόλου ὅλῳ, οἷον τὸ εἶδος ἐν τῷ γένει δυνάμει ἐστί. Καὶ αὖθις τὸ μὲν συνεχὲς ὅλον ἐν οὐδενὶ τῶν μορίων ἐστὶ καθ' αὑτό, τὸ δὲ καθόλου ἐν ἑκάστῳ τῶν ὑπ' αὐτό ἐστι καθ' αὑτό, καὶ ἐνεργείᾳ ἐστὶν ἐν αὐτῷ, ἐνεργείᾳ ὄντι, μέρος τῆς αὐτοῦ τυγχάνον οὐσίας. Καὶ τὸ μὲν συνεχὲς ὅλον ἁπλῶς ἐστι μεῖζον τοῦ μέρους, ὅτι καὶ ἁπλῶς περιέχει· τὸ δὲ καθόλου ὡς ὅλον τε καὶ ὡς μέρος πρὸς τὸ ἧττον κοινὸν παραβάλλεται· ὅλον μὲν γάρ ἐστιν ὡς οὐ μόνον αὐτὸ περιέχον, ἀλλὰ καὶ ἄλλα πρὸς τούτῳ, ὡς ὑπὸ τῷ ζῴῳ οὐκ ἄνθρωπος μόνον, ἀλλὰ καὶ ἵππος ἐστί· μέρος δὲ αὖ, ὡς ἐν τῷ τοῦ ἧττον κοινοῦ λόγῳ σὺν ἄλλοις περιεχόμενον, ὥσπερ ὁ ἄνθρωπος ἐν τῷ λόγῳ ζῷον περιέχει καὶ λογικόν· ὅθεν καὶ ὅλον μέν f. 151v ἐστι κατὰ τὴν θεωρίαν. Ἡ γὰρ τῆς ὁλότητος αὐτοῦ | φύσις αὐτή ἐστιν ἡ τῆς ὁλότητος ἔννοια, τῇ δι' ἀφαιρέσεως ἡμῶν ἑπομένη νοήσει· μέρος δέ ἐστι κατὰ τὸ εἶναι, ἐπεὶ ᾗ ἐν τοῖς μερικοῖς περιέχεται ἐνεργείᾳ οὖσι, ταύτῃ μόνον τὴν ὕπαρξιν ἔχει· ταῦτα δὲ πάντα οὐδέν ἐστι δυσχερὲς ἀληθῆ δεικνύναι, καὶ τὰς τοῦ Πλάτωνος περὶ τοῦ καθόλου πλάνας ἐλέγχειν· ἀρκεῖ δὲ καὶ τὰ ἐν τῇ ἀποκρίσει τούτου τοῦ ζητήματος καὶ τοῦ δευτέρου πρότερον εἰρημένα. Διὰ ταῦτα τοίνυν οὐκ εἰ τὸ συνεχὲς ὅλον τιμιώτερόν ἐστι τοῦ μέρους αὐτοῦ, ἀνάγκη καὶ τὸ καθόλου ὅλον τιμιώτερον εἶναι τοῦ ὑπ' αὐτῷ περιεχομένου· οὐ γὰρ πάντῃ ταὐτῶς ἔχουσιν, ὥστε πάντα αὐτοῖς ταὐτὰ ὑπάρχειν· τοὐναντίον δὲ μᾶλλόν ἐστιν ἀληθές, ὅτι τὸ μερικὸν ἢ ἧττον καθόλου τιμιώτερον τοῦ καθόλου ἢ τοῦ μᾶλλον καθόλου ἐστίν, ὡς ἐνεργείᾳ ὂν καὶ ὡς ἔργῳ περιέχον καὶ μεῖζον δήπου. Εἰ γάρ, ὡς ὁ Πλήθων λέγει, τὸ μεῖζον καὶ περιέχον τιμιώτερον εἶναι δεῖ, περιέχει δὲ ὁ Σωκράτης τὸν ἄνθρωπον, ὡς εἴρηται, ἔργῳ τε καὶ ὑπάρξει, περιεχόμενος αὐτὸς ὑπ' αὐτοῦ τῇ ἐννοίᾳ, ὅσῳ καὶ ἐν βελτίονι πράγματι τῷ τῆς

ὑπάρξεως περιέχον καὶ μεῖζόν ἐστι, τοσούτῳ καὶ τιμιώτερόν ἐστιν αὐτοῦ. Ὅτι δὲ βέλτιόν ἐστι τῷ πράγματι τοῦ νοεῖσθαι τὸ εἶναι, καὶ ἁπλῶς τὸ τοῦ πράγματος ὂν πολὺ τοῦ ἐν τῇ διανοίᾳ ὑπερενήνοχεν, ᾗ ἐν τῇ διανοίᾳ ἐστίν, οὐδὲ δεικνύναι δεῖ· ὁ δὲ περὶ τῆς ἀληθοῦς ἰδέας τοῦ ἀνθρώπου λόγος οὐδὲν τῷ λόγῳ προσίσταται, οὐδὲ κινδυνεύσει καὶ αὐτῆς ὁ Σωκράτης τιμιώτερος εἶναι· οὔτε γὰρ ἐκείνην περιέχει, οὔθ' ὑπ' αὐτῆς αὐτὸς περιέχεται, ἀλλ' ἔχει μόνον τὴν αὐτῆς ὁμοιότητα, κατ' ἐκείνην ἀμηγέπη γεγενημένος, οὐκ αὐτοῦ μᾶλλον πρὸς τὴν ποιητικὴν αὐτοῦ τε καὶ πάντων αἰτίαν παραβαλλομένου ἢ ἐκείνης πρὸς αὐτὸν | γενησόμενον παραβαλλο- f. 152 μένης, συνισταμένης ἐν τῷ θείῳ νῷ· οὐ θίγει δὲ ἐκείνης ὁ Σωκράτης τῆς ἰδέας, οὔτ' ἐκείνην αὐτοῦ κατηγοροῦμεν, οὔτε δι' ἐκείνης αὐτὸν ἐπιστάμεθα, ἀλλ' ὃν τρόπον τό τε εἶδος καὶ ὅλως τὸ καθόλου ἐπὶ Σωκράτους τε καὶ παντὸς πράγματος λέγεταί τε κατ' Ἀριστοτέλη καὶ λέγεσθαι δεῖ, πρότερον εἴρηται.

Δι' ἃ δὲ μάλιστα δόξειεν ἂν τὴν δευτέραν οὐσίαν μᾶλλον οὐσίαν εἶναι τῆς πρώτης, ταῦτά ἐστι. Πρῶτον μὲν γὰρ ᾧ μηδὲν ἐγκλείεται συμβεβηκὸς μᾶλλον οὐσίαν εἶναι δεῖ τοῦ συμβεβηκότι τινὶ συνόντος, ὡς δὴ καθάπαξ τοῦ συμβεβηκότος ἀπηλλαγμένον. Οὕτω δὲ τὴν δευτέραν οὐσίαν ἔχειν σαφές ἐστιν· οὐδὲν γὰρ οὔτε τὸ ζῷον οὔτε ὁ ἄνθρωπος ἐγκλείει συμβεβηκός, ᾗ δεύτεραι οὐσίαι εἰσίν, ἀλλ' ἐν τῇ πρώτῃ τὰ ἀτομοῦντα συμβεβηκότα περιέχονται μόνῃ· ἔπειτα, εἰ δι' ὅ τί ἐστιν, ἐκεῖνο μᾶλλόν ἐστιν, ὡς ὁ Φιλόσοφος ἐν τῷ τρίτῳ λέγει τῶν Τοπικῶν, οὐσία δὲ ἡ πρώτη διὰ τὴν δευτέραν ἐστί, καὶ διὰ τοῦτ' ἂν εἰκότως ἡ δευτέρα μᾶλλον οὐσία τῆς πρώτης εἴη. Ὅτι δὲ ἡ πρώτη διὰ τὴν δευτέραν ἐστί, δῆλον, ὁπόταν λέγωμεν πάντα μὲν ἄνθρωπον εἶναι οὐσίαν, τὸν δέ τινα ἄνθρωπον εἶναι ἄνθρωπον· τούτων γὰρ οὕτω τεθέντων, τόν τινα ἄνθρωπον οὐσίαν εἶναι καλῶς συμπεραίνομεν, μέσῳ τοῦ συλλογισμοῦ καὶ αἰτίῳ τῇ δευτέρᾳ οὐσίᾳ χρώμενοι· καὶ σαφὲς ἐντεῦθέν ἐστιν, ὡς ἡ δευτέρα οὐσία αἰτία τῇ πρώτῃ γέγονε τοῦ γε οὐσίαν ὑπάρχειν.

Livre second.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ. f. 152v

Μέχρι μὲν δὴ τούτων ἐμοί τε ἥδιστα εἶχε Πλήθωνα ἐξελέγχειν, δοκοῦντά πῃ καὶ ὑπό τινος εὐλόγου κινεῖσθαι, καὶ τοὺς τῷδε ἐντευξομένους τῷ συγγράμματι ὡς ἥδιστα ἐντυγχάνειν εἰκὸς ἂν ἦν· ἃ δ' ἐφεξῆς τούτων ἀνδρὶ φιλοσόφῳ ἐπιτιμᾷ τοιαῦτά εἰσιν, οἷα καὶ ἐμοὶ ἀντιλέγοντι καὶ τοῖς ὡς δή τι ἄξιον ἠπορηκότος ἐφιστάνειν βουλησομένοις ὄκνον ἂν παρασχεῖν· ὅθεν κἂν ἀφῆκα ἀνοήτοις μὲν καὶ ἀμαθέσι πιστεύειν αὐτά, οἷς οὐδὲ τρόπῳ γέ τῳ τοιούτοις οὖσι δυνάμεθα βοηθεῖν, αὐτῷ δὲ καὶ χείρονι ὄντι,

ὅσῳ καὶ εἰδέναι οἴεται, ὑπ᾽ αὐτῶν τούτων ἐξελέγχεσθαι· τὰ γὰρ ψεύδη τε καὶ ἀδύνατα περιφανῶς αὐτόθεν ὑφίσταται τοὺς ἐλέγχους, καὶ οὐδενὸς δεῖ τούτους αὐτοῖς ἐπάγοντος, ἀλλὰ παντὶ ἐπεξελθεῖν αὐτοῦ τῷ συγγράμματι προθέμενος, δεῖν ἡγοῦμαι ἐμαυτῷ γοῦν χαρίσασθαι τὸ μὴ ἀποστῆναι ὑπ᾽ οὐδεμιᾶς αἰτίας τοιαύτης, ὧν τῆς πρὸς Ἀριστοτέλη τε καὶ ἀλήθειαν εὐνοίας χάριν ὑπέστην· διὰ βραχέων δὲ ὁ τῶν λοιπῶν γενήσεται ἔλεγχος· ἃ γὰρ καὶ παριέναι καθάπαξ ἐχρῆν, τί ἂν δέοι διὰ πλειόνων ἐλέγχειν;

Ἐπιλαμβάνεται τοίνυν Πλήθων Ἀριστοτέλους ὡς λέγοντος τὸ μὲν καθόλου ὕλῃ ἀναλογεῖν, τὸ δὲ κατὰ μέρος, εἴδει· καὶ τίθησι λόγους, οἷς ταύτην ἀναιρεῖ τὴν δόξαν, ὡς δὴ Ἀριστοτέλους οὖσαν. Ἐγὼ δὲ περὶ μὲν τῶν λόγων, εἴτε ἱκανῶς μάχονται τῇ δόξῃ, εἴ γε καὶ ἐτύγχανεν Ἀριστοτέλους οὖσα, εἴτε καὶ μή, σιωπῶ, τοῖς ἐκ περιουσίας ταῦτα οὐκ ὀκνοῦσι σκοπεῖν καὶ ἐλέγχειν παραχωρῶν· ἀλλὰ φημὶ συκοφαντεῖσθαι ὑπὸ Πλήθωνος Ἀριστοτέλη. Οὐ γὰρ τοιαύτην γένους τε καὶ εἴδους τίθησι τάξιν ἐκεῖνος τῶν ἀντικειμένων, οὐδὲ λέγει τὸ εἶδος πρὸς τὸ γένος ἔχειν
f. 153 καθ᾽ ὁμοιότητα τοῦ μορφωτικοῦ | εἴδους, ἀλλὰ μᾶλλον τὸ ὑπὸ τῷ γένει εἶδος τῷ συνθέτῳ εἴδει φησὶν ὡμοιῶσθαι, ἐξ ὕλης μὲν ἀναλόγου τοῦ γένους, εἴδους δὲ τῆς διαφορᾶς γινόμενον. Τὸ δ᾽ ὕλῃ μὲν ἀναλογεῖν τὸ καθόλου, εἴδει δὲ τῷ γε μορφοῦντι τὴν ὕλην τὸ κατὰ μέρος, οὐδαμοῦ ἂν ἔχοι δεῖξαι Πλήθων ἐκεῖνον λέγοντα, αὐτὸς δ᾽ οἴκοθεν συκοφαντεῖ. Ὅτι δὲ τὸ μὲν γένος ὕλῃ φησὶν ἀνάλογον ἔχειν, εἴδει δὲ τὴν διαφοράν, ἐξ ὧν τὸ λογικὸν εἶδος συνέστηκε, τοῦτο δῆλόν ἐστιν ἔκ τε τῶν Περὶ διαλεκτικῆς αὐτοῦ λόγων καὶ τῶν Περὶ τῆς πρώτης φιλοσοφίας· πανταχοῦ γὰρ τὸ μὲν γένος ὕλην καλεῖ, τὴν δὲ διαφορὰν εἶδος καὶ ἐναντιότητα καὶ ποιότητα καὶ εἰδοποιὸν αὐτὴν καλεῖ ὡς τοῦ εἴδους ποιητικήν, ὃ πρὸς τὸ γένος, οὐ πρὸς τὴν ὕλην λέγεται, καὶ ὅπερ ἀναλόγως ἔχει τῷ φυσικῷ πράγματι. Ταῦτα δὲ οὐδεὶς ἂν οἶμαι ἀγνοήσειεν, Ἀριστοτέλην εἰδώς, πλὴν αὐτοῦ Πλήθωνος, καὶ διὰ τοῦτο οὐ δεῖ τὰς λέξεις αὐτὰς Ἀριστοτέλους εἰς μέσον παράγειν. Ἀλλὰ Πορφύριος, τῶν Πλάτωνι τιθεμένων ὁ ἔξοχος, ἐν τῷ Περὶ τῶν πέντε κατηγορικῶν Ἀριστοτέλη ἀπ᾽ ἐναντίας Πλήθωνος ἐξηγεῖται, ἥκιστα πρέπον αὐτῷ νομίσας τοιοῦτον ἄνδρα συκοφαντεῖν· „Τῶν γὰρ πραγμάτων, φησίν, ἐξ ὕλης καὶ εἴδους συνεστηκότων, ἢ ἀνάλογον ὕλῃ καὶ εἴδει τὴν σύστασιν ἐχόντων, ὥσπερ ὁ ἀνδριὰς ἐξ ὕλης μὲν τοῦ χαλκοῦ, εἴδους δὲ τοῦ σχήματος, οὕτω καὶ ὁ ἄνθρωπος ὁ κοινός τε καὶ εἰδικὸς ἐξ ὕλης μὲν ἀναλόγου συνέστηκε τοῦ γένους, μορφῆς δὲ τῆς διαφορᾶς· τὸ δὲ ὅλον τοῦτο ζῷον λογικὸν θνητὸν ὁ ἄνθρωπος, ὡς ἐκεῖ ὁ ἀνδριάς.“ Ἀρκεῖ δὲ ταῦτα συμμαρτυρῶν Ἀριστοτέλει Πορφύριος ἐν οἷς τοὺς περὶ αὐτὸν προΐστασθαι λέγει. Εἰ δὲ φαίη Πλήθων
f. 153v ἐν ἐκείνῳ τῷ μέρει Πορφύριον μήτε Πλάτωνι ἀκολουθεῖν | καὶ Ἀριστοτέλους καταψεύδεσθαι, καίτοι προθέμενον τοῖς ἐκ τοῦ περιπάτου μάλιστα συνᾴ-

σεσθαι ἢ μὴ συνορᾶν ὅπως ἂν δεόντως συνᾴδοι, καὶ Ἀριστοτέλους οὐκ ἐπαΐειν, θαῦμα τοῦτο γ' ἂν εἴη· ἀλλ' οἶμαι, εἴ τις βούλοιτο Πλήθωνα τῶν τῆς συκοφαντίας αἰτιῶν ἀπαλλάττειν, ἐρεῖ αὐτὸν τῷ πολυσήμῳ τοῦ εἴδους ἀπατηθῆναι· ἕνα μὲν γὰρ τρόπον λέγεται τὸ οὐσιῶδες, ὃ τῆς ὕλης ἤρτηται ὡς ὁρίζον ταύτην καὶ τελειοῦν καὶ εἰσερχόμενον εἰς ταύτην, καθό ἐστιν ἐν δυνάμει εἰλικρινεῖ· ἄλλον δὲ τρόπον καθ' ὁμοιότητα τούτου τὸ κατὰ συμβεβηκός, ὅπερ ἐπεισέρχεται τῷ συνθέτῳ τε καὶ ἐνεργείᾳ ὄντι, οἷον τὸ λευκὸν ἢ ἡ λευκότης τυχόν· ἄμφω δὲ πρὸς τὸ ὑποκείμενον ἀναφέρονται. Ἕτερον δὲ τρόπον τὸ εἶδος λέγεται, ὡς ἀναφέρεται πρὸς τὸ γένος. Λέγεται μὲν οὖν καὶ καθ' ἑτέρους τινὰς τρόπους, ἀλλὰ κατὰ τούτους τε μάλιστα λέγεται καὶ νῦν ἀρκεῖ τοσούτους εἰπεῖν.

Τῶν μὲν οὖν προτέρων μάλιστα θεωρητικός ἐστιν ὁ φυσικός· τοῦ δὲ τρίτου τὴν σκέψιν ὁ λογικὸς ποιεῖται περὶ τὸ ὑποκεῖσθαι καὶ κατηγορεῖσθαι ὡδὶ ἢ ὡδὶ στρεφομένην, ὡς προσήκει τῷ λογικῷ. Τοῦ τοίνυν γένους ὕλῃ ἀνάλογον ὄντος, ἅτε δὴ τῷ συγκεχυμένῳ ταύτης καὶ ἀδιορίστῳ πολύ τι δὴ ἐοικότος, ἡ διαφορὰ εἴδει ἀνάλογον ἔχει. Εἴδους μὲν γάρ ἐστι τὸ διακρίνειν καὶ διαιρεῖν, ὡς ἐν τῷ ἐννάτῳ τῶν Μετὰ τὰ φυσικὰ λέγεται· εἴδους δὲ λέγω τοῦ φυσικοῦ· ἡ δὲ διαφορὰ διακρίνει τε καὶ διΐστησιν ἀλλήλων τὰ εἴδη τὰ ἐν τῷ αὐτῷ γένει ὄντα· τὸ δ' ἐκ γένους τε καὶ διαφορᾶς συγκείμενον, ὅπερ ἐστὶν ὁ λόγος καὶ τὸ τί ἦν εἶναι καὶ τὸ εἶδος τοῦ πράγματος· ταῦτα γὰρ ἅπαντα ἀντιστρέφει· ἀνάλογον ἔχει τῷ ἐξ ὕλης καὶ εἴδους συντεθειμένῳ. Καὶ ταῦτα λέγων Ἀριστοτέλης, ἄριστά τε λέγει καὶ παρα|πλήσια τοῖς ἄλλοις αὐτοῦ, καὶ οὐδεὶς ἂν ἀντείποι f. 154
φρονῶν. Τὸ δὴ γένος ὡς ὕλη ὄν, ὡς εἶδος δέχεται τὴν διαφορὰν κατὰ τὴν ἐν τοῖς φυσικοῖς ὁμοιότητα, ἀλλ' οὐ τὸ εἶδος, ὃ λογικῶς πρὸς αὐτό ποτε λέγεται· ἐκεῖνο γὰρ ἔοικε τῷ ἐξ ὕλης συγκειμένῳ καὶ εἴδους· πολλὴ δέ ἐστι διαφορὰ ταῦτά τε λέγειν καὶ ὅτι τὸ καθόλου ὕλῃ ἀνάλογόν ἐστι, τὸ δὲ μερικὸν εἴδει· οὐδὲ οὕτως ἀμαθὴς Ἀριστοτέλης ὥστε ταῦτ' ἀξιοῦν. Τοῦ μὲν καθόλου τό τε γένος τό τε εἶδος σημαίνοντος, τῷ δὲ μερικῷ ἢ τοῦ ἧττον καθόλου, ἢ τοῦ καθέκαστον νοουμένου καὶ περὶ ἑκάστου τούτων διαφόρου τῆς ἀληθείας οὔσης· τῆς δὲ διαφορᾶς οὐκ οὔσης μέρους τοῦ γένους, οὐθ' ὑπ' αὐτὸ ταττομένης, οὔτε μετεχούσης αὐτοῦ, ὡς ἐν τοῖς προτέροις ἀποδέδεικται λόγοις, δι' ἅπερ ἐκεῖνός τε τούτων ἀπέσχετο καὶ ὁ σοφὸν ἄνδρα συκοφαντῶν, ἢ οὕτω φρονεῖν Ἀριστοτέλη οἰόμενος, τὰς τῆς πονηρίας καὶ ἀμαθίας εὐθύνας οὐκ ἄν ποτε παρὰ δικαίοις διαιτηταῖς διαδράσειε.

Πρὸς τούτοις ἐπαινεῖ μὲν ὁ Πλήθων ἣν ἐν ταῖς τῶν ἀναφορικῶν ἰδιότησιν Ἀριστοτέλης δευτέραν τίθησιν· μέμφεται δὲ ὡς τῇ ἐνστάσει ταύτην

---

5 *ἐπεισερχόμενον* D, *εἰσερχόμενον* corrigé de *ἐπεισερχόμενον* A

διασαλεύοντα· εἰπὼν γάρ, φησί, περὶ τῶν πρός τι, ὅτι ἅμα εἰσὶ τῇ φύσει, κακῶς ἐπήγαγεν ὅτι τὸ αἰσθητὸν δύναται χρόνῳ πρότερον τῆς αἰσθήσεως εἶναι· ἀδύνατον γάρ, φησίν, εἶναί τι αἰσθητόν, μήτε οὔσης αὐτοῦ αἰσθήσεως, μήτε δυναμένης εἶναι· ὥστε εἴ τινος αἰσθητοῦ ἡ αἴσθησις δυνατή ἐστι, καὶ αὐτὸ δυνάμει αἰσθητόν ἐστι, καὶ ἅμα τέ ἐστιν αὐτὸ δυνάμει αἰσθητόν, μήπω οὔσης τῆς ἐνεργείας αὐτοῦ αἰσθήσεως, καὶ ἡ δυνάμει αἴσθησις αὐτοῦ μήπω ἐνεργείᾳ ὄντος ὑπὸ τῇ αἰσθήσει. Καὶ αὖθις ἐπειδὰν θάτερον ἐνεργείᾳ ᾖ, καὶ τὸ λοιπὸν ἐνεργείᾳ ἐστί, καὶ ἅμα εἰσὶν ἄμφω ἐνεργείᾳ, καὶ οὐδέτερον οὐδετέρου πρότερον, ἢ ὕστερον. Ταῦτα μὲν Πλήθων, συκοφαν-
f. 154v τῶν | μὲν οὐδέν, ὡς ἐν τοῖς ἄλλοις ἐποίει, μάτην δὲ αἰτιώμενος. Ὁ δὲ Φιλόσοφος ἀληθεῖ τε κἀνταῦθα καὶ τῆς μεγάλης αὐτοῦ διανοίας ἀξία κέχρηται γνώμῃ· προσθεὶς γὰρ ταῖς τῶν ἀναφορικῶν ἰδιότησιν τὸ ἅμα τῇ φύσει αὐτὰ εἶναι, ἔνστασιν ἀπό τε τῆς ἐπιστήμης καὶ τῆς αἰσθήσεως καὶ τῶν πρὸς ταῦτα ἀναφερομένων κινεῖ, οὐ τῆς ἰδιότητος ἀναίρεσιν οὖσαν, ἀλλ' οἷόν τινα διακάθαρσιν, καὶ κανόνα τοῦ περὶ τίνων μὲν ταύτην δεῖ νοεῖσθαι τὴν ἰδιότητα, περὶ τίνων δὲ μή· ἐδόκει γάρ τισι πάντων τῶν ἀναφερομένων ταύτην ὑπάρχειν. Καθάπερ οὖν ἰδιότητάς τινας τῆς οὐσίας ἐν τοῖς περὶ ταύτης λόγοις προσθείς, τὰς μὲν ἁρμοττούσας τῇ πρώτῃ, τὰς δὲ ταῖς δευτέραις, τὰς δὲ καὶ καθόλου πάσῃ παρεπομένας ἀπέδωκεν, ἐπεὶ τὴν οὐσίαν εἰς πρώτην τε καὶ δευτέρας ἔδοξεν αὐτῷ διαιρεῖν, οὕτω καὶ τῶν ἀναφορικῶν καθόλου δίχα διαιρουμένων οὐ τὰς αὐτὰς πάνυ δίδωσιν ἀμφοῖν ταῖς μοίραις τὰς ἰδιότητας, ἀλλὰ πάντα μὲν τὰ πρός τι πρὸς ἀντιστρέφοντα λέγεσθαί φησιν· οὔτε δὲ πᾶσιν ὑπάρχειν ἐναντιότητα· οὐ γὰρ τοῖς ἀναφορικοῖς, τοῖς τῷ ποσῷ ἀναφερομένοις, οὔτε πάντα ἅμα εἶναι τῇ φύσει, οὕτως ὡς μηδέποτε θατέρου ὄντος εἴτε δυνάμει, εἴτ' ἐνεργείᾳ, μὴ καὶ θάτερον εἶναι ὁμοίως· ἀλλ' ἐκεῖνα μόνον οὕτως ἀλλήλοις συνεῖναι καὶ συναληθεύειν, ἐν οἷς ἑκατέρωθεν ἀμοιβαῖά τίς ἐστι τάξις ἀεί, ἴσῳ τε λόγῳ πρὸς ἄλληλα ἀναφερομένοις καὶ ἀλλήλων ἠρτημένοις πραγματικῶς. Τῶν γὰρ ἀναφερομένων τὰ μέν φησιν ἀναφέρεσθαι τῷ εἶναι, τὰ δὲ τῷ λέγεσθαι τὴν ἀναφορὰν ἔχειν, ὧν ἑκατέρων λόγον τίθησιν ἴδιον. Τὰ μὲν οὖν τῷ εἶναι ἀναφερόμενα, ἃ δὴ καὶ κυρίως εἰσὶ τὸν αὐτόν τε τῆς ἀναφορᾶς λόγον
f. 155 ἑκατέρωθεν ἔχοντα καὶ ὁμοίως πρὸς ἄλληλα τεταγμένα, | ὡς δὴ ἐν τῇ ἑκατέρου ὄντος οὐσίᾳ, τοῦ γε πρὸς θάτερον ἀναφέρεσθαι, ἅμα τῇ φύσει τὰ τοιαῦτά εἰσι, τουτέστιν ἅμα τὸ ἀναφορικὸν εἶναι ἔχουσιν, ὡς ἔχει διπλάσιόν τε καὶ ἥμισυ, καὶ δεσπότης καὶ δοῦλος, καὶ πατὴρ καὶ υἱός, καὶ τὰ τοιαῦτα. Ὅσα δ' οὐχ οὕτως ἔχει, πόρρω τοῦ γένους ὄντα τῶν ἀναφερομένων ἐκείνων, οἷς ἡ τοιαύτη τάξις ἕπεται, καὶ τῆς ἰδιότητος ἐκείνων ἄμοιρα δικαίως εἰσὶ καὶ οὐκ εἰσὶν ἅμα τῇ φύσει, ὡς ἐπὶ τούτων ἀφ' ὧν ἡ ἔνστασις ἔχει· τὸ γὰρ ἐπιστητὸν καὶ αἰσθητὸν δυνάμει δύναται εἶναι, τῶν πρὸς αὐτὰ λεγομένων μήτε δυνάμει ὄντων, μήτ' ἐνεργείᾳ, οἷον

εἴ γε συμβαίνοι μὴ εἶναι ζῷον οὔτ' ἐνεργείᾳ οὔτε δυνάμει, οὐδ' ἐπιστήμη ἂν εἴη καὶ αἴσθησις οὔτε δυνάμει οὔτ' ἐνεργείᾳ· ἐπιστητὸν μέντοι καὶ οὕτως εἶναι δύναται, τῇ γε δυνάμει, οἷον ἡ τοῦ λίθου ἐπίνοια, λίθου γε ὄντος· καὶ τὸ αἰσθητὸν ὁμοίως δυνάμει, οἷον τὸ γλυκὺ καὶ πικρόν· καὶ ὄντος δὲ τοῦ ἐπισταμένου, αὐτοῦ μὲν τάξις τίς ἐστι πρὸς τὸ ἐπιστητόν, ᾗ τῆς ψυχῆς ἐστιν ἔξω, ὡς δὴ τῇ ἐκεῖθεν ἐντυπώσει βελτιουμένου· τὸ δέ γε τοιοῦτον ἐπιστητὸν ὑπὸ τῆς τοῦ νοῦ καθάπαξ ἄθικτόν ἐστιν ἐνεργείας, οὐδεμίαν ὑφιστάμενον ἐν τῷ νοεῖσθαι μεταβολήν· οὗ χάριν ἐν μὲν τῇ οὐσίᾳ τῆς αἰσθήσεως καὶ ἐπιστήμης ἐστὶν ἡ πρὸς τὸ αἰσθητὸν καὶ ἐπιστητὸν αὐτῶν τάξις, οὐκ ἔστι δὲ ἐν τῇ τοῦ αἰσθητοῦ καὶ ἐπιστητοῦ τὸ πρὸς τὴν ἐπιστήμην καὶ τὴν αἴσθησιν ἀναφέρεσθαι. Ἀλλὰ δι' ἀκριβείας μὲν τὰ ἀναφορικὰ κατὰ τὴν Ἀριστοτέλους ὑφήγησιν διαιρεῖν οὐ τῆς παρούσης χρείας ἐστίν· ἀρκεῖ δὲ νῦν τοσοῦτον εἰπεῖν, ὡς οὐ διασαλεύει τὴν ἰδιότητα τῶν ἀναφορικῶν ὁ Φιλόσοφος, καθόλου μὲν αὐτὴν ἅπασιν ἀποδούς, εἶθ' ὥσπερ μετάμελος γεγονώς, ἀλλὰ διχῇ τῶν ἀναφορικῶν καθόλου διαιρουμένων, κατά τε τὸ εἶναι καὶ κατὰ τὸ λέγεσθαι, καὶ καθ' ἑτέραν αὖθις διαίρεσιν, τῶν μὲν | ἀμοιβαίαν τὴν τοῦ πράγματος τάξιν ἐχόντων, f. 155v τῶν δ' ἀπὸ θατέρου μόνον πρὸς θάτερον, αὐτὸς περὶ ποτέρων ἀναφορικῶν τὴν ἰδιότητα ἐκείνην πρέπει νοεῖν, καλῶς ἀποδείκνυσι τῇ ἐνστάσει· οὐ γὰρ ἐδόκουν αὐτῷ σοφῶς λέγειν οἱ καθόλου περὶ πάντων τῶν ἀναφερομένων τοῦτον ἀξιοῦντες τὸν λόγον, καὶ τοῦτ' ἔπειθεν αὐτὸν ἡ τῆς τάξεως τῶν προειρημένων ἀνομοιότης, εἰ μὲν ἱκανῶς τε ἅμα καὶ προσφυῶς τοῖς ἐκεῖ τεθειμένοις ἐπιχειρήμασιν ἀποδεδειγμένη, οὐκ ἂν ἔχοιμι λέγειν· οἶδα γὰρ καὶ αὐτὸν Ἀριστοτέλη οὐ πᾶσαν ἀκρίβειάν τε καὶ ἀνάγκην ἐκείνοις προσμαρτυροῦντα· ἀληθὴς μέντοι γε οὖσα καὶ λόγοις ἀναντιρρήτοις δείκνυσθαι δυναμένη, εἰ καὶ μὴ πάνυ τούτου πεφρόντικεν ὁ Φιλόσοφος, ἀρκεῖν ἡγούμενος τὴν ἔνστασιν καὶ τὴν ταύτης ἐκ τοῦ προχείρου παραμυθίαν, ὥστε δεῖξαι μὴ πᾶσι τοῖς πρός τι τὸ συνεῖναί τε καὶ συναληθεύειν ὁμοίως ὑπάρχον. Ταῦτα μὲν ὑπὲρ ὧν ἐν Κατηγορίαις Ἀριστοτέλης περὶ τῶν σχετικῶν διορίζεται, ἐξ ὧν καὶ ὁ Πλήθωνος ἐλέγχεται λόγος, ὃς πρὸς τοῖς ἄλλοις οὐδ' ἐκ τῶν ἐπινοιῶν, ἀλλ' ἐκ τῶν ὑποκειμένων ταῖς ἐπινοίαις πραγμάτων ἔχει τὴν ἐπιχείρησιν.

Λέγει δὲ Πλήθων καὶ τὸ τῆς ἀντιφάσεως ἀξίωμα πάλιν αὐτὸν ἀναιρεῖν Ἀριστοτέλη, ἐν οἷς ἀξιοῖ τὴν ἀπροσδιόριστον συναληθεύειν ἀντίφασιν, ὥστε ἔστι τις ἀντίφασις συναληθεύουσα, αὐτὸς δ' ἠξίου, μηδέποτε ἅμα ἀληθῆ δύνασθαι εἶναι ἀντίφασιν, ἅμα δὲ καὶ ψεῦδος εἶναι τοῦτό φησιν· ἡ γὰρ ἀπροσδιόριστος ἴσου δύναται τῇ καθόλου ἀποφάσει, οὐκ εἰς ταὐτὸν ἥκει τῇ μερικῇ, διότι ἀπόφασίς ἐστι μερικῆς καταφάσεως, ἥτινι ἡ καθόλου ἀπόφασις ἀντικειμένως ἔχει. Ταῦτα μὲν αὐτός τε Πλήθων καὶ οἱ περὶ Πλάτωνα πάντες αἰτιῶνται Ἀριστοτέλη· ἀλλ' ἐκεῖνοι μὲν καὶ λόγους πάνυ

f. 156 πολλοὺς ἄγουσιν, | οὓς ῥᾴδιόν ἐστιν ἐξελέγχειν· ὃ δ' ἑνὶ μὲν χρῆται λόγῳ, ἐπὶ δὲ τὴν κοινὴν τοῦ λόγου χρῆσιν μάλιστα καταφεύγει.

Τὸ μὲν δὴ οἴεσθαι Ἀριστοτέλη τὸ τῆς ἀντιφάσεως ἀναιρεῖν ἀξίωμα, ᾧ ἐπὶ πολλ' ἐμόγησεν, ἀρχήν τε καθόλου τιθεὶς αὐτὸ καὶ πολλοῖς καὶ σοφοῖς λόγοις ἐν τοῖς Μετὰ τὰ φυσικὰ πολλαχοῦ πρὸς τοὺς μὴ ῥᾳδίως τὴν τοιαύτην ἀρχὴν προσιεμένους ὑπερασπίζων, καὶ πάνυ γελοῖόν ἐστιν· ἀλλὰ μᾶλλον ἄν τις οἰηθείη Πλήθωνα μὴ ἐπαΐειν Ἀριστοτέλους πλείστοις σοφοῖς πειθόμενος, ἢ Ἀριστοτέλη τηλικαύτην πλάνην παθεῖν, πειθόμενος Πλήθωνι μετ' ὀλίγων. Ἀφίημι δὲ ὅτι οὐδ' ἐγκαλεῖν αὐτοὺς ἐχρῆν Ἀριστοτέλει τούτων εἵνεκα· εἰ γὰρ ἀντιφάσκει μὲν αὐτὸς ἑαυτῷ ταῦτα λέγων, λέγει δέ τινα ἀντίφασιν συναληθεύειν, καὶ εἴη ἂν ἴσως αὕτη καθ' ἣν καὶ αὐτὸς ᾤετο ἀντιφάσκων ἀληθῆ τε καὶ ἑαυτῷ συμφῶνα ἐρεῖν, οὔτ' ἂν ἀντιφάσκοι κακῶς, οὔτε δικαίως ἂν ἀκούοι κακῶς. Ἀλλὰ ταῦτα μὲν οἱ Πλήθωνι ἐμπαίζειν βουλόμενοι λεγέτωσαν· ἐγὼ δὲ ὡς ἀληθείας τὰ τοιαῦτα ἔχει, καὶ δὴ λέγω. Ὁ Φιλόσοφος εἴωθε, τὰ εἴδη καὶ τὰ ἧττον καθόλου τοῖς τῶν γενῶν καὶ τοῖς ὁλικωτέροις ὀνομάζειν ὀνόμασι, καὶ τὰ δοκοῦντα εἶναι τόδε τι κατὰ τὴν ἐπικρατοῦσαν περὶ αὐτῶν δόξαν καλεῖν, ἕως ἂν τῶν δοκούντων διακρίνας τἀληθῆ, οὕτω δὴ τὴν ἑκατέροις ἁρμόττουσαν ἐπιθείη προσηγορίαν, καὶ εἰ ταῦτα ἀσάφειάν τινα τοῖς ἐκείνου λόγοις ποιεῖ, αὐτὸς μὲν Πλήθων οἰέσθω ὅ τι καὶ βούλοιτο· ἐγὼ δὲ καὶ ἐπαινῶ τούτου εἵνεκα Ἀριστοτέλη, εἰδὼς προαιρούμενόν τε ταύτην καλῶς καὶ ἐν οἷς μάλιστα δεῖ ἐπιτηδεύοντα, ἅμα δὲ καὶ τί ἂν ἀσαφὲς εἴη τῶν ἐκείνου τῷ γε καλῶς ἀνηγμένῳ πρὸς φιλοσοφίαν καὶ ἔτι εὐγνωμόνως ἀκούοντι· ὅλως δ' εἴπερ αὐτός τις ἕκαστος ὡς περὶ ἑαυτοῦ, οὕτω δὴ καὶ περὶ Ἀριστοτέλους ἐθέλοι διανοεῖσθαι, συκοφαντεῖν δὲ μηδ' ὅλως μηδὲ
f. 156v βασκαίνειν, οὐδὲν ἀπᾷδον εὑρήσει ποιοῦντα, ἀλλὰ κἂν εὔξαιτο | οὕτω τὰ περὶ φιλοσοφίαν ἐξαμαρτάνειν δύνασθαι, ὡς Ἀριστοτέλης ἐξαμαρτεῖν δοκεῖ Πλήθωνι· ὅσῳ δὲ καὶ τὸ ἀσαφὲς σοφώτερόν τε καὶ ὠφελικώτερον Ἀριστοτέλει ἢ τοῖς πρὸ αὐτοῦ πᾶσιν ἐπιτετήδευται, παντί που δῆλόν ἐστιν, εἴρηται δὲ καὶ ἡμῖν ὀλίγα ἐν προοιμίοις.

Ἀλλ' ἃ περὶ τῶν ἀπροσδιορίστων λέγει προτάσεων, εἴτε μετὰ τοῦ σαφοῦς εἴρηται, εἴτε καὶ μή, ἀληθῶς τε ἔχει καὶ οὕτως εἰρῆσθαι ἐχρῆν, καὶ ἄλλως ἂν λέγοντι ἐπιτιμᾶν ἔδει. „Ὅσαι μὲν οὖν ἀντιφάσεις τῶν καθόλου εἰσὶ καθόλου, φησίν, ἀνάγκη τὴν ἑτέραν ἀληθῆ εἶναι, ἢ ψευδῆ“· ἀντιφάσεις ἐνταῦθα τὰς ἀντιθέσεις λέγων. Εἰ δὲ μή φησιν οὕτω τῇ λέξει, οὐκ ἀσαφείας μόνον ἐπαινουμένης, ἀλλὰ καὶ ἀληθείας χάριν τοῦτο ποιεῖ· βούλεται μὲν γὰρ διακρῖναι τὰς φαινομένας ἀντιθέσεις τῶν ἀληθῶν, ἐπεὶ δοκοῦσί τινες εἶναι μὴ οὖσαι· κοινὸν δὲ τούτοις ὄνομα τὴν ἀντίθεσιν τίθησι πρό γε τοῦ διακριθῆναι, οὗτοι γε τὴν ἀνωτάτω, ἥτις ἀναλογικῶς αὐτῆς τε τῆς ἐν τῷ λόγῳ ἀντιθέσεως, ἣ καλεῖται ἀντίφασις, καὶ τῆς ἐν

τῷ πράγματι, τῆς τε τῶν ἐναντίων καὶ τῆς στερητικῆς καὶ τῆς τῶν ἀναφερομένων κατηγορεῖται· ἀλλὰ τὴν ἐν τῷ λόγῳ ἀντίθεσιν, ἥτις ἀντίφασις ἂν εἰκότως καλοῖτο, ὡς ἐν τῷ λόγῳ οὖσα, ὡς καὶ αὐτὸ δηλοῖ τοὔνομα· ὑπὸ ταύτην δὲ αἵ τε κυρίως ἀντιφάσεις, αἱ μηδέποτε συντρέχουσαι, καὶ αἱ συνιοῦσαί πῃ, ὧν αἳ μὲν πρῶται εἰδικαί εἰσιν ἀντιφάσεις καὶ κυρίως λεγόμεναι, αἳ δὲ τοὔνομα μὲν τῆς ἀντιφάσεως ἔχουσιν, ὡς δὴ τοῦ λόγου οὖσαι ἀντιθέσεις, καὶ ὡς οὕτω φάναι, τὴν ὕλην· τὴν δὲ εἰδικὴν οὐκ ἔχουσιν ἔννοιαν, ἥτις ἐστὶ τὸ παντάπασιν ἀποδιῃρῆσθαι αὐτῆς τὰ μόρια καὶ ἀντιφάσκειν καθάπαξ. Ὅτι δὲ αὗται δοκοῦσιν ἀντιφάσεις εἶναι, καὶ αὐτῇ λέξει Ἀριστοτέλους δῆλόν ἐστιν· ἐπάγει γάρ· | „Δόξειε δ' ἂν ἐξαίφνης f. 157 ἄτοπον εἶναι διὰ τὸ φαίνεσθαι σημαίνειν τὸ οὐκ ἔστιν ἄνθρωπος λευκὸς ἅμα, καὶ ὅτι οὐδείς ἐστιν ἄνθρωπος λευκός.“ Οἱ γὰρ ἄνευ βασάνου τὰ τοιαῦτα θεωροῦντες, φησί, καὶ ἀπερισκέπτως ᾗ ἂν τύχοι καὶ ἐξ ὑπογύου περὶ τῶν τοιούτων ἀποφαινόμενοι, φασὶν ἀντιφάσεις εἶναι τὰς τῶν ἀπροσδιορίστων ἀντιθέσεις προτάσεων. Φασὶ γὰρ ὡς τῷ, εἰ ἔστιν ἄνθρωπος καλός, ταὐτὸν δυναμένῳ τῷ, ἔστι τις ἄνθρωπος καλός, ἀντιφατικῶς ἀντίκειται τό, οὐδείς ἐστιν ἄνθρωπος καλός· καὶ τό, οὐκ ἔστιν ἄνθρωπος καλός, ταὐτό τε δυνήσεται τῷ, οὐδεὶς ἄνθρωπος καλός, καὶ τῷ, ἔστιν ἄνθρωπος καλὸς ἀντιφατικῶς ἀντικείσεται, καὶ ἥκιστά γε συναληθεύσει. Ἀλλ' εἰ καὶ δοκεῖ, φησί, ταὐτὸν εἶναι ταῦτα καὶ ἅμα, ἀλλ' οὔτε ταὐτὸν σημαίνει, οὔτε ἅμα εἰσὶν ἐξ ἀνάγκης. Δῆλον οὖν ὡς ὁ λόγος, ὃν τέθεικε Πλήθων, αὐτός ἐστιν ὑφ' οὗ φησιν ἀπατᾶσθαί τινας, Ἀριστοτέλης, καὶ διὰ τοῦτο οἴεσθαι τὰς ἀδιορίστους ἀντιφάσεις ἀληθεῖς εἶναι· οἴονται γὰρ τό, οὐκ ἔστιν ἄνθρωπος λευκός, ταὐτὸν εἶναι τῷ, οὐδείς ἐστιν ἄνθρωπος λευκός, ἅμα καὶ τὸ ἔθος τοῦ λόγου πρὸς συνηγορίαν ἁρπάζοντες. Οὐκ ἔστι δὲ ταὐτὸν ταῦτα· πῶς γὰρ ἂν σημαίνοι ταὐτὸν τὰ μήτ' ἐν τῷ κατηγορεῖσθαι ἀντιστρέφοντα, μήτ' ἐν τῷ ἕπεσθαι, μήτε ἐν τῷ αὐτῷ γένει ὄντα, μήτε ἅμα ἀληθεύοντα ἐξ ἀνάγκης, εἰ μὴ ἐπὶ μόνης τῆς τῶν ἀδυνάτων ὕλης; Πῶς δ' ἂν καὶ μιᾷ καταφάσει δύο ἀντιφάσεις ἀντικέοιντο, ὅπερ ἀνάγκη συμβαίνειν, εἴ γε ταὐτὸν εἴη ταῦτα; Εἶτα τίς ἀγνοεῖ, ὅτι τὸ μέν, οὐδείς ἐστιν ἄνθρωπος λευκός, ἀντίκειται τῷ, τὶς ἄνθρωπος λευκός, ἀληθεῖ ψεῦδος· τὸ δέ, οὐκ ἔστι λευκὸς ἄνθρωπος, ἅμα ἀληθεύει τῷ, τίς ἐστι λευκὸς ἄνθρωπος· ἀληθὲς γάρ ἐστι τὸ τινὰ ἄνθρωπον εἶναι λευκὸν εἰπεῖν, καὶ τὸ ξύλον ἢ ὁτιοῦν, ὡς οὐκ ἔστι λευκὸς ἄνθρωπος, ἄν τε λευκὸν ᾖ, ἄν τε μὴ λευκόν. Ἀλλὰ Πλήθων, ὡς ἔοικε, | διαιρῶν καὶ ἐξαπλῶν τὴν φωνὴν ἐν f. 157v τῷ „οὐκ ἔστι“, νοεῖ τὸ μὴ εἶναι ἄνθρωπον λευκὸν ἀντὶ τοῦ μηδένα εἶναι λευκὸν ἄνθρωπον, ὥσπερ τό, οὐκ ἔστι ταῦτα οὐκ ἔστι, καὶ τό, οὐκ ἔστι

1 *τῷ* en interligne AD 15 *ὡς τὸ εἰ ἔστιν* A 29 *ἀντιφάσεις*: *ἀποφάσεις* D
30 *εἶτα τις — κατεφλυάρησαν* (p. 74 l. 6) en marge de la main de Scholarios D

ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός· ὡς ὑπέρευγε, ὅτι τῷ τῆς φωνῆς ἤχῳ καὶ τῇ λεκτικῇ ποιότητι τὰς συναληθευούσας ἢ ἀντιφασκούσας ἐπιγινώσκει προτάσεις, οὐ τῇ ἀληθείᾳ καὶ τῇ ἀκολουθίᾳ τούτων, ἢ τοὐναντίον, ἐπειδὰν τοῖς πράγμασιν ἐφαρμόζωνται. Τοῦτο δὲ καὶ πρὸ αὐτοῦ πολλοὶ τῶν περὶ Πλήθωνα πεπονθότες τῆς Ἀριστοτελικῆς ἀκριβείας κατεφλυάρησαν. Χαλεπὸν δέ ἐστι καὶ τὸν τῆς τέχνης κανόνα πρὸς τὴν τοῦ λόγου χρῆσιν βιάζεσθαι, ὅταν μὴ ἐγχωρῇ, ἢ τὴν τοῦ λόγου χρῆσιν τοῦ γε ἀπὸ τοῦ λόγου συμβαίνοντος ἰσχυροτέραν ἐν τοῖς τοιούτους ποιεῖσθαι· ποῦ γὰρ ἡ τοῦ λόγου χρῆσις τὴν κατὰ τὸ προσδιωρισμένον καὶ ἀπροσδιόριστον ἐπιγινώσκει διαφορὰν καὶ τὰς τοῦ ἀρνητικοῦ μεταθέσεις καὶ τὰ τοιαῦτα; Ἀλλ' ἔστι μὲν ἐν οἷς συμφωνεῖ τῷ τῆς τέχνης κανόνι· ἔστι δ' οὗ καὶ διαφωνοῦσα, τὸ ἔλαττον ἀποφέρεταί τε καὶ ἠρεμεῖ παρά γε τοῖς νοῦν ἔχουσιν, ὥστε καὶ ταῦτα μάτην ὑπὸ Πλήθωνος Ἀριστοτέλης ἐγκέκληται· οὐ γὰρ ἐνίας τῶν εἰδικῶς λεγομένων ἀντιφάσεων συναληθεύειν φησίν, ἀλλὰ τῶν ἐν τῷ λόγῳ ἀντιθέσεων, ἃς δὴ ἀντιφάσεις καθόλου πρέπει καλεῖν ὡς ἐν τῇ φάσει ἀντικειμένας, τούτων τὰς μὲν ἀντιφάσεις εἶναι κυρίως, ὡς τὸ εἰδικὸν ἐχούσας τῆς ἀντιφάσεως, ὅπερ ἐστὶν ἡ πρὸς τὸ αὐτὸ ὑποκείμενον ἀναφορά, αἰτία σφίσιν οὖσα τῆς ἐσχάτης ἀξυμβασίας, ὡς ἐπὶ τῶν καθόλου καὶ τῶν καθέκαστα προτάσεων ἔχει· τὰς δὲ μὴ ἀντιφάσεις οὔσας δοκεῖν, αἳ τὸ μὲν ὑλικὸν ἔχουσι τῶν ἀντιφάσεων, τὴν τοῦ ὑποκειμένου καὶ κατη-
f. 158 γορουμένου δηλονότι ταὐτότητα ἔν γε τῷ λόγῳ, τὸ δὲ | εἰδικὸν αὐτῶν ἄπεστιν, ἡ πρὸς τὸ αὐτὸ ὑποκείμενον καὶ πρᾶγμα ἀναφορά. Τοιαῦται δ' εἰσὶν αἵ τε μερικαὶ καὶ αἱ καθόλου μὴ καθόλου λεγόμεναι, ἴσα ἐκείναις δυνάμεναι.

Ἐν οὖν τοῖς περὶ τῶν προτάσεων λόγοις ἐγκαίρως οὕτω τὰ περὶ τὴν ἀντίφασιν διακαθάρας καὶ τὴν ἀληθῆ παραδεδωκὼς ἡμῖν ἀντίφασιν, ἣν ἀμήχανόν ἐστι συνελθεῖν, ὡς πρώτῃ καὶ μεγίστῃ τῶν συμπεπλεγμένων ἀρχῶν τῇ περὶ αὐτῆς ἀξιώσει κέχρηται πανταχοῦ. Ἐν δὲ τοῖς Μετὰ τὰ φυσικὰ καὶ ἰσχυροτάτοις λόγοις αὐτὴν ἀποδείκνυσι, καὶ τοὺς ἐναντιουμένους ἐλέγχει λόγους. Ἀλλὰ Πλήθων, διὰ τὸ λογικῆς μεθόδου παντάπασιν ἐστερῆσθαι· δῆλος γάρ ἐστιν οὐ τὴν ἐντεριώνην τῶν Ἀριστοτέλους λόγων, καὶ παντὸς δὲ οἶμαι λόγου, ἀλλὰ τὰ ἔξω μόνον ὁρῶν· ταῦτά τε ἐγκέκληκε τῷ Φιλοσόφῳ τὰ σαπρὰ ἐκεῖνα καὶ ὑπ' αὐτοῦ πάλαι Ἀριστοτέλους ἐληλεγμένα προφέρων πάλιν αὐτῷ, καὶ πρὸς τούτοις, ἃ περὶ τὴν τοῦ ἀναγκαίου καὶ ὑπάρχοντος μίξιν νομοθετεῖ, ὡς δὴ καὶ ταῦτα κακῶς ὡρισμένα μέμφεται· φιλοτιμεῖται γάρ, ὡς ἔοικε, κατὰ πάσης Ἀριστοτελικῆς πραγματείας τὰ τῆς ἀπαιδευσίας ἀφεῖναι βέλη. Ἀλλὰ τὰ μὲν περὶ τοῦ συμπεράσματος τῆς τοιαύτης μίξεως ἔξεστι καὶ τοῖς ἄρτι λογικῶν γευσαμένοις μεθόδων ὑπὲρ Ἀριστοτέλους ἀπολογεῖσθαι Πλήθωνι· ἐμοὶ δὲ ἐπὶ

8 *τοῦ λόγου*: *τῆς τέχνης* D

τὰ μετὰ ταῦτα χωρητέον εἶναι δοκεῖ, τῶν μὲν κατ' Ἀριστοτέλους βλασφημιῶν οὐ πάνυ τοι ἀνεχομένῳ, τῶν δὲ πρὸς αὐτὰς ἀντιθέσεων κόρον ἤδη λαβόντι καὶ σπεύδοντι ἀμφοτέρων, ὡς οἷόν τε, θᾶττον ἀπαλλαγῆναι.

Φησὶ τοίνυν ἐπὶ τοῖς εἰρημένοις καὶ τὰ περὶ τὴν ψυχὴν οὐ καλῶς ἀποφήνασθαι τὸν Φιλόσοφον· αὐτίκα γοῦν ἐξαμαρτάνειν, πάντα νοῦν τῇ οὐσίᾳ εἶναι ἐνέργειαν λέγοντα. Ἐπειδὴ γὰρ | οὐδὲν διακρίνων παντὶ νῷ f. 158v τοῦτο προσήκειν φησί, δῆλον ὅτι καὶ τὸν ἀνθρώπινον νοῦν τοιοῦτον εἶναι ἡγεῖται. Συμβήσεται γοῦν, ἐπειδὰν παύηται ἐνεργεῖν ὁ νοῦς (οὐ γὰρ ἀεὶ νοεῖ), καὶ τὴν οὐσίαν αὐτὸν τῇ ἐνεργείᾳ συναποβάλλειν τε καὶ ἀπόλλυσθαι, καὶ αὖθις νοοῦντα ἀναβιώσκεσθαι, οἶμαι γοῦν Πλήθωνα τὰ ἐν τῷ τριακοστῷ τῶν Μετὰ τὰ φυσικὰ πεφιλοσοφημένα αἰνίττεσθαι. Ἀλλ' ὅτι μὲν τὸν ἀνθρώπινον νοῦν Ἀριστοτέλης οὐκ οἴεται εἶναι τοιοῦτον, ὡς τὴν ἐνέργειαν αὐτοῦ καὶ τὴν οὐσίαν ταὐτὸν εἶναι, δῆλόν ἐστιν ἐν τῷ τρίτῳ τῶν Περὶ Ψυχῆς, ὅπου τὸν δυνάμει νοῦν καὶ τὸν ἐνεργείᾳ τὸν αὐτὸν μέν φησιν εἶναι τῷ ὑποκειμένῳ, ἐν οἷς καὶ ὁ δυνάμει νοῦς φαίνεται εἶναι, χρόνῳ δὲ ἕτερον, καὶ τῷ τελείῳ καὶ ἀτελεῖ διαφέρειν, καὶ τῷ τὸν μὲν ἀπαθῆ εἶναι, τὸν δὲ παθητόν, εἰ καὶ μὴ ὡς ἡ αἴσθησις, ἀλλ' ᾗ δυνάμει ἐστὶ πρὸς τὰ νοητά. Καὶ πλεῖστα δὲ ἄλλα φησὶν Ἀριστοτέλης ἐκεῖ, ἐξ ὧν τοῖς ἀδιαστρόφως ἀκούουσι φαίνεται σαφῶς τὸν ἀνθρώπινον νοῦν οὐ καθάπαξ ἁπλοῦν τι χρῆμα οἰόμενος, ὥσπερ τὸν τοῦ Θεοῦ, ἀλλὰ τὴν τοῦ νοῦ φύσιν δύναμίν τινα τῆς λογικῆς τοῦ ἀνθρώπου ψυχῆς οὖσαν ἐξαίρετον, δυνάμει μὲν πρότερον εἶναι, εἰς ἐνέργειαν δὲ ὕστερον ἄγεσθαι, καὶ τὸ ἐνεργείᾳ εἶναι συνουσιωμένον ἤδη λοιπὸν καὶ ἀναπόβλητον ἔχειν, καὶ τῷ ὑποκειμένῳ μίαν οὖσαν ταύτην τὴν δύναμιν, ταύτῃ μόνον διακεκρίσθαι, καὶ ἔργῳ διακεκρίσθαι, ὡς δὴ χρόνῳ τῆς διαφορᾶς ταύτης ὁριζομένης καὶ ἀληθείᾳ οὔσης, οὐκ ἐπινοίᾳ. Ἐν δὲ τοῖς Μετὰ τὰ φυσικὰ λέγει μὲν πάντα νοῦν τῇ οὐσίᾳ εἶναι ἐνέργειαν, ἀλλὰ πάντα θεῖον νοῦν, ἐπεὶ πολλὰς εἶναι τὰς ἀϊδίους καὶ νοερὰς οὐσίας μετὰ τὴν πρώτην αὐτὸς τίθεται· πῶς δὲ τεταγμένας, οὐ δεῖ τό γε νῦν ἔχον σκοπεῖν· ἀλλ' ὥσπερ καὶ πρότερον εἴρηται, Πλάτων τε καὶ Ἀριστοτέλης ὁμοίως ληροῦσι, πολλοὺς θεοὺς εἶναι λέγοντες, ὅπως ἂν ὑπὸ τὸν πρῶτον Θεὸν οἱ πολλοὶ οὗτοι | τάττοιντο f. 159 ὑφ' ἑκατέρου· ὅθεν πλήθους αὐτῶν καὶ τάξεως εἵνεκα οὔτ' Ἀριστοτέλη φαυλίζειν Πλάτωνος μᾶλλον, οὔτε Πλάτωνα ἐπαινεῖν δεῖ, ἀλλὰ λῆρον ἡγεῖσθαι καὶ ἐς τὴν θείαν φύσιν παρανομίαν ὅσα ἑκάτερος περί τε πλήθους αὐτῶν καὶ τάξεως ἐτερατεύσατο.

Ἀλλὰ νῦν ἐξαιτιᾶσθαι χρὴ Ἀριστοτέλη δικαίως τοῦ μὴ πάντα νοῦν, ἀλλὰ τὸν θεῖον τῇ οὐσίᾳ εἶναι ἐνέργειαν ἀποφήνασθαι· περὶ δὲ τοῦ ἀνθρωπίνου τοσοῦτον ἀπέχεσθαι τοιοῦτόν τι φρονεῖν, ὥστε καὶ τὴν ὑπεροχὴν τοῦ θείου νοῦ ἐκ τῆς πρὸς τὸν ἡμέτερον διαφορᾶς συμπεραίνειν. Ἐπειδὴ

37 ἀποσχέσθαι D

γὰρ φθάσας ἐκεῖ διωρίσατο περὶ τῆς ἀΰλου καὶ ἀκινήτου οὐσίας, ὅσον πρὸς τὴν αὐτῆς ἀνῆκε τελειότητα καὶ τὴν ἑνότητα καὶ τὸ πλῆθος, δεῖν ἡγήσατο καὶ περὶ τῶν πρὸς τὴν ἐνέργειαν αὐτῆς ἀνηκόντων ἑπομένως σκέψασθαι. Καὶ δὴ τὴν πρώτην ἄϋλον οὐσίαν κινεῖν ἀποδεδειχώς, ὡς τὸ νοητὸν καὶ ἀγαθὸν καὶ ὀρεκτόν, λοιπὸν περὶ ἑκάστου τούτων διαπορῶν, διορίζεται τίνα τε αὐτῇ ὡς νῷ προσήκει καὶ νοητῷ, καὶ τίνα ὡς ἀγαθῷ, καὶ τίνα ὡς ὀρεκτῷ. Τριχῶς δὲ τοῦ νοῦ πρὸς τὸ νοεῖν αὐτοῦ παραβάλλεσθαι δυναμένου, ἕνα μὲν τρόπον, εἰ δυνάμει ἢ καθ' ἕξιν εἴη νοῶν, ὡς ἐπὶ τοῦ καθεύδοντος ἔχει· ἕτερον δὲ τρόπον, ὡς ἐπὶ τοῦ ἐγρηγορότος, εἰ νοοίη μὲν ἐνεργείᾳ, μὴ εἴη δὲ αὐτὸς τὸ νοεῖν αὐτοῦ, ἃ δὴ καὶ ἄμφω τῷ ἀνθρώπῳ προσήκει· τρίτον δὲ τρόπον, εἰ ὁ νοῦς αὐτή ἐστιν ἡ αὐτοῦ νόησις, οὔτε κατὰ τὸν πρότερον τρόπον νοεῖν ἀποφαίνεται τὸν θεῖον νοῦν, οὔτε κατὰ τὸν δεύτερον· εἰ γὰρ δυνάμει νοοίη μόνον, ἢ ἐνεργείᾳ νοῶν μὴ αὐτὸς εἴη τὸ νοεῖν αὐτοῦ, οὔτε ἀρίστη, οὔτε τελεωτάτη ἔσται οὐσία, μήτε συνεχῶς, μήτ' οἴκοθεν νοοῦσα, ἀλλ' ἔξωθεν καὶ μετὰ πόνου τὸ νοεῖν προσλαμβάνουσα, καὶ τὸ νοῦς εἶναι θειότατος καὶ τιμιώτατος ἀποβαλεῖ. Εἰ τοίνυν μηδὲ τῷ ἀνθρωπίνῳ νῷ ταῦτα προσήκειν ἡγεῖτο, μηδενὸς ὄντος
f. 159v παρὰ τὸν θεῖον καὶ τὸν ἀνθρώπινον νοῦν, | μάτην ἄρα θειότατόν τε καὶ τιμιώτατον νοῦν τὸν θεῖον εἶναι ἐδείκνυ ἐκ τοῦ μήτε τὰ εἰρημένα καὶ τὰ ἐναντία τούτῳ προσεῖναι· οὐ γὰρ εἴδη τινὰ εἶναι ἐτίθει, οἷς νοῖς οὖσι δευτέροις καὶ ὑφειμένης φύσεως ἢ ἄμφω ταῦτα, ἢ θάτερον τούτων ἁρμόττειν, ἀλλ' ὑπὲρ τὸν ἡμέτερον νοῦν τὴν θείαν φύσιν μόνην ἐτίθει, ὡς αὐτὸς ἐφλυάρει, διανενεμημένην· ἐνταῦθα γὰρ καὶ αὐτόν με δεῖ τοῦ Φιλοσόφου καθάψασθαι· καλῶς μὲν λέγων, ὅτι μὴ εἴδη τινὰ ἔξω τοῦ Θεοῦ ἔλεγεν εἶναι, χείρω τε αὐτοῦ καὶ αἴτιά πῃ τῶν τῇδε πραγμάτων, κακῶς δ' αὖ, ὅτι μὴ οὐσίας τινὰς κεχωρισμένας ἐφρόνει καὶ καθάπαξ ἀΰλους ἐν τοῖς τοῦ Θεοῦ κτίσμασιν, ἀλλὰ μόνον τὸν ἀνθρώπινον νοῦν.

Ταῦτα μὲν Ἀριστοτέλης περὶ τοῦ θείου νοῦ ἐν τῷ τριακοστῷ τῶν Μετὰ τὰ φυσικὰ πραγματεύεται, οὐχ ἁπλῶς περὶ τοῦ νοῦ, εἰ μὴ καθόσον τὴν πρὸς τὸν ἀνθρώπινον νοῦν ὑπεροχὴν ἐκ τῶν ἰδίως ἐκείνῳ διαφερόντων ἀποφαίνει καλῶς· ἐξ ὧν δῆλόν ἐστιν, ὅτι τῆς πρώτης ἀρχῆς ἀκινήτου καὶ ἀϊδίου, ἣν καὶ νοῦν καὶ νοητὸν ἔσχατον καὶ ἀγαθὸν καὶ ὀρεκτὸν εἶναι τίθησι, ταύτης μόνης τὴν οὐσίαν ἐνέργειαν εἶναι ἀποφαίνεται· ταύτην γὰρ μόνην ἐνέργειαν εἰλικρινῆ εἶναι νομίζει, μηδὲν δυνάμεως ἔχουσαν ἀναμεμιγμένον καὶ ἐνέργειαν ὑφεστῶσάν τε καὶ ἁπλῆν, καὶ διὰ τοῦτο οὐσίαν οὖσαν. Καὶ ταῦτα μὲν ἐν τῷ τριακοστῷ τῶν Μετὰ τὰ φυσικά. Ἐν δὲ τρίτῳ τῶν Περὶ ψυχῆς (οὐδὲν γὰρ χεῖρον τὰ αὐτὰ πάλιν ἀναλαβεῖν πρὸς ἐκδηλοτέραν τῆς ἀληθείας φανέρωσιν), ἐκεῖ τοίνυν περὶ τοῦ

37-38 ἐπαναλαβεῖν D

ἀνθρωπίνου διαλεγόμενος νοῦ, τὴν οὐσίαν τῆς λογικῆς ψυχῆς νοῦν τε πρὸς πάντα ὄντα δυνάμει καὶ πάντα πάσχοντα καὶ πάντα γινόμενον, καὶ αὖθις πάντα ποιοῦντα νοῦν εἶναί φησιν, ἐν τῇ τῆς ψυχῆς οὐσίᾳ τὴν διαφορὰν εἶναι ταύτην τιθέμενος· ἧς Πλάτων | οὐκ ἐδεῖτο διὰ τὸ μηδὲ δυνάμει f. 160 νοητὰ τιθέναι, ἀλλὰ πάντα τὰ νοητὰ καθ' αὑτὰ τοῦτο εἶναι, δυνάμει δὲ μόνον πρὸς αὐτὰ τυγχάνειν τὸν ἡμέτερον νοῦν. Ἀλλ' ὁ Φιλόσοφος ἐκείνως τε διαιρεῖ καὶ ἑκάτερον νοῦν χωριστόν τε εἶναι καὶ ἀμιγῆ καὶ ἀπαθῆ λέγει, εἰ καὶ μάλιστα ταῦτα τῷ κατ' ἐνέργειαν ἁρμόττει, τὸν δὲ ἐνεργείᾳ νοῦν ἰδίως τῇ οὐσίᾳ εἶναι ἐνέργειαν, καὶ χωριστὸν μὲν εἶναι τοῦτον ὡς μὴ ἔχοντα σωματικὸν ὄργανον, ἀπαθῆ δὲ ὡς οὐχ ὑφ' ἑτέρου, ἀλλ' αὐτὸν ὑφ' αὑτοῦ τελειούμενον κατ' ἐνέργειαν, ἢ ἤδη τέλειον ὄντα· ἀμιγῆ δέ, ὡς μηδ' ὁπωσοῦν τοῖς ὑλικοῖς συμπλεκόμενον, ἢ ὡς πεφυκότα πρὸς τοῦτο καὶ σπεύδοντα, τῇ δὲ οὐσίᾳ ὄντα ἐνέργειαν ὡς πρὸς ἑαυτὸν ἀμερίστως ἐπιστρέφοντα καὶ ἑαυτὸν νοοῦντα οὐσίαν ὄντα· ἢ ὡς ἐν τῇ ἑαυτοῦ τε καὶ τῶν ὑψηλοτέρων νοήσει ἀνεκστάτως καὶ ἀναποσπάστως αὐτοῖς προσφυόμενον· ἃ δὴ πάντα πρώτως μὲν καὶ κυρίως ὁ θεῖος πέφυκε νοῦς, ἀτελεστέρᾳ δέ τινι ὁμοιότητι καὶ τῷ οὐσιώδει καὶ τελείῳ τῆς ψυχῆς νῷ προσήκει· ἃ γὰρ ὁ θεῖος νοῦς ἀεὶ καὶ ἁπλῶς ἔχει καὶ κατ' οὐσίαν, ταῦτα τῇ ἐκείνου μεθέξει καὶ ὁ ἀνθρώπινος ἔχει πῃ καί ποτε καὶ κατὰ δύναμιν, ὡς ἀπὸ τῆς ὑφειμένης καὶ χείρονος ἕξεως ἐπὶ τὴν κρείττω καὶ ὑψηλοτέραν συναιρούμενος, καὶ προκόπτων ἕως ἂν εἰς τὴν τῆς ἰδίας οὐσίας ἀφίκηται τελειότητα, ἥτις ἐστὶν ἡ καθ' ὑπόβασιν ὁμοιότης τοῦ ὑψηλοτάτου καὶ θείου καὶ πρώτου ποιοῦντος νοῦ.

Ταῦτα περὶ τοῦ ἀνθρωπίνου νοῦ δοξάζων ὁ Φιλόσοφος φαίνεται τοῖς γε δικαίως τε καὶ σοφῶς ἐφιστῶσιν αὐτοῦ τῇ λέξει καὶ τῷ σκοπῷ· τὸν γὰρ Ἀλέξανδρον ἐῶμεν καὶ Πλωτῖνον καὶ Μαρῖνον, οἷς τὰ Ἀριστοτέλους ἐπῆλθεν οὐκ οἶδ' ὅπως μὴ κατ' Ἀριστοτέλην ἐξιστορῆσαι, Ἀλεξάνδρῳ δὲ καὶ πολὺ χεῖρον ἢ τοῖς ἄλλοις, ὥστε καὶ | δύναμίν τινα καὶ ἐνέργειαν ἐν f. 160v τῷ νοεῖν τῇ λογικῇ ψυχῇ δίδωσιν ὁ Φιλόσοφος, καὶ χρόνῳ ταῦτα διαιρεῖ, καὶ τὸ αὐτὸ πρᾶγμα ποτὲ μέν φησιν αὐτὴν νοεῖν, ποτὲ δὲ μή, καὶ μὴ νοοῦσαν δυνάμει πρὸς τὸ νοεῖν ἔχειν, καὶ νοήσασαν ἤδη ἐνεργείᾳ νενοηκέναι, καὶ ἐνεργείᾳ νοῦν εἶναι, καὶ οὐδέποτε ἀπεῖναι αὐτῆς τὴν ἐπί τι ἕτερον δύναμιν, κἂν ὅτι πλεῖστα ἐνεργείᾳ νοῇ, ἕως ἂν τῷδε ᾖ συνημμένη τῷ σώματι. Εἰ δ' ἐκεῖνο Ἀριστοτέλους Πλήθωνα θράττει τε καὶ ταῦτα ὑποπτεύειν ποιεῖ, ὅτι τὸν ἐνεργείᾳ νοῦν εἶπε τῇ οὐσίᾳ εἶναι ἐνέργειαν ἢ ἐνεργείᾳ· καὶ τοιαύτη γάρ τις γραφὴ φέρεται· ἀλλ' ἔδει τοῦτον νοεῖν, ὡς ἡ τοιαύτη κατηγορία οὐ κατ' οὐσίαν ἐστίν, ἀλλὰ διὰ τὸ ἐπακολουθεῖν τῇ οὐσίᾳ αὐτοῦ τὴν ἐνέργειαν. Ὅταν γὰρ ἡ τούτου οὐσία γένηται ἐνεργείᾳ, αὐτίκα ὅσον τὸ καθ' αὑτὸν ἕπεται καὶ αὐτὴ ἡ ἐνέργεια, ὅπερ οὐκ ἔστιν, ἕως ἂν ᾖ δυνάμει νοῦς· ὁ γὰρ δυνάμει νοῦς οὐκ ἔχει ἐνέργειαν, εἰ μὴ

μετὰ τὸ γενέσθαι ἐνεργείᾳ. Ὅτι δὲ οὐ βούλεται ὁ Φιλόσοφος τοῦ ἀνθρωπίνου νοῦ τὴν ἐνέργειαν αὐτὴν εἶναι τὴν οὐσίαν αὐτοῦ, ὥσπερ τοῦ θείου νοῦ, δῆλόν ἐστι παρατιθεῖσι τὰ ἐν τῇ Μετὰ τὰ φυσικὰ τοῖς ἐν τῇ Περὶ ψυχῆς αὐτῷ λεγομένοις. Ἐκεῖ μὲν γάρ φησι· „Δεῖ ἄρα ἀρχὴν εἶναι τοιαύτην, ἧς ἡ οὐσία ἐνέργεια“· ἐνταῦθα δὲ τὸν ἐνεργείᾳ νοῦν φησι τῇ οὐσίᾳ εἶναι ἐνέργειαν. Ταῦτα δὲ πολὺ διαφέρει· τοῦ μὲν γὰρ θείου νοῦ τὴν οὐσίαν αὐτὸ τοῦτ' εἶναι λέγει ἐνέργειαν, τὸν δὲ ἀνθρώπινον νοῦν τῇ οὐσίᾳ εἶναι ἐνέργειαν, ἐπειδὰν ἐνεργείᾳ γένηται νοῦς, τουτέστι τῇ οὐσίᾳ ἔχοντα τὸ ἐνεργείᾳ εἶναι καὶ ἐνεργεῖν, ὡς ἐπακολουθοῦντος τοῦ τε ἐνεργείᾳ εἶναι καὶ ἐνεργεῖν τῷ τὴν οὐσίαν αὐτοῦ γενέσθαι τε καὶ εἶναι, οὐχ ὥσπερ τὸ εἶναι τὸν δυνάμει νοῦν, ᾗ τοιόνδε, οὐχ ἕπεται τὸ ἐνεργείᾳ εἶναι καὶ ἡ ἐνέργεια, καίτοι καὶ αὐτοῦ ἐν τῇ οὐσίᾳ τῆς ψυχῆς ὄντος, ὥσπερ ὁ ἐνεργείᾳ λεγόμενος νοῦς. Ἀλλ' ὅτι μὲν καὶ τοῦτο Πλήθωνος f. 161 | ὅμοιον τοῖς ἄλλοις αὐτοῦ συκοφαντήμασιν ἐς Ἀριστοτέλη ἢ ἀγνοήμασιν, ἱκανῶς ἐκ τούτων γέγονε δῆλον· ἀρκεῖ γὰρ ὀλίγα σοφοῖς.

Ἐπεὶ δὲ καὶ ἐν τούτῳ ἀσύμφωνον αὐτὸν ἑαυτῷ πειρᾶται ἀποφαίνειν, ὅτι ἐν τοῖς Περὶ ζῴων γενέσεως τὸν ἀνθρώπινον νοῦν τοῦδε τοῦ σώματος χρόνῳ πρεσβύτερον εἶναι συγχωρῶν, ἔπειτα τοῖς τὰς μαθήσεις ἀναμνήσεις λέγουσι μέμφεται, δεῖ κἀνταῦθα αὐτοῦ καθικέσθαι τῇ ἀποδείξει τῆς ἀληθείας.

Ὡς μὲν οὖν ἔξωθεν ἐπεισιέναι φησὶ τὸν ἀνθρώπινον νοῦν ὁ Φιλόσοφος διὰ τὸ μὴ οἷόν τε εἶναι τὴν νοερὰν ταύτην ἀρχὴν ἐκ τῆς ἐν τῷ σπέρματι παρῆχθαι δυνάμεως, εἴ γε μέλλοι ἀΐδιος καὶ ἀνώλεθρος εἶναι, οἷον αὐτὸς ἐναργῶς ἀποφαίνει τὸν ἀνθρώπινον νοῦν, σαφές ἐστιν ἐξ ὧν ἔν τε τοῖς Περὶ ψυχῆς λόγοις καὶ ἐν τοῖς Περὶ ζῴων γενέσεως διαλέγεται· εἴτε δὲ πρότερον ὑφεστηκότα που καθ' ἑαυτὸν ὕστερον εἰς τὸ ἀνθρώπινον εἰσέρχεσθαι σῶμα κατὰ τὴν Πλάτωνος θέσιν, εἴτε κτιζόμενον ἅμα εἰσκρίνεσθαι, ᾗ τοῖς τῆς ἱερᾶς ἀληθείας διδασκάλοις δοκεῖ, οὐκ ἔστι σαφῶς ἐκ τῶν ἐκείνου λόγων λαβεῖν· οὗ χάριν οἱ μὲν θάτερον, οἱ δὲ τὸ λοιπὸν αὐτὸν ὑπειληφέναι φασίν. Ἐατέον δὲ τό γε νῦν ἔχον, πότερον ὁ οὐσιώδης τῆς ψυχῆς νοῦς μόνος, ἢ ἡ ξύμπασα φύσις τῆς ἀνθρωπίνης ψυχῆς θύραθέν τε ἔπεισι καὶ ἀΐδιός ἐστι καὶ ἀνώλεθρος, ἐν ᾧ δὴ τῆς ἱερᾶς ἀληθείας Ἀριστοτέλης ἀπᾴδειν δοκεῖ. Ἐμοὶ δὲ δοκεῖ τὸ μὲν πρότερον ὑφεστῶτά που τὸν νοῦν ἄλλοθι καὶ ὄντα καθ' ἑαυτόν, εἶτα ἑνοῦσθαι τῷδε τῷ σώματι μηδαμῶς εἶναι γνώμην Ἀριστοτέλους, ὃς ἐντελέχειάν τε τοῦ ἀνθρωπίνου σώματος τὴν λογικὴν ψυχὴν εἶναι τίθεται καὶ ἐκ τῆς οὐσίας ταύτης τὸν νοῦν εἶναι προδήλως φησί· τὴν δὲ ἐντελέχειαν χρόνῳ ὑστέραν τῆς δυνάμεως εἶναι πανταχοῦ διορίζεται, οὔτε μὲν δημιουργεῖσθαι f. 161v | ἕκαστον νοῦν ὑπὸ τοῦ Θεοῦ καὶ ἐγχεῖσθαι τῷ σώματι μηδαμῶς πρότερον ὄντα, μήτ' ἔξω τοῦ σώματος, μήτ' ἐν αὐτῷ τῷ σώματι, φαίην ἂν ἔγωγε

δόξαν Ἀριστοτέλους εἶναι, καίτοι μάλα βουληθεὶς ἂν αὐτὸν ταύτης εἶναι τῆς γνώμης· ἀλλὰ τὴν ἐνυπάρχουσαν τῷ σπέρματι πρώτην γεννητικὴν ἀρχήν, φυτικὴν οὖσαν ψυχήν, αἰσθητικὴν ὕστερον γίνεσθαι, ἀρκούσης τῆς ἐν τῷ τοιῷδε σπέρματι δυνάμεως τὴν ἀρχὴν ἐκείνην εἰς τελεώτερον εἶδος μετάγειν ἀρχῆς· εἶτα τὴν αἰσθητικὴν ὁμοίως γίνεσθαι νοεράν, οὔ τοι γε τῆς ποιητικῆς τοῦ σπέρματος δυνάμεως πρὸς τοῦτο ἐξικνουμένης, ἥτις οὐκ ἄν ποτε δύναιτο πρός τι τὴν ὑλικὴν ὑπερβαῖνον φύσιν ἐκτείνεσθαι, ἀλλά τινος ὑψηλοτέρου ποιητικοῦ τοῦτο ποιοῦντος, ὅπερ ἐστὶν αὐτὸς ὁ Θεός, ὑφ' οὗ τὴν τῆς αἰσθητικῆς ψυχῆς φύσιν καταλαμπομένην εἰς τελειότερον εἶδος μεθίστασθαι· καὶ τοῦτ' εἶναι ὅ φησιν ὁ Φιλόσοφος, τὸ τὸν νοῦν ἔξωθεν ἐπιέναι· οὐ γὰρ τὴν φύσιν αὐτὴν τῆς ἀνθρωπίνης ψυχῆς θύραθεν ἐπεισέρχεσθαι βούλεται, ἢ τῆς αἰσθητικῆς ψυχῆς φθειρομένης, ἢ κἀκείνης μενούσης καὶ συμμεριζομένης τὴν τοῦ σώματος ἐπιστασίαν ὑπὸ διαφόροις τοῦ σώματος μέρεσιν, ὥσθ' ὑπὸ πλειόνων ψυχῶν εἰδοποιεῖσθαί τε καὶ κινεῖσθαι τὸν ἄνθρωπον· ἀλλὰ τὴν τελειότητα τῆς ἀνθρωπίνης ψυχῆς, ἥτις ἐστὶν ἡ λογικὴ καὶ νοερὰ ταύτης δύναμις, ἐν τῷ τέλει τῆς ἀνθρωπίνης γενέσεως, ὃ δή ποτε ἡ φύσις τέλος ταύτης ἔταξεν εἶναι, διά τινος ἐλλάμψεως γίνεσθαι λέγει, ἔξωθεν τὴν τῆς ψυχῆς οὐσίαν καταλαμπούσης καὶ πρὸς τὴν τῆς ἀϊδιότητος καὶ θειότητος κοινωνίαν διατιθείσης αὐτήν. Ταῦτα δ' οὕτως ὑπειληφέναι Ἀριστοτέλη πολλά τε ἄλλα ποιήσαιτ' ἄν τις τεκμήρια καὶ δὴ καὶ τὸ εἰρημένον ἐν τοῖς Μετὰ τὰ φυσικά· ἐκεῖ γὰρ τὴν νοερὰν ψυχὴν παραβάλλων τοῖς παρὰ Πλάτωνι εἴδεσιν, ἔφησεν ὅτι τοῦτο τὸ εἶδος | μένει μετὰ τὸ σῶμα, καὶ οὐκ εἶπεν ὅτι πρὸ τῆς ὕλης, ἢ f. 162 τοῦ σώματος ἦν, ὃ Πλάτων περὶ τῶν ἰδεῶν ἔλεγε, καίτοι εἴ γε ἐφρόνει τὴν νοερὰν ψυχὴν πρὸ τοῦ σώματος εἶναι, ἐκεῖ ἂν μάλιστα τοῦτ' εἶπεν, ὅπου τὴν ὁμοιότητα ταύτης ἐτίθει πρός γε τὰ εἴδη ἐκεῖνα· ὃ δέ, κατὰ τὸ μένειν μόνον μετὰ τὸ σῶμα τὴν ὁμοιότητα τέθεικεν. Ὑπειλήφασι δέ τινες τὸν ἀνθρώπινον νοῦν πρεσβύτερον τοῦδε τοῦ σώματος εἶναι τὸν Φιλόσοφον συγχωρεῖν Πλάτωνι ἐξ ὧν ἐν τοῖς Περὶ γενέσεως ζῴων εἰπών, „ὅτι μὲν τοίνυν οὐχ οἷόν τε πάσας προϋπάρχειν, φανερόν ἐστιν ἐκ τῶν τοιούτων,“ ἐπήγαγε· „Λείπεται δὲ τὸν νοῦν μόνον θύραθεν ἐπεισιέναι καὶ θεῖον εἶναι μόνον.“ Ἠπάτηνται δέ· ἐκεῖ γὰρ οὐκ εἰ προϋπάρχουσιν αἱ ψυχαὶ πᾶσαι, τοῦ σώματος πρεσβύτεραι αὐτοῦ καθάπαξ οὖσαι, ζητεῖ, ἀλλ' εἰ πρότερον, τουτέστιν εὐθὺς ἐξ ἀρχῆς, ὑπάρχουσιν ἐν τῷ σπέρματι πᾶσαι ἐκ τοῦ ἐνεργείᾳ ζῶντος καὶ γεννῶντος ἀνθρώπου τῷ σπέρματι συναποτεμνόμεναι, ἢ αἳ μὲν οὕτως ἔχουσιν, αἳ δὲ ὕστερον ἐγγίνονται. Ταῦτα δ' οὕτω ζητῶν, ἀποφαίνεται μὴ προϋπάρχειν οὕτω τὸν νοῦν, τουτέστιν οὐκ εὐθὺς ἐξ ἀρχῆς ὑπάρχειν ἐν σώματι, ἀλλὰ τὴν μὲν φυτικὴν

---

2 *γενητικὴν* A

καὶ αἰσθητικὴν ψυχὴν προϋπάρχειν οὕτω, ἅτε καὶ ἄμφω τῆς τοῦ σπέρματος ἠρτημένα δυνάμεως, μόνον δὲ τὸν νοῦν θύραθεν ἐπεισιέναι, καίτοι εἰ καὶ τοῦ σώματος πρότερον ἔλεγε τὸν νοῦν ἁπλῶς οὑτωσίν, οὐκ ἂν εἵπετο καὶ χρόνῳ πρεσβύτερον αὐτὸν εἶναι δοκεῖν· τὸ γὰρ πρότερον, ὡς αὐτὸς ἐν τοῖς αὐτοῖς Περὶ γενέσεως λόγοις φησί, πολλαχῶς ἐστι· „Τό τε γὰρ οὗ ἕνεκα καὶ τὸ τούτου ἕνεκα διαφέρει, καὶ τὸ μὲν τῇ γενέσει πρότερον αὐτῶν ἐστι, τὸ δὲ τῇ οὐσίᾳ.“ Ἠδύνατ' ἂν οὖν πρότερον τὸν νοῦν τοῦ σώματος λέγειν ἢ τῶν ἄλλων ἐν αὐτῷ ψυχῶν οὐ τῇ γενέσει ἀλλὰ τῇ f. 162v οὐσίᾳ, ὥσπερ ἐπὶ πάντων | τὸ ἔσχατον οὐσιῶδες εἶδος χρόνῳ καὶ γενέσει ὕστατον ὄν, τῇ γε οὐσίᾳ πρῶτόν ἐστιν. Εἰ δὲ τὴν ψυχὴν ἐντελέχειαν ὁριζόμενος σώματος ὀργανικοῦ, τὸν νοῦν μέρος μὲν οὐσιῶδες τίθησι τῆς ψυχῆς εἶναι τὸ κράτιστον καὶ μόνον ἀνώλεθρον, ὄργανον δὲ αὐτοῦ μηδὲν εἶναί φησι, τοῦτό τε καὶ τὰ τοιαῦτα διαπορεῖν, καὶ ἔτι πῶς ἂν οἷόν τ' εἴη τὸν νοῦν ἐντελέχειαν εἶναι, ὡς ἂν καὶ πρὸς αὐτὸν ὁ τῆς ψυχῆς διαβαίνων λόγος ἀληθὴς εἴη καθόλου, ταῦτα πολλῆς τέ ἐστι πραγματείας καὶ τὴν νῦν ἐνεστῶσαν ὑπερβαίνοντα χρείαν, ὥσπερ καὶ τὸ μόνον ἀνώλεθρον τὸν νοῦν αὐτὸν ἀποφαίνεσθαι πολλὴν ἔχει ζήτησιν· ἐν ᾧ δὴ καὶ μάλιστα τοῦ εὐλόγου δοκῶν ἅπτεσθαι, ὅμως πρὸς τὴν ἱερὰν ἀλήθειαν δοκεῖ πως διαφωνεῖν, τὰς τῶν σωμάτων ἀναλήψεις ἅπαξ ταῖς ψυχαῖς τελειώσεως αὐτῶν χάριν ἀποδιδοῦσαν, οὐ πολλάκις ἐξ ἄλλων εἰς ἄλλα σώματα ἔρχεσθαι λέγουσαν, ὃ Πλάτων προσέπλασε, καὶ τοῦτο ἐπὶ δίκῃ τε καὶ καθάρσει. Οὔτε γὰρ μετενσωματώσεις τινὰς ὑφίστασθαι τὴν ψυχήν, οὔθ' ἅπαξ ἀναλαμβάνειν τόδε τὸ σῶμα πεφρονηκὼς Ἀριστοτέλης, τὸ μὲν φαύλως, τὸ δὲ καὶ πάνυ καλῶς, οὐδεμίαν ἀνάγκην εἶναι ἡγεῖτο τὴν νοερὰν τῆς ψυχῆς δύναμιν, τοῦ σώματος ἐξιοῦσαν, συνεφέλκεσθαί τι τῶν ἄλλων δυνάμεων, αἳ πρὸς τὴν τοῦ σώματος κοινωνίαν τετάχαται μόνον, καὶ τούτου χωρὶς μάτην ἂν εἶεν.

Ταῦτα μὲν οὖν πάντα ἐν τῷ παρόντι ἀφείσθω. Δεῖ δὲ πρὸς τὴν Πλήθωνος κατ' Ἀριστοτέλους ἐπανιέναι διαβολήν. Οὔτε τοίνυν πρεσβύτερόν που τὸν νοῦν Ἀριστοτέλης τίθεται, καὶ πρὶν ἐς τόδε ἥκειν τὸ σῶμα ὑφεστηκότα που καθ' ἑαυτόν, οὔτε κινδυνεύει ἀσύμφωνος ἑαυτῷ εἶναι, τοῦτο μὲν οὕτω τιθείς, τὰς δὲ Πλάτωνος ἀναμνήσεις ἐλαύνων. Ἀλλὰ καὶ τοῦτο f. 163 πρὸς τοῖς εἰρημένοις τεκμήριόν ἐστι τοῦ μὴ | πρεσβύτερον αὐτῷ δόξαι τὸν ἀνθρώπινον νοῦν, καὶ ὅλως ἀγέννητον καὶ ἀναίτιον, ᾗ πάντα ἐκεῖνον τίθεσθαι Πλήθων συκοφαντεῖ, τὸ μηδὲ τὰς ἀναμνήσεις ἐκείνας ἀξίας ἡγεῖσθαι λόγου τινός. Εἰ γὰρ μὴ ἦν ἡ ψυχὴ πρὸ τοῦ ἑνωθῆναι σώματι, οὔτ' ᾔδει οὐδέν, οὔτ' ἐπιλελησμένη ἀναμιμνήσκεται· πρὸς Θεοῦ γὰρ καὶ τί ἂν ἐγένετο αἴτιον τοῦ χωρὶς σωμάτων γεγενημένας τὴν ἀρχὴν ἑνωθῆναι

---

8 *ἐν* devant *ἄλλων* add A par distraction

σώμασιν ὕστερον; Εἰ μὲν γὰρ βιασθεῖσαι τοῦτο πεπόνθασι, παρὰ φύσιν ἄρα ἐστὶν ὁ ἐκ ψυχῆς καὶ σώματος συγκείμενος ἄνθρωπος, ἐπεὶ τὸ βίαιον ἅπαν παρὰ τὴν φύσιν ἐστί. Πῶς δὲ καὶ τῇ νοερᾷ οὐσίᾳ συνέβαινεν ἄν τι βίαιον, ὃ μηδὲ τοῖς οὐρανίοις σώμασι δεῖ συγχωρεῖν, χείροσιν οὖσι τῷ γένει; Εἰ δὲ συνεπεφύκει ταύταις ἡ τῆς πρὸς τὰ σώματα ἑνώσεως ἔφεσις, αὐτίκ' ἂν γεγενημέναι σώμασιν ἥνωντο, ἵνα μὴ καὶ μάτην αὐταῖς ἡ ἔφεσις ᾖν μέχρι πλείστου· ὑπ' οὐδενὸς δὲ αὐτὰς ἂν ἔδει κωλύεσθαι τῆς ἐπιθυμίας ὧν εὔλογόν ἐστιν ἀπεῖναι τὴν βίαν· βουληθῆναι δὲ αὐτὰς κοινωνῆσαι σώμασιν, ἐξὸν μένειν κεχωρισμέναις, ἀπίθανόν ἐστιν· οὐδεὶς γὰρ ἑκὼν ἂν ποτε τοῦ χεῖρον ἔχειν ἐπιθυμήσειεν εἰ μὴ ἐξαπατηθείς· ἀνεξαπατήτους δ' εἶναι τὰς ψυχὰς ἐκείνας τίθεσθαι δεῖ, εἴ γε γυμναὶ σωμάτων οὖσαι, πάντα ἐπίστασθαι ἔμελλον, οὐδὲ σφαλῆναι γ' ἂν αὐτὰς οἷόν τ' ἦν ὑπὸ τῆς ἐπιθυμίας τοῦ μερικοῦ αἱρετοῦ, ἄνευ σωματικῆς οὔσας μεταβολῆς, ὅθεν προδήλως τοῖς ἀκρατέσι τὰ τοιαῦτα πάθη συμβαίνει.

Ἀλλὰ μὴν καὶ τὸ τοῦ Θεοῦ τάττοντος οὕτω τὰς ψυχὰς συμπλέκεσθαι σώμασιν, εἰ μὲν μηδεμιᾶς προηγησαμένης τῶν ψυχῶν πονηρίας, χαλεπόν ἐστι τὸν Θεὸν ἢ ἀγνοοῦντα τὴν χείρω ταύταις τάξιν διδόναι, ἡγούμενον
ὅτι τὴν βελτίω δεδωκὼς ἔσται καὶ ἐξαπατώμενον οὕτως, ἢ ἑκόντα | καὶ f. 163v
εἰδότα τοῦτο ποιεῖν, δέον, εἰ μὴ βελτίους ἐποίει τῷ χρόνῳ, ἐν γοῦν τῇ προτέρᾳ τάξει ταύτας διατηρεῖν. Εἰ δὲ ἔδει δίκην αὐτὰς ὑπέχειν, ἀλλ' ἡ τοῦ σώματος κοινωνία οὐκ ἂν εἴη τιμωρία τῷ τῆς ψυχῆς πταίσματι πρέπουσα· τὴν γὰρ τιμωρίαν ἐναντιουμένην τῷ τοῦ πάσχοντος ἀγαθῷ κακόν τι εἶναι ἀνάγκη τῷ πάσχοντι· ἡ δὲ πρὸς τὸ σῶμα τῆς ψυχῆς ἕνωσις ἀγαθόν ἐστι φύσει, καὶ τοῦτο φύσει τέλος ἐστὶ τῆς γενέσεως. Εἴη δ' ἂν οὕτω καὶ κατὰ συμβεβηκὸς γεγονὼς καὶ ἀπὸ τύχης ὁ ἄνθρωπος, ὃν τέλος τῶν ζῴων εἶναι Πλάτων που λέγει· ἃ δὴ πάντα ψεύδη περιφανῶς εἰσι καὶ πολλῶν ἀτοπημάτων ἀρχαί. Πῶς δ' ἂν καὶ ἀναμιμνῄσκοιτο σώματι χρωμένη ἡ ψυχή, ὃ τῆς λήθης αὐτῇ γέγονεν αἴτιον; Εἰ μὲν γὰρ καὶ πρὶν ἑνωθῆναι σώματι, παθοῦσά τι ἐπελέληστο ὧν ᾔδει, σχολῇ γ' ἂν ἀναλάβοι ταῦτα μετὰ τῆς ἐν τῷ σώματι τούτῳ συγχύσεως· εἰ δὲ εἰσελθούσῃ τὸ σῶμα τοῦτο συνέβη, ἀνάγκη ἀεὶ εἶναι ἐπιλελησμένην, ἕως ἂν ἐν αὐτῷ ᾖ δήπου, οὐδ' ἂν ὑπὸ χρόνου τι βοηθοῖτο, ὃς ἐκβάλλοι ἂν μᾶλλον αὐτῆς τὴν μνήμην, ἀεὶ τὰ αὐτὰ φέρων τοῦ εἰδέναι κωλύματα. Πῶς δ' ἂν καὶ ὑπὸ τῶν αἰσθήσεων ἄγοιτο πρὸς ἀνάμνησιν, ὑφ' ὧν ἔπαθε τό γε ἐπιλελῆσθαι; Εἰ δ' ἱκαναί εἰσιν αὗται καὶ τὰ ἐκ τούτων φαντάσματα ἀνάληψιν ἐν ψυχῇ ποιῆσαι γνώσεως ἀπολωλυίας, τί μὴ καὶ ὁδηγήσουσιν αὐτὴν ἐξ ἀρχῆς ἐπὶ τὴν τῶν ἀρχῶν γνῶσιν, πρὸς ἣν δυνάμει ἐστίν; ὧν δὴ γινωσκομένων, καὶ

---

19 *τῷ χρόνῳ* en interligne de la main de Scholarios A, om D 22 *τοῦ πάσχοντος*: *τῆς φύσεως* D, corrigé de *τοῦ σώματος* A

τὰ ἐξ αὐτῶν ἀνάγκη γινώσκεσθαι· καὶ ὅθεν ποτὲ ἧκεν ἂν αὐτῇ, πρὸ τοῦ σώματος γενομένῃ καὶ οὔσῃ, ἡ πάντων γνῶσις ἀρχῶν τε καὶ συμπερασμάτων, διὰ τί μὴ ἐκεῖθεν ἂν αὐτῇ παραγένοιτο καὶ ἐν σώματι δημιουργηθείσῃ δύναμίς τις τῶν καθόλου ἀρχῶν γνωστική, ἧς ὥσπερ πυρός τινος f. 164 | ἐν ταῖς τῶν φαντασμάτων ὕλαις ἐξαπτομένης, πάντα νοεῖ, ὅσα διὰ τῶν ἀρχῶν ἐκείνων νοεῖν δυνατόν ἐστι; Πῶς δὲ καὶ εἰς τὸ σῶμα ἥκει ἐπιλησομένη; Οὕτω γὰρ αὐτὴν δεῖ τὴν δίκην ὑπέχειν κατὰ Πλάτωνα, καὶ μηδενὸς ἂν χείρονος αὐτῇ γενομένου τῆς τοιαύτης ἀγνοίας, ᾗ μάλιστα τῷ σώματι χρῆται πρὸς τὴν τεῦξιν τῆς ἐπιστήμης, ἐπειδὰν εὐθὺς δυνηθῇ αἱρουμένη τι καὶ κρίνουσα πράττειν· δῆλον γὰρ ὅτι διὰ πασῶν τῶν ὀρθῶν ἐνεργειῶν αὐτοῦ καὶ αὐτῶν ἔτι τῶν πρακτικῶν ὁ ἄνθρωπος πρὸς τὴν τῆς ἀληθείας θεωρίαν ἐπείγεται, ὥσπερ διὰ τοῦτο εἰς τόνδε τὸν βίον ἐλθών, ἵνα τύχῃ τῆς ἐπιστήμης.

Τίς δὲ καὶ ἀνάγκη τὴν ἀνθρωπίνην ψυχὴν ἀπολωλεκυῖαν μόνον ἀναζητεῖν, ἀλλὰ μὴ εὐθὺς γενομένην κτᾶσθαι τὰ βελτίω, εἴ γε ἑκάτερον τῇ ἐμφύτῳ τῆς ἀληθείας ἐπιθυμίᾳ καὶ τῇ πρὸς ταύτην συμπεφυκυίᾳ παρασκευῇ πράττειν δύναται, καὶ πρὸς ἑκάτερον τοῖς αὐτοῖς βοηθήμασι χρῆται, τῷ τε χρόνῳ καὶ τοῖς φαντάσμασι καὶ τῇ πρεπούσῃ σπουδῇ, καὶ μὴν καὶ τούτων τῶν βοηθημάτων δεηθείη γ' ἂν πάντως, τὰ μήπω προσόντα πρότερον κτωμένη; Οὐ γὰρ ἔστιν ἅμα πάντων τυχεῖν, ἀλλὰ δεῖ μὲν εἰδέναι τὰ καθόλου, ὡς ἂν ἐκ τούτων εἰδῇ τὰ ἄλλα βεβαίως· ταῦτα δὲ ἀθροίζειν ἐκ τῶν καθέκαστα δεῖ· πρὸς δὲ τὴν τούτων αὖ γνῶσιν πολλάκις μὲν ἐνεργῆσαι ταῖς αἰσθήσεσιν, ἐν πολλῷ δὲ χρόνῳ ταῦτα ἀνύσαι πᾶσα ἀνάγκη· ἀναμιμνήσκεσθαι δὲ πάντων ὁμοῦ δυνατὸν ἂν ἦν τὴν καὶ πάνθ' ὁμοῦ πρότερον εἰδυῖαν, καὶ πάντων ὑφὲν ἐπιλαθομένην, ἐπειδὰν ἤδη πρῶτον ἀναμιμνήσκεσθαι οἵα τε ἦν, καὶ ταῦτα οὐκ ἐν πλείονι χρόνῳ ἐπιλελησμένην, ἀλλὰ πρὶν ἑνωθῆναι τῷ σώματι πάντα γινώσκουσαν καὶ ἐξ ὑπογυίου ἀμαυρωθεῖσαν. Οὐ γὰρ ἄλλας ἐξ ἄλλων αἰσθήσεις ἀμείβομεν, δι' ὧν πρὸς τὴν ἑκάστου χωρὶς ἀνάληψιν ἔρχεσθαι φαῖμεν ἂν καὶ πρός γε τὰ βελτίω βελτίους ἀεί, ἀλλ' αἱ αὐταὶ πρὸς ἅπασαν ἡμῖν ὑπηρετοῦσι τὴν γνῶσιν· ὅθεν ἐπειδὰν ἄρξωνται πρῶτον οὐκ ἐμποδίζειν τῷ διορατικῷ τῆς ψυχῆς, ἐκλάμπειν εἰκός ἐστιν εὐθὺς ἐν αὐτῇ τὰς προειλημμένας ἕξεις f. 164v | καὶ πάντων ἀθρόον ἀναμιμνήσκεσθαι, καθάπερ ἅπας ὁ ὑπὲρ ἡμᾶς ἀὴρ αὐτίκα φωτίζεται, τοῦ ἐπιπροσθοῦντος νέφους ταῖς ἡλιακαῖς ἀκτῖσιν ἀπηλλαγμένος. Ἀλλὰ τάς τε ἀναμνήσεις καὶ μετενσωματώσεις καὶ προϋπάρξεις τῶν ψυχῶν, οἷς οἱ περὶ Πλάτωνα χαίρουσιν, ἐλέγχειν οὐδεὶς νῦν ἐμοὶ

7-8 *καὶ μηδενὸς — ἀγνοίας* en marge de la main de Scholarios A, om D 18 *καὶ τῇ πρεπούσῃ σπουδῇ* en interligne de la main de Scholarios A, om D 26-28 *καὶ ταῦτα — ἀμαυρωθεῖσαν* en marge de la main de Scholarios A, om D 29 *φαῖμεν* corrigé de *φαίημεν* AD

σκοπὸς γέγονεν, οὐδὲ τοὺς λόγους ἀναιρεῖν, οἷς ταῦτα τιθέναι προήχθησαν· καὶ ταῦτα γὰρ παρέργως εἴρηται καὶ ὥσπερ ἐν ἐκδρομῇ, ἀλλ' Ἀριστοτέλει μόνον ἀμύνειν ἐν οἷς αὐτῷ Πλήθων ἐπηρεάζει.

Δέδεικται τοίνυν κἂν τούτῳ τῷ μέρει φαύλως τε καὶ ἑαυτῷ συμφώνως τὴν μέμψιν ἐπενεγκών, οὐκ ἄμεμπτον δὲ αὐτοῦ φησιν οὐδὲ ἐκεῖνο, ὅτι τὸν ἀνθρώπινον νοῦν ἄφθαρτον καὶ ἀΐδιον εἶναι τιθέμενος, ὅμως οὐδαμοῦ τῶν ἠθικῶν αὐτοῦ πραγματειῶν τῷ λόγῳ τούτῳ φαίνεται χρώμενος, καίτοι πλεῖστον τοῖς περὶ τῶν ἠθῶν λόγοις συμβαλλομένῳ· ὃ δὲ τούτου πολλῷ χεῖρον, ὅτι οὐδ' εἶναι τῷ ἀνθρώπῳ, μετὰ τελευτὴν τοῦδε τοῦ βίου, οὐδ' ὁτιοῦν ἀγαθὸν ἀξιοῖ· τότε δέ, εἴπερ ἄλλοτέ ποτε, εὖ πράττειν εἰκός ἐστι τὸν ἄνθρωπον, καὶ πολὺ μακαριώτερον ἢ ἐν τῷδε τῷ βίῳ ζῆν.

Ταῦτα τοῖς περὶ ψυχῆς οὐ καλῶς εἰρημένοις Ἀριστοτέλει Πλήθων προσέθηκε, καίτοι οὐ πάντα τοῖς εἰρημένοις, ἀλλὰ καὶ τοῖς σεσιγημένοις προστιθέναι δέον. Ἐγὼ δὲ τοῦ μὲν προτέρου χάριν φημὶ ὡς οὐ πάντα μιγνύναι ὁ Φιλόσοφος οἶδεν, ὥσπερ Πλάτων φυσικὴν καὶ μαθηματικὴν καὶ θεολογίαν οὐδὲν διέκρινεν· ὁμοῦ δὲ πάντα ἐποίει χρήματα ὥσπερ τις ἐνθουσιῶν· ἀλλ' ἑκάστῳ γένει τοὺς ἰδίους ἀποδιδόναι λόγους προθέμενος, ἐπειδὰν αἴσθηται καὶ πρός τινα ἄλλην ἐπιστήμην ὑποφερομένους αὐτούς, ὅπερ ἐπὶ πολλῶν ὑλῶν ἐγχωρεῖ γίγνεσθαι, εὐθὺς ἀποπηδᾷ, μὴ καὶ λάθῃ πρός τινα ἑτέραν παρασυρεὶς θεωρίαν καὶ τοῦ σκοποῦ διαμαρτών, | ὃν f. 165 μάλα καλῶς ἑαυτῷ προὔθετο· ταύτην δὲ κἂν τοῖς ἠθικοῖς διαφυλάττει τὴν γνώμην, ὃ καὶ ἐξ ἄλλων πολλῶν δῆλον ἂν γένοιτο, καὶ ἐξ ὧν ἐν τῷ εἰκοστῷ φησίν. Εἰπὼν γάρ· „Καὶ αἱ τοῦ συνθέτου ἀρεταὶ ἀνθρωπικαὶ καὶ ὁ βίος δὴ ὁ κατ' αὐτὰς καὶ ἡ εὐδαιμονία, ἡ δὲ τοῦ νοῦ κεχωρισμένη“, ἐπήγαγε· „Τοσοῦτον γὰρ περὶ αὐτῆς εἴρηται· διακριβῶσαι γὰρ μεῖζον τοῦ προκειμένου ἐστί“, τουτέστιν ἑτέρᾳ μείζονι καὶ ὑψηλοτέρᾳ ἐπιστήμῃ οἰκεῖον, τῇ πρώτῃ σοφίᾳ, εἰ δέ τις βούλοιτο, καὶ τῇ περὶ ψυχῆς, μείζονι καὶ ταύτῃ τῆς προκειμένης οὔσῃ δήπου· ἄφθαρτον μὲν οὖν καὶ ἀΐδιον ἐν τοῖς φυσικοῖς οὐ λέγει τὸν ἀνθρώπινον νοῦν οὑτωσὶ φανερῶς δι' ἣν αὐτός φησιν αἰτίαν, ὡς ταῦτα δηλονότι μέλλων ἐν τοῖς ἁρμόττουσι τόποις μετ' ἀποδείξεως λέγειν, ἀλλὰ καὶ χωριστὸν καὶ θεῖον καὶ τῶν ἐν ἡμῖν τὸ θειότατον καὶ κράτιστον τῶν ἐν ἡμῖν, οἷς ἕπεται καὶ ἀΐδιον εἶναι αὐτὸν καὶ ἄφθαρτον, καὶ τὰ τοιαῦτά φησιν ὑπ' ἀνάγκης, τὰς τοῦ ἀνθρώπου ἐνεργείας διακρίνειν δεῆσαν· καὶ ὃ δὲ Πλήθων ὡς Ἀριστοτέλει παρεωραμένον αὐτὸς λέγων σεμνύνεται, ὅτι τοῦτ' ἂν μάλιστα καὶ κυριώτατα εἴη ὁ ἄνθρωπος, ὁ νοῦς δηλονότι, τοῦτο πρὸ αὐτοῦ Ἀριστοτέλης ἐν κ' τῶν Ἠθικῶν λέγει, αὐτῇ λέξει φάσκων οὑτωσί· „Τὸ γὰρ οἰκεῖον ἑκάστῳ τῇ φύσει κράτιστον καὶ ἥδιστον ἔσθ' ἑκάστῳ· καὶ τῷ ἀνθρώπῳ δὴ ὁ κατὰ νοῦν

17 *ἰδίους*: *οἰκείους* D 29 *φυσικοῖς*: *ἠθικοῖς* D

βίος, εἴπερ μάλιστα τοῦτο ἄνθρωπος, τουτέστιν ὁ νοῦς.“ Οὗτος ἄρα καὶ εὐδαιμονέστατος. Ἀλλ᾽ ᾗ που τὸ μέρος ἐκεῖνο, ὡς δὴ κατ᾽ ἄλλο τι ἥκιστα συμφέρον Πλάτωνι, Πλήθων παρῆκεν ἑκών. Οὕτως Ἀριστοτέλης καὶ ἑαυτῷ συνῳδὰ φθέγγεται καὶ πᾶσι σοφοῖς καὶ αὐτῷ Πλάτωνι ἐν οἷς ἂν δέοι, καὶ οὕτως ἡ λέξις αὐτοῦ κτείνει τοὺς συκοφάντας.

Ὅτι δὲ οὐδ᾽ εἶναι τῷ ἀνθρώπῳ μετὰ τελευτὴν τοῦδε τοῦ βίου οὐδ᾽ ὁτιοῦν ἀγαθὸν ἀξιοῖ Ἀριστοτέλης, πῶς οὐ καὶ τοῦτο Πλήθωνος συκοφαντία σαφής; f. 165v Ποῦ γὰρ Ἀριστοτέλης | ταῦτα λέγει, οὐκ ἂν ἔχοι δεῖξαι Πλήθων, εἰ μὴ τὰ ἐν τέλει τοῦ πρώτου τῶν Ἠθικῶν διηπορημένα. Ἐκεῖ δὲ καὶ τοὐναντίον ἅπαν φησί· πρῶτον μὲν γὰρ τὴν ἀπορίαν κατασκευάζων λέγει· „Δοκεῖ γὰρ εἶναί τι τῷ τεθνεῶτι καὶ κακὸν καὶ ἀγαθόν, εἴπερ καὶ τῷ ζῶντι, μὴ αἰσθανομένῳ δέ, οἷον τιμαὶ καὶ ἀτιμίαι καὶ τέκνων καὶ ὅλως ἀπογόνων εὐπραξίαι τε καὶ δυστυχίαι.“ Καὶ πάλιν· „Ἄτοπον δὴ γένοιτ᾽ ἂν εἰ συμμεταβάλλοι καὶ ὁ τεθνεώς, καὶ γίνοιτο ὁτὲ μὲν εὐδαίμων, πάλιν δὲ ἄθλιος· ἄτοπον δὲ καὶ τὸ μηδὲν μηδ᾽ ἐπί τινα χρόνον συνικνεῖσθαι τὰ τῶν ἐκγόνων τοῖς γονεῦσιν.“ Ἐνταῦθα γοῦν οὐδεὶς ἂν Ἀριστοτέλη φωράσειεν ἀργίαν τινὰ ἢ ἀνυπαρξίαν τοῖς τελευτήσασι περιάπτοντα· οὐδὲ γὰρ ἀπορεῖ εἰ ὑπάρχει τι ἀγαθὸν τῷ ἀνθρώπῳ μετὰ τελευτὴν τοῦ βίου, ἢ μή, ἀλλ᾽ εἴ τι τῶν ἀνθρωπίνων ἀγαθῶν, ἢ κακῶν, ἃ τοῖς οἰκείοις ἔπεισιν, ἅπτεταί πῃ κἀκείνων μετὰ τὴν τοῦ βίου τελευτήν. Τοσοῦτον δ᾽ ἀπέχει μηδένα τῶν τελευτησάντων μακάριον ἀποφαίνεσθαι εἶναι, ὥστε κἀν τῇ λύσει τοῦ προτέρου ζητήματος, ὅπερ ἦν εἰ δεῖ ζῶντας τοὺς ἀνθρώπους μακαρίζειν, φησίν· „Οὐδ᾽ οὕτω μακαρίους ἐροῦμεν τῶν ζώντων οἷς ὑπάρχει καὶ ὑπάρξει τὰ λεχθέντα, τουτέστιν αἱ κατ᾽ ἀρετὴν ἐνέργειαι τέλειοί τε καὶ ἀνεμπόδιστοι ἐν βίῳ τελείῳ.“ Εἶτ᾽ ἐπάγει· „Μακαρίους δὲ ἀνθρώπους, τουτέστι κατά γε τὴν ἁρμόττουσαν τῇ ἀνθρωπίνῃ ζωῇ“, εἴτ᾽ οὖν τῇ τοῦ συνθέτου μακαριότητα, ὡς τῇ νοερᾷ τε καὶ θείᾳ φύσει ἄλλης πρεπούσης μακαριότητος βεβαίου τε πάντῃ καὶ μηδεμίαν ὑπομενούσης μεταβολήν. Εἶτα τὴν ἀπορίαν τοῦ προκειμένου ζητήματος ἐπιλυόμενος, μετά τινα λέγει· „Συλλογιστέον δὴ καὶ ταύτῃ τὴν διαφοράν, μᾶλλον δ᾽ ἴσως τὸ διαπορεῖσθαι περὶ τοὺς κεκμηκότας, εἴ τινος ἀγαθοῦ κοινωνοῦσιν, ἢ τῶν ἀντικειμένων· ἔοικε γὰρ ἐκ τούτων, εἰ καὶ διϊκνεῖται πρὸς αὐτοὺς ὁτιοῦν, f. 166 | εἴτε ἀγαθόν, εἴτε τοὐναντίον ἀφαυρόν τι καὶ μικρὸν ἢ ἁπλῶς, ἢ ἐκείνοις εἶναι· εἰ δὲ μή, τοσοῦτόν γε καὶ τοιοῦτον, ὥστε μὴ ποιεῖν εὐδαίμονας τοὺς μὴ ὄντας, μηδὲ τοὺς ὄντας ἀφαιρεῖσθαι τὸ μακάριον. Συμβάλλεσθαι μὲν οὖν τι φαίνονται τοῖς κεκμηκόσιν αἱ εὐπραξίαι τῶν φίλων· τοιαῦτα δὲ καὶ τηλικαῦτα, ὡς μήτε τοὺς εὐδαίμονας μὴ εὐδαίμονας εἶναι ποιεῖν, μήτ᾽ ἄλλο τῶν τοιούτων μηδέν.“

---

8 ἔχει A 23 εἰ δ᾽ οὔτω D

Οὕτω καὶ εὐδαίμονας ἐνίους τῶν κεκμηκότων εἶναι τίθεται καὶ τὴν εὐδαιμονίαν αὐτῶν μὴ σαλεύεσθαι ὑπὸ τῆς ἐνταῦθα δυσπραγίας τῶν συγγενῶν, μήτ' αὖ τοὺς ἐν ἀθλιότητι τῶν κεκμηκότων εὐδαίμονας ὑπὸ τῆς ἐνταῦθα τῶν συγγενῶν εὐπραξίας γίνεσθαι. Εἰ γὰρ καὶ διϊκνεῖται πρὸς αὐτοὺς ὁτιοῦν τῶν ἐντεῦθεν, εἴτε ἀγαθόν, εἴτε κακόν, καὶ εἰ κοινωνοῦσί τινος ἀγαθοῦ ἢ κακοῦ τοῖς ἐνταῦθα θάτερον τούτων ὁποτερονοῦν ὑφισταμένοις τῶν συγγενῶν, ἀλλ' ἀφαυρόν τι καὶ μικρὸν εἶναι τοῦτο. Ποῦ τοίνυν ἐνταῦθά φησι μηδ' ὁτιοῦν εἶναι τοῖς τελευτήσασιν ἀγαθὸν ἐκεῖ, ἐξ οὗ καὶ τὸν Ἀλέξανδρον ὑπαχθῆναι πρὸς τὰς περὶ ψυχῆς φλυαρίας; Ἀλλ' εἰ μήτε τὸ ζήτημα τοῦ Φιλοσόφου σαφὲς ἦν, περὶ τῶν ἐνταῦθα ἀγαθῶν γεγονός, μήτε τὸ διϊκνεῖσθαι προσέκειτο, μήτε τὸ κοινωνεῖν, μήτε τὸ ὡς περὶ ὄντων ὅλως που τῶν κεκμηκότων ἀποφαίνεσθαι ὅτι φαύλην τινὰ ῥοπὴν αὐτοῖς τὰ ἐνταῦθα τῶν συγγενῶν ἀγαθὰ ἢ φαῦλα ποιεῖ, καὶ οὔτε εὐδαιμονίαν ποιεῖ μὴ οὖσαν, οὔτ' ἀθλιότητα, ἀλλ' ἴσως ῥοπήν τινα ἐν τῇ οὔσῃ, εἶχεν ἂν καὶ Ἀλέξανδρος εἰς Ἀριστοτέλη τὴν τῆς πλάνης αἰτίαν ἀνενεγκεῖν, καὶ Πλήθων συκοφαντεῖν. Νῦν δὲ τούτων τε οὕτως ἐχόντων καὶ τῆς τοῦ Φιλοσόφου διανοίας πόρρωθεν φαινομένης, τίς οὐ καταγελάσεται καὶ ἀμφοτέρων, | τοῦ δὲ συκοφάντου καὶ πλέον; f. 166

Εἰ δὲ τὰ ἐν τρίτῳ τῶν Ἠθικῶν περὶ τοῦ ἀνδρείου λεγόμενα Πλήθωνι τοῦτον ἐνέβαλε τὸν λογίσμον· φησὶ γὰρ Ἀριστοτέλης ἐκεῖ· „Φοβερώτατος δ' ὁ θάνατος· πέρας γάρ, καὶ οὐδὲν ἔτι τῷ τεθνεῶτι δοκεῖ οὔτε ἀγαθὸν οὔτε κακὸν εἶναι“· ἀλλ' ἐχρῆν εἰδέναι Πλήθωνα, ὅτι τὴν ἀνδρίαν μάλιστα περὶ τοὺς τοῦ θανάτου κινδύνους καὶ φόβους Ἀριστοτέλης εἶναι τιθεὶς ἐκεῖ, καὶ λόγῳ δείκνυσιν· ὑπομενετικώτερον μὲν γὰρ εἶναι πάντων φησὶ τὸν ἀνδρεῖον, καὶ τοῦτ' εἶναι ὥσπερ ἐξαίρετον τοῦ ταύτῃ κοσμουμένου τῇ ἕξει, οὐ μὴν ἐκ τῆς συμφορήσεως πάντων τῶν δυσχερῶν, ἀλλ' ἐκ τῆς τῶν μεγίστων ὑπομονῆς καὶ πλήθει ὀλίγων ὄντων τοῦτον γνωρίζεσθαι· μέγιστον δὲ κακὸν καὶ φοβερώτατον τῶν σωματικῶν ἁπάντων εἶναι τὸν θάνατον. Οὐκοῦν περὶ τοὺς τοῦ θανάτου κινδύνους ἰδίως συνεστάναι τὴν ἀνδρείαν, φοβερώτατον δὲ τὸν θάνατον εἶναι, ὅτι πέρας ἐστὶ τῆς ἐνταῦθα ζωῆς καὶ οὐδὲν ἔτι τῷ τεθνεῶτι δοκεῖ, οὔτε ἀγαθόν, οὔτε κακὸν εἶναι· πάντα γὰρ τὰ σωματικὰ ἀγαθὰ ἀναιρεῖται εὐθὺς ἀπελθόντος· ὧν εἵνεκα κοινῶς ζῆν ὀρέγονται οἱ ἄνθρωποι· ὡσαύτως δὲ καὶ τὰ κακά· τούτου δὲ οὐδέν ἐστιν ἀληθέστερον.

Ὅτι μὲν οὖν ὡς ἀναιρετικοῦ τῶν σωματικῶν ἀγαθῶν, ὁμοίως δὲ καὶ κακῶν τοῦ θανάτου τυγχάνοντος, ᾗ δὴ καὶ φοβερώτατος πᾶσιν εἶναι δοκεῖ, οὐχ ὡς μηδὲν ἀγαθὸν ἔχοντος τοῦ ἀνθρώπου μήτε κακὸν μετὰ τὴν ἐνταῦθα ζωήν, μήθ' ὅλως που ὄντος, ταῦτ' εἴρηκεν Ἀριστοτέλης, ἥ τε πρό-

---

14 *ποιεῖν* avant *εἶχεν* D, gratté dans A

θεσις αὐτοῦ καὶ ἡ λέξις κάλλιστα μαρτυρεῖ. Εἰ δὲ τὸν θάνατον καὶ αὐτὸς πάντων τῶν προσκαίρων κακῶν φοβερώτατον εἶναι ἡγεῖτο, ἢ φοβερώτατον εἶναι τῶν ἀνθρώπων τοῖς γε πλείστοις δοκεῖν, εἴτε καὶ αὐτὸς f. 167 οὕτως ἡγούμενος βέλτιον περὶ τῶν προσκαίρων | ἀγαθῶν τε καὶ φαύλων ἢ οἱ περὶ Πλάτωνα τυγχάνει νενομικώς, ταῦτα τό γε νῦν ἔχον παρείσθω. Ἐμοὶ γὰρ δοκεῖ φαύλους ἂν τινας πεισθῆναι τοῖς περὶ Πλάτωνα τὰ ἐν τῇ ζωῇ τῇδε ἀγαθὰ μὴ εἶναι τοῦ ἀνθρώπου ἀγαθὰ ἀξιοῦσι, μήτε κακὰ τὰ κακά, καὶ ἑπομένως μηδὲ φοβερά· τοὺς δὲ σοφοὺς καὶ νοῦν ἔχοντας τοῖς ἐκ τοῦ Περιπάτου συμφθέγξασθαι ἂν τά τε πρόσκαιρα ἀγαθὰ ἐλάχιστα εἶναι τῶν ἀγαθῶν ἀξιοῦσι καὶ τἀναντία τούτων αὖθις φοβερὰ μέν, ἀλλ' οὐχ οὕτως ὥστε καὶ αὐτῶν χάριν τῶν σπουδαίων ἔργων ἀφίστασθαι· καὶ τῶν φοβερῶν δὲ πλείους εἶναι διαφοράς, ὡς δὲ καὶ τῶν ἀγαθῶν. Εἰ γὰρ ταῦτ' εἶχεν ᾗ ἐδόκει τοῖς περὶ Πλάτωνα, οὐδεὶς ἂν ἦν σπουδαῖος ἐν ἀνθρώποις οὐδ' ἐπαινεῖν οὐδένα ἐχρῆν, οὔτε ἀμείβεσθαι ἐν ταῖς πολιτείαις, καὶ σπανιώτερον ἂν ἦν χρῆμα ὁ ἀνδρεῖος, τουτέστιν ὁ πάντα μὲν τὰ πρόσκαιρα ἀγαθὰ ὡς μὴ οἰκεῖα φεύγων, πάντα δὲ τὰ δυσχερῆ ὡς μηδὲ αὐτὰ οἰκεῖα ὄντα ῥᾳδίως ὑπιὼν κατ' αὐτούς, ἢ ὅ γε ὡς ἀληθῶς ἀθάνατος ἄνθρωπος, τουτέστιν ὁ κατ' ἐνέργειαν νοῦς, ὡς αὐτοὶ τοῦτ' ἐπὶ διαβολῇ εἰς Ἀριστοτέλη κακῶς ἀναφέρουσιν, ὡς μηδενὸς οὖν προσθεμένου γ' ἂν τούτοις τῶν γε τὰ βελτίω φρονούντων, καὶ ταῦτ' ἀπὸ σαθροτάτης ὁρμωμένοις ἀρχῆς τῶν γε περὶ τῆς ἀνθρωπίνης ψυχῆς φλυαριῶν, ἃς ἔφθημεν ἐξελέγξαντες, οὐδεμία ἀνάγκη ταῦτ' ἐξετάζειν ἐν τῷ παρόντι.

Ἀπολελεῖφθαι δέ φησιν Ἀριστοτέλη κἂν τοῖς περὶ τῶν ἀρετῶν λόγοις τοῦ καλῶς ἔχοντος, μεσότητας λέγοντα τὰς ἀρετάς, τὰς δὲ κακίας ἀκρότητας· καὶ ἁπλῶς μὲν οὐ διασαφοῦντα πότερον ποιῷ, ἢ ποσῷ ὁρίζεται τὴν τοιαύτην μεσότητα, δοκοῦντα δὲ ὁρίζεσθαι τῇ ποσότητι, ἐξ ὧν φησι f. 167v κακίαν εἶναι τὸ μὴ τοὺς σκηπτοὺς δεδιέναι. Τοῦτο δ' οὔτ' | ἀληθές ἐστι, φησίν, οὔτε Πλάτωνι καὶ τοῖς τὰ βελτίω φρονοῦσι δοκεῖ, ἀλλὰ ποιῷ τὸ θαραλέον καὶ φοβερόν, ὡσαύτως δὲ καὶ τὰ ἄλλα ὁρίζονται, τῷ αἰσχρῷ καὶ οὐκ αἰσχρῷ, καὶ καλῷ καὶ οὐ καλῷ ταῦθ' ὁριζόμενοι· σκηπτοὺς δὲ καὶ σεισμοὺς ἀνόητόν ἐστι, φησί, δεδιέναι· οὔτε γὰρ αἰσχρόν ἐστιν ἐκ τούτων ἀποθανεῖν καὶ τῶν ἐπ' ἐλάχιστα συμβαινόντων ἐστὶ τὰ τοιαῦτα, καὶ πρὸς τούτοις οὐδ' ἔστιν ὅπως ἂν τις καὶ δεδιὼς τὰ τοιαῦτα φυλάξαιτο. Εἶτα συγχωρεῖ μὲν ἐν μεσότητι εἶναι τὸν καλόν τε καὶ ἀγαθόν, ἀλλ' ὡς τοῖς ἐναντίοις πάθεσι χρώμενον· τῷ δὲ αἰσχρῷ καὶ οὐκ αἰσχρῷ ταῦτα ὁρίζοντα οὐ μὴν ὡς ἴσως ἀπέχοντα τῶν ἐπὶ τὸ μεῖζόν τε καὶ ἔλαττον ἀκροτήτων, καὶ τὴν κακίαν Ἀριστοτέλους, φησίν, ἐν μόναις ταῖς ἀκρότησι τιθεμένου, τὴν δὲ ἀρετὴν ἐν μεσότητι, τοὐναντίον ἔστιν ἰδεῖν καὶ τὸν

---

36 *ὡς ἴσον* D

κάκιστον ἔν τινι μεσότητι ὄντα· ὁ γὰρ ὧν μὲν ἂν δέοι ἐπιθυμεῖν ὀλιγωρῶν, ὧν δ' ἂν ὀλιγωρεῖν δέοι ἐπιθυμῶν, παμμόχθηρος ὤν, μέσος ἐστί πως δυοῖν ἐξ ἡμισείας ὄντων μοχθηρῶν, τοῦτο ἐπιθυμοῦντος ὧν χρὴ καὶ ὧν μὴ χρή, καὶ τοῦ πάντων ὁμοίως ὀλιγωροῦντος.

Ὁ μὲν δὴ Πλήθων ἐκ τοιούτων τινῶν προαχθείς, Ἀριστοτέλη ἀπολειφθῆναι λέγει τοῦ δέοντος, ὅμοια δὴ τοῖς προτέροις κἀνταῦθα πάσχων, καὶ ὧν ἐς Ἀριστοτέλη προπετῶς ἀφίησιν, ἀγνοίας τε ὁμοῦ καὶ συκοφαντίας δόξαν ἀποκερδαίνων.

Ἀλλ' ὡς μὲν ἐν μόναις ταῖς ἀκρότησιν Ἀριστοτέλης τὴν κακίαν τίθεται, φανερῶς ἐστι ψεῦδος· οὔτε γὰρ πᾶσαν ἀρετὴν μεσότητα εἶναί φησιν, οὔτε κακίαν πᾶσαν ἀκρότητα, ἀλλ' ὧν ἂν ἡ ἀρετὴ μεσότης εἴη, τούτων τὴν κακίαν ἀκρότητα τίθεται· οὔτε δὲ πᾶσαν πρᾶξιν, οὔτε πᾶν πάθος ἐπιδέχεσθαι τὴν μεσότητα· φθόνος γάρ, φησί, καὶ μοιχεία καὶ τὰ τοιαῦτα | τῷ αὐτὰ φαῦλα εἶναι οὕτω λέγεται, ἀλλ' οὐχ αἱ ὑπερβολαὶ αὐτῶν οὐδ' αἱ f. 168 ἐλλείψεις, ὅτι ταῦτα ὡς ἂν πράττηται ἁμαρτάνεται· τοσοῦτον ἀπέχει πᾶσαν κακίαν ἐν ταῖς ἀκρότησι τιθέναι. Ὁ δέ, ὡς ἐν μόναις ταῖς ἀκρότησι τὴν κακίαν Ἀριστοτέλους τιθέντος, πειρᾶται δεικνῦναί τινα κακίαν οὖσαν μεσότητα, τέρας τι τοῦτο λέγων. Ὅτι μὲν γὰρ ὁ πάντων μὲν καλῶν ὀλιγωρῶν, αἰσχρῶν δὲ πάντων ἐπιθυμῶν παμμόχθηρός ἐστιν, εἴ γε καὶ δυνατόν ἐστί τινα καθάπαξ εἶναι τοιοῦτον, τοῦτο δῆλόν ἐστι, καὶ διὰ τοῦτο ἄκρως ἂν εἴη κακὸς ὅ γε τοιοῦτος, ἐπιτεταμένην ἔχων τὴν μοχθηρίαν, ἅτε ἐν τῷ αἱρεῖσθαι καὶ φεύγειν καὶ περὶ πάντα ἐξαμαρτάνων· ἐν μεσότητι δὲ πῶς ἂν εἴη; Εἰ γὰρ τὸν πάντων ἐπιθυμοῦντα καὶ πάντων ὀλιγωροῦντα, ὧν τε ἂν δέοι καὶ μή, τούτους εἶναι λέγει τοὺς ἡμιμοχθήρους, ὧν μέσον ἐκεῖνον εἶναι, ἀλλ' οὔτε δυνατόν ἐστι τοιούτους εἶναί τινας, οὔτ' ἂν εἴη τούτων μέσος ὅ γε παμμόχθηρος, μηδὲ ὄντων ὅλως· πῶς γὰρ ἂν καὶ εἴη τις πάντων ἅμα ἐπιθυμῶν ὧν χρὴ καὶ ὧν οὐ χρή, οἷον σωφρονεῖν καὶ ἀκολασταίνειν ἅμα, ἢ δίκαια πράττειν καὶ ἀδικεῖν, ἢ εἰδέναι καὶ μὴ εἰδέναι; Οὐ μᾶλλον ἢ ἔστιν εἰπεῖν καὶ θερμαίνεσθαι καὶ ψύχεσθαι ἐπιθυμεῖν κατὰ ταὐτὸ τὸν αὐτόν. Ἀλλ' ἐνίοτε μὲν ἐπιθυμεῖν πάντων ὧν χρή, ἢ τῶν γε πλείστων, ἐνίοτε δὲ ὧν οὐ χρὴ τὸν αὐτὸν ἐνδέχεται, ῥᾳδίως τῆς ἀνθρωπίνης προαιρέσεως ἐπὶ τὰ ἐναντιώτατα τρέπεσθαι δυναμένης· ὡσαύτως δὲ καὶ τὸν τήμερον ὀλιγωροῦντα πάντων ὧν χρή, αὔριον ὀλιγωρεῖν πάντων ὧν οὐ χρή. Ἔδει δ' ἂν εἶναι τοιούτους τινάς, οἵους λέγει Πλήθων εἶναι τοὺς ἡμιμοχθήρους, ἅμα ἑκάτερον τὸ τοιοῦτον ἦθος ἐπιδεικνύντας καὶ ἀπὸ τούτου γνωριζομένους καὶ ὀνομαζομένους, εἴ γε ἔμελλεν εἶναί τις μεταξὺ τούτων ὁ παμμόχθηρος.

Τούτων τοίνυν ἀδυνάτων φαινομένων, | ὁ μὲν πάντων ὧν χρὴ ὀλι- f. 168v

4 τοῦ τε πάντων D

γωρῶν καὶ πάντων ὧν χρὴ ἐπιθυμῶν, ὁ αὐτὸς ἂν εἴη βέλτιστος ὤν· ὁ δὲ πάντων ὧν οὐ χρὴ ὀλιγωρῶν καὶ πάντων ὧν οὐ χρὴ ἐπιθυμῶν, ὁ αὐτὸς μοχθηρότατος ὤν, καὶ ἑκάτερος αὐτῶν ἄκρος τις ἂν εἴη· τὸ δὲ μέσον μάλιστ' ἂν ἔχοι ὁ τῶν μὲν ἐπιθυμῶν δεόντων, τῶν δὲ μὴ δεόντων ὡς δὲ καὶ ὀλιγωρῶν, οἵους δὴ εἶναι τοὺς πλείστους ἐν τοῖς ἀνθρώποις συμβαίνει, τῶν ἄκρων ἐκείνων ὄντων σπανίων, ἵνα μὴ λέγω ἀδυνάτων. Οὐ μὴν οὐδὲ οὗτος μέσος ἐστὶν εἰ μὴ κατὰ τὴν ὕλην, καὶ διὰ τοῦτο οὐκ ἔστι βέλτιστος· τὴν γὰρ μεσότητα τῶν ἠθικῶν ἐνεργειῶν καὶ παθῶν κατὰ τὸν λόγον, οὐ κατὰ τὴν ὕλην ὁρίζεσθαι δεῖ· θαῦμα δὲ εἰ ἔσται τις πάντων ὀλιγωρῶν χρηστῶν τε καὶ φαύλων, οὐδενὸς δὲ ἐπιθυμῶν, ἢ πάντων ἐπιθυμῶν, οὐδενὸς δὲ ὀλιγωρῶν· αἱρέσει τε γὰρ καὶ φυγῇ καὶ ἐπιθυμίᾳ καὶ θυμῷ τὸν ἀνθρώπινον διοικούμενον ὁρῶμεν βίον. Εἰ δ' ἐν τῷ ἐπιθυμεῖν ὧν οὐ χρή, ὀλιγωρήσει πάντων ὧν ἂν ἔδει ἐπιθυμεῖν, καὶ ἐν τῷ ἐπιθυμεῖν ὧν χρή, ὀλιγωρήσει πάντων ὧν οὐκ ἂν δέοι ἐπιθυμεῖν, ταὐτὸν ἔσται εἰπεῖν τινα ἐπιθυμοῦντα ὧν χρὴ καὶ ὧν οὐ χρή, καὶ ὀλιγωροῦντα, εἰ καὶ μὴ περὶ τὰ αὐτὰ πάντες τὴν ἐπιθυμίαν καὶ τὴν ὀλιγωρίαν ἐπιδείξονται, ἀλλ' ὧν ὅδε τις ἐπιθυμήσει, τούτων ἄλλος ὀλιγωρήσει, χρηστῶν τε ὁμοίως καὶ φαύλων. Εἰ δὲ ταῦτα ταὐτόν εἰσιν, οὐκ ἂν ὡς δυοῖν ὄντων, μέσος εἴη ὁ παμμόχθηρος. Ταῦτα μὲν δὴ Πλήθωνος καταγέλαστα ὄντα ἀφείσθω.

Ἐπεὶ δὲ οὕτως εἶναι οἴεται μεσότητα τὴν ἀρετήν, ὡς δὴ τοῦ καλοῦ τε καὶ ἀγαθοῦ τοῖς ἐναντίοις πάθεσι χρωμένου, οἷον θάρρει καὶ δέει, ἐπιθυμίᾳ τε καὶ ὀλιγωρίᾳ, τῷ δὲ καλῷ καὶ οὐ καλῷ τούτων ἑκάτερα
f. 169 ὁρίζοντος, τί λοιπὸν Ἀριστοτέλης αὐτῷ χείρων δοκεῖ τὰ αὐτὰ | λέγων; Οὐ γὰρ τῶν κατὰ τὰς πονηρίας περάτων οὐδὲ οὗτος μεσότητα τὴν ἀρετὴν τίθεται, οὐδὲ κατά τινα μίξιν τῶν ἀντικειμένων, ὥσπερ τὸ φαιὸν ἐν τοῖς χρώμασιν. Ἀλλ' ἐπειδὴ συμβαίνει περὶ τὰ αὐτὰ πάθη καὶ πράξεις τὰς αὐτάς ποτε διαφόρως διατίθεσθαι τὴν ἀνθρωπίνην προαίρεσιν, ἢ καθάπαξ τοῦ καλοῦ καὶ εὐπρεποῦς ἐχομένην, ἢ ἀποπίπτουσαν αὐτοῦ, τοῦτο δὲ συμβαίνει διχῇ, ἢ ἐπιθυμούσης ἢ ἀφισταμένης ὑπὲρ τὸ δέον καὶ τοῦ ὀρθοῦ λόγου ἐπέκεινα, ταὐτὸν δὲ εἰπεῖν ὑπερβαλλούσης, ἢ ἐλλειπούσης ἐν ἐκείνῳ τῷ πάθει ἢ τῇ πράξει, διὰ τοῦτο καὶ τὰς ἐπὶ τούτων συνισταμένας ἕξεις, τὰς μέν φησιν ἐνδεῶς ἐχούσας τοῦ καλοῦ ὑπερβολὰς καὶ ἐλλείψεις εἶναι ἐν τῇ τῶν παθῶν τε καὶ πράξεων χρήσει καὶ διαθέσει, τὰς δὲ ἀκράτῳ τῷ καλῷ καὶ ἀμέμπτῳ ὁριζομένας μεσότητας εἶναι τῶν ὑπερβολῶν ἐκείνων καὶ τῶν ἐλλείψεων, ἀκρότητας μὲν οὔσας κατὰ τὸ ἄριστον καὶ τὸ εὖ, μεσότητας δὲ κατὰ τὴν οὐσίαν καὶ τὸν λόγον· ὁ γὰρ τῆς ἀρετῆς λόγος κατὰ τὸν ὀρθὸν λαμβάνεται λόγον. Οὗτος δὲ οὐ κατὰ τὴν τοῦ πράγματος ἀναλογίαν λαμβάνεται ἔν γε τοῖς πάθεσιν, ἀλλὰ πρὸς αὐτὸν δήπου τὸν

---

16 *καὶ τὴν*: *ἢ τὴν* D

σπουδαῖον· ἀνθρώπου γάρ ἐστιν ἀρετή, ᾧ βέλτιστον, οὐ τὸ ἁπλῶς ἐστι βέλτιστον· οὐ γὰρ ἔστι τοῦθ' ὁρίσασθαι ἐν ἀνθρώποις καὶ τοῖς αὐτῶν πάθεσιν, ἀλλὰ τὸ ὑπὸ τοῦ ὀρθοῦ λόγου ὡρισμένον ἐν αὐτῷ, ὡς δὴ τοιούτῳ γε ὄντι, καὶ ὡδέ πως ἢ πεπονθότι, ἢ πράττοντι, καὶ τοῦτ' ἔστιν ἡ κατὰ τὴν ἠθικὴν ἀρετὴν μεσότης, ἀναλογία τις ἔν τινι πάθει ἢ πράξει τοῦ ὀρθοῦ λόγου πρὸς αὐτόν, οὗ δὴ τὸ πάθος καὶ ἡ ἐν αὐτῷ ἐστιν ἀρετή.

Ἐπεὶ γοῦν ὅπως μὲν ἂν ἔχοι κατὰ τὸν ὀρθὸν λόγον, κατ' ἀρετήν ἐστι, τὸ δὲ κατὰ τὸν ὀρθὸν λόγον οὐχ ἁπλοῦν ἐστιν, ἀλλὰ ποικίλον πρός γε ἡμᾶς, ἐντεῦθεν συμβαίνει τὴν ἀρετήν, ἀκρότητα οὖσαν κατὰ τὸ ἄριστον καὶ τὸ εὖ, | μεσότητα εἶναι κατὰ τὸν λόγον. Ὅτι δὲ εἰ μέλλοι ἕκαστα f. 169 τῶν ἡμετέρων παθῶν καὶ πράξεων εὖ ἔχειν τε καὶ πεπράχθαι, ὡρίσθαι δεῖ ταῦτα πρός γε ἡμᾶς διαφόρως, τοῦ πρέποντος τῇ τε τῶν προσώπων διαφορᾷ καὶ ταῖς ἄλλαις περιστάσεσιν ὡς ἂν ὁ λόγος ὑπαγορεύοι συναρμοσθέντος, τοῦτ' ἄριστα ἐν τοῖς Ἠθικοῖς ὁ Φιλόσοφος ἀποδείκνυσιν. Ὥσπερ οὖν Πλήθων τῷ καλῷ καὶ οὐ καλῷ, καὶ αἰσχρῷ καὶ οὐκ αἰσχρῷ τὴν ἀρετὴν ὁρίζεται, οὕτως Ἀριστοτέλης καὶ πολὺ βέλτιον τῷ ὅτε δεῖ καὶ ἐφ' οἷς δεῖ καὶ πρὸς οὓς καὶ οὗ ἕνεκα καὶ ὡς δεῖ τὴν ἀρετὴν ὡρίσθαι φησίν· τοῦτο δέ ἐστι τὸ μέσον καὶ ἄριστον· καὶ καθ' αὑτὰς μὲν τὰς ἀρετὰς θεωρουμένας ἁπλῶς ὡρίσθαι τῷ καλῷ τε καὶ εὐπρεπεῖ καὶ μηδὲν ἐν αὐταῖς εἶναι μέσον· πρὸς δὲ ἡμᾶς διαφόρως ὁριζομένας ταύτῃ δὴ καὶ τὸν τῆς μεσότητος λόγον ἔχειν, οὐ μὴν ὡς ἀρετῆς τινα εἶναι μεσότητα, ἀλλ' ὡς αὐτὴν εἶναι μεσότητα τὴν ἀρετήν, ᾗ μὲν μεσότητα ποσῷ δήπου ὁριζομένην, καθ' αὑτὴν δὲ ἐν ποιότητι οὖσαν· ἠθικῆς γὰρ ἀρετῆς ὑποκείμενον μὲν ἀνθρώπου ψυχή, τοῦ γε σπουδαίου, ὕλη δέ, πάθη καὶ πράξεις αὐτῆς, εἶδος δέ, ἰσότης τις αὐτῶν καὶ ἀναλογία ἐν τῇ πρὸς τὸν ἔχοντα παραθέσει κατὰ τὰς λοιπὰς περιστάσεις· φύσις δὲ αὐτῆς καὶ γένος, ποιότης.

Καὶ ὅτι καθ' αὑτὴν ἐν τῷ ποιῷ τὴν ἀρετήν, οὐκ ἐν τῷ ποσῷ τίθησιν ὁ Φιλόσοφος, πολλοῖς ἄν τις τεκμήραιτο· πρῶτον μὲν γὰρ οὐ τοῦ πράγματος μεσότητα ταύτην εἶναί φησιν, ἀλλὰ πρός γε τὴν τοῦ προσώπου ποιότητα λαμβάνεσθαι, ὅταν μήθ' ὑπερβάλλῃ τὴν τοῦδε τοῦ ἀνθρώπου ἀναλογίαν, μήτ' ἐλλιπὲς ᾖ τὸ γινόμενον, ἢ ὅλως τὸ πάθος, ὥστ' εἶναι ἰσότητά τινα πάθους τὴν ἀρετὴν ἐν τῇ πρὸς τὸν ἔχοντα ἀναλογίᾳ συνεστηκυῖαν· καὶ οὕτως οὐκ ἂν εἴη μᾶλλον ποσότης ἢ ποιότης· ἔπειθ' ὅτι τῷ καλῷ καὶ τῷ δέοντι πανταχοῦ καὶ αὐτὸς τὴν ἀρετὴν ὁρίζεται, ἐφαρμόττων | αὐτὸ f. 170 χρόνῳ καὶ αἰτίᾳ καὶ ταῖς ἄλλαις περιστάσεσι καὶ πάνυ καλῶς· πῶς δὲ καὶ τίσι, καὶ ἐπὶ ποίοις, καὶ πόσον χρόνον, οὐ ῥᾴδιον διορίσαι καθόλου φησίν, ἀλλὰ τοῦτο ἐν τοῖς ἐπὶ μέρους δεῖ σκοπεῖν· καθόλου μέντοι τοῦτ' ἀληθές ἐστιν, ὅτι τὸ ὅτε δεῖ, καὶ ἐφ' οἷς δεῖ, καὶ πρὸς οὓς καὶ οὗ ἕνεκα, καὶ ὡς δεῖ μέσον τέ ἐστιν ἐν πᾶσι πάθεσι καὶ πράξεσι καὶ ἄριστον· ὅλως δὲ τοσοῦτον ἀπέχει τῷ ποσῷ καθάπαξ ὁρίζεσθαι τὴν ἠθικὴν ἀρετὴν ὁ Φιλό-

σοφος, ὥστε τ' ἀγαθὸν ἅπαν περιϊέναι γένος λέγων καὶ διακοσμεῖν, καὶ ἐν ποιῷ τοῦτο τίθησιν εἶναι τὴν ἀρετήν· „Τὸ γὰρ ἀγαθόν, φησὶν ἐν πρώτῳ τῶν Ἠθικῶν, καὶ ἐν τῷ τί λέγεται, οἷον ὁ Θεὸς καὶ ὁ νοῦς, καὶ ἐν τῷ ποιῷ αἱ ἀρεταί, καὶ ἐν τῷ ποσῷ τὸ μέτριον.“ Εἰ δὴ τοῦ πράγματος ἐν ταῖς ἠθικαῖς ἀρεταῖς οὐδεμία μεσότης ἐστίν, ἀλλὰ τοῦ λόγου μόνον, ᾗ δὲ μεσότητές τινές εἰσιν, αὗται ἐν ποσῷ εἰσι, σαφές ἐστιν ὡς οὐ πράγματι ἀλλὰ τῷ λόγῳ τῆς ποσότητος αὐταῖς μέτεστιν· οὐδὲν δὲ κωλύει καθ' αὑτὴν ἐν ποιῷ οὖσαν τετάχθαι πῃ καὶ ἐν ποσῷ, ᾗ μεσότης τίς ἐστι πρὸς ἡμᾶς, καὶ μὴν οὐδὲ μεγέθει, ἢ σμικρότητι τῶν φοβερῶν ὁ Φιλόσοφος τὴν ἀνδρίαν ὁρίζεται, εἴ γε μηδὲ τὴν ἀρετὴν ἁπλῶς ὑπερβολῇ καὶ ἐλλείψει δίδωσιν, ἀλλὰ μᾶλλον ἰσότητι. Ὑπομένειν δέ φησι τὸν ἀνδρεῖον, ὅτι καλόν, ἢ ὅτι αἰσχρὸν τὸ μή, ὁποῖα ἂν εἴη τὰ φοβερά, εἴτε μείζω, εἴτε ἐλάττω, ταὐτὰ λέγων τοῖς περὶ Πλάτωνα, εἰ καὶ τῆς ἀρετῆς ἐν τῷ δυσχερεῖ καλῷ μάλιστα φαινομένης, ὁ τὰ μείζω τῶν φοβερῶν ὑπομένων ἀνδρειότερός ἐστιν, οὐ τῷ εἴδει τῆς ἀρετῆς, ἀλλὰ τῇ ὁρμῇ τῆς ψυχῆς ὑπερέχων· καὶ ὑπομένειν χρὴ τὸν ἀνδρεῖον ὡς δεῖ τε καὶ ὁ λόγος ὑπαγορεύει τοῦ καλοῦ ἕνεκα· τοῦτο γὰρ τέλος τῆς ἀρετῆς, καὶ τούτῳ ἡ ἠθικὴ ξύμπασα ὥρισται ἀρετή.

f. 170v Ὁ δὲ Πλήθων ᾤετο Ἀριστοτέλη, ἅτε μεγέθει καὶ σμικρότητι τὰ | φοβερὰ διαιροῦντα, καὶ τὴν περὶ αὐτὰ ἀρετὴν ἐν τῷ σμικρῷ καὶ μεγάλῳ τίθεσθαι τῷ κατὰ τὰ φοβερά, ψευδῆ καὶ ἀσύστατα οἰόμενος· ἐν γὰρ τῷ μήτε ὑπερβάλλειν, μήτε ἐλλείπειν ἐν τῷ πρὸς τὰ τοιαῦτα ἀποθαρρεῖν, ἢ δεδιέναι, ὡς δεῖ δὲ καὶ οὗ ἕνεκα δεῖ ταῦτα ποιεῖν, ἐν τούτῳ τὴν περὶ τὰ θαρραλέα καὶ φοβερὰ ἀρετὴν ὁ Φιλόσοφος διορίζεται, ὥστ' εἶναι καὶ ὑπὸ τῶν πάνυ φοβερῶν ἀνέκπληκτον διαγενέσθαι μετ' ἀρετῆς, καὶ ὑπὸ τῶν ἐλαχίστων θορυβηθῆναι πρεπόντως καὶ μὴ θαρρῆσαι, εἶναι δέ τινα λέγει καὶ ὑπὲρ ἄνθρωπον φοβερά, οὐχ ὡς ἀξιώτερα δέους ὄντα, ἀλλ' ὡς πᾶσιν ἀνθρώποις φόβον ἐμβάλλοντα· περὶ ἃ ἥκιστα ἔστιν ἐπιδείξασθαι τὴν τῆς ἀνδρίας ἕξιν· οὐ γὰρ δεῖ πρὸς ταῦτα ἀδεῶς ἔχειν οὐδὲ τὸν ἀνδρεῖον, ἅτε κρείττονι μοίρᾳ γινόμενα καὶ οὐδεμίαν ἔχοντα ἀποφυγήν, οὔτ' ἔπαινον, εἴ τις λέγοι ταῦτα μὴ δεδιέναι, οὔτ' αἰσχύνην, εἰ φοβοῖτο· οὐδὲν γὰρ αἰσχρὸν ἕνεκα τοῦ τοιούτου δέους ἐξ ἀνάγκης ὑπομενεῖ. Ταῦτα μὲν Ἀριστοτέλους τῇ λέξει ἕπεται· καὶ εἰ πάντα τὰ κατ' ἄνθρωπον φοβερά, ὧν μέγιστον οἱ τοῦ θανάτου κίνδυνοι, δεῖν ἀνθρώπους ὄντας ὑπομένειν τοῦ καλοῦ ἕνεκα, μείζω τε καὶ ἐλάττω ὁμοίως, καὶ αὐτὸς Ἀριστοτέλης λέγει πρὸ Πλήθωνος, οὐδὲν αὐτῷ διὰ ταῦτα προστρίβειν ἐχρῆν ὄνειδος, οὔτε τῶν ὑπὲρ ἄνθρωπον φοβερῶν εἵνεκα αὐτῷ μέμφεσθαι, εἴ γε τὸ δέος τῶν τοιούτων οὔτε κακίαν οὔτ' ἀρετὴν προστιθέναι τῳ λέγει, ἀλλ' ἀναλγησίαν, ἢ ἀναισθησίαν προσάπτειν τοῖς μὴ δεδιόσιν.

---

23 *ὁ Φιλόσοφος* en interligne AD

Ἐπεὶ δέ φησι Πλήθων ἀνόητον εἶναι τὸ μὴ τοὺς σκηπτοὺς δεδιέναι, ἀνόητον μὲν οὖν εἶναι φημὶ ἔγωγε τά γε τοιαῦτα μὴ δεδιέναι, οὐκέτι ἐνταῦθα τῇ Ἀριστοτελικῇ λέξει ἑπόμενος, ὥσπερ νοῦν ἐχόντων ἐστὶ καὶ ταῦθ' ὑπομένειν τοῦ καλοῦ ἕνεκα· ὃ δὴ περὶ τῶν κατ' ἄνθρωπον φοβερῶν ἐκείνῳ δοκεῖ, μηδ' ἑνὸς δ'|ἐπαίνου μήτε κέρδους μέλλοντος γίνεσθαι, τί ἂν f. 171 τις τούτων καταφρονοίη καὶ τὸν ἀπὸ τούτων ὑπίοι κίνδυνον, οἷον κυμάτων τί δεῖ καταφρονεῖν τὸν μήτε κέρδους, μήθ' ἱστορίας, μήτ' ἀρετῆς εἵνεκα ναυτίλλεσθαι μέλλοντα, ἀλλ' εἰκῇ ὡς ἀσφαλῶς μέλλοντα καὶ ἐν θαλάττῃ διάξειν; Καὶ σκηπτῶν δὲ καὶ σεισμῶν γῆς καὶ χασμάτων, οὗ ἐστι πολλὴ ὑποψία, πῶς οὐ πολλὴ μωρία ἀδεῶς ἔχειν, εἰ μὴ ἀρετῆς τινος εἵνεκα μέλλοι τις διακαρτερεῖν; Διὸ καὶ πολλοὶ ἐκ τῶν πάνυ σειομένων, ἢ κεραυνουμένων χωρίων ἀπέστησαν, ἑλόμενοι τόπους ἐν οἷς ᾤοντο βιῶναι ἂν ἀσφαλέστερον, καὶ καθάπαξ δὲ ἀοικήτους ἔστιν ἰδεῖν τὴν ἀρχὴν γεγενημένας ὅσαις τῶν χωρῶν ἢ τῶν νήσων τὰ τοιαῦτα διηνεκῶς πάθη συμβέβηκεν. Ἐπεὶ γὰρ ἄλλως οὐχ οἷόν τε ἦν φυλάξασθαι πρὸς τὰ τοιαῦτα παρόντας, φυγῇ τῶν χωρίων ἑαυτοὺς ἠσφαλίσαντο, καὶ οὗ δ' ἂν ἐπ' ἐλάχιστα τὰ τοιαῦτα συμβαίνοι, οὐδ' ἐκεῖ δεῖ τούτων καταφρονεῖν· πολλὴ γὰρ μωρία πεπονθέναι ὑπό του τῶν τοιούτων τῷ ὡς ἐπ' ἐλάχιστα συμβαίνοντος ἀμελῆσαι, ἐνὸν ὥς γε ἀπὸ τῶν τοιούτων φυλάξασθαι· καὶ οἶδα πολλοὺς ἔγωγε οἰκίας τε κατασεισθείσης συμπατηθέντας, καὶ πέτρας ἀπορραγείσης σεισμῷ πληγέντας διαφθαρῆναι, οἷς οὔθ' ἡ οἰκία ἂν ἐπικατηνέχθη, οὔθ' ἡ ἀπορρὼξ ἐκείνη πέτρα, μὴ ἀμελήσασι· καὶ τὸ μὲν μὴ σεισθῆναι τὴν γῆν οὐχ οἷόν τε ἦν αὐτοῖς ποιῆσαι· τὸ δὲ καὶ σειομένης ἂν ἐν ἀσφαλεστέρῳ εἶναι καὶ πάνυ ἐξῆν. Εἰ δὲ καὶ μηδαμῇ μηδαμῶς ἐστι τούτων ἀλεωρή, οὐ διὰ τοῦτο ἀδεᾶ δεῖ ταῦτ' εἶναι· τοὐναντίον γὰρ διὰ τοῦτο μᾶλλον φοβερὰ ταῦτ' εἶναι ἀνάγκη, εἴ γε μὴ οἷόν τέ ἐστι μηχανήσασθαί τι πρὸς αὐτά· διὸ καὶ πάντες τὰ τοιαῦτα δεδίασιν ὡς κρείττω ἢ κατ' ἄνθρωπον ὄντα· ἄνευ δὲ τούτων ἁπάντων, τοῦ δέους ἐκ τῆς ἀγάπης ἀνίσχοντος· δέδιμεν γὰρ περὶ ἐκείνοις ὧν μάλιστα ἐρῶμεν καὶ ὑφ' ὧν δύναται φθείρεσθαι ταῦτα φοβούμεθα· ἀνάγκη καὶ σκηπτοὺς καὶ σεισμοὺς καὶ τὰ τοιαῦτα δεδιέναι, εἰ καὶ ἐκ θείας ἐπίοι μοίρας καὶ μὴ ἐξείη φυλάξασθαι πρὸς αὐτά, διότι τῇ ἡμετέρᾳ ἀντίκεινται ζωῇ, ἧς μάλιστα ἐρῶμεν. | Καὶ οὕτω δεῖ πρὸς ταῦτ' ἔχειν, ὡς καὶ φυλάξασθαι ἄν, εἴπερ οἷόν f. 171v τε ἦν· καὶ ὅτε τοῦτ' ἀδύνατόν ἐστιν, ἀπεύχεσθαι γοῦν ταῦτά τε καὶ εἴ τι ἄλλο πολέμιόν ἐστι τῇ ἡμετέρᾳ ζωῇ· ὅπερ δ' ἂν ὁ Θεὸς ἐπιτάττοι, φέρειν. Ἀλλ' οἱ ἀνόητοι δι' ἀσθένειαν λόγου καὶ ἄγνοιαν, οὐδὲ τὰ τοιαῦτα, φησὶν Ἀριστοτέλης, δεδίασιν, ἢ ὡς μὴ ἄν ποτε ἐπελθόντων αὐτοῖς τούτων, ἢ

17 *συμβαίνει* D 29-33 *καὶ ὑφ' ὧν — ἐρῶμεν* dans la marge inférieure de la main de Scholarios A. Après *ἐρῶμεν,* lacune d'une feuille (f. 171v-172r) dans A. Le texte donné provient de D, f. 51r-51v

ὡς μηδὲ βλάπτειν δυναμένων, εἴ γε ἐπέλθοι, ἢ ἀσθενῶν ὄντων, ἢ τῆς ἡμετέρας ζωῆς οὐκ οὔσης ἀγαπητέας, οὔτε οὐδενὸς ὄντος ἡμῖν ἐν τῷδε τῷ βίῳ ἀγαθοῦ οὐδαμῇ οὐδαμῶς πλὴν τοῦ θνητοῦ τοῦδε ἀπαλλαγῆναι. Ταῦτα δὲ πάντα ὅτι πολλῆς ἀνοίας οὕτω νομίζειν, δῆλον ἐστίν· ἡ δὲ προαίρεσις τῶν κατὰ Χριστὸν φιλοσοφούντων σιωπῇ νῦν τιμάσθω· ἢ εἴ τις καὶ πρὸ τῶν τῆς ἀληθινῆς διδασκαλίας καιρῶν ἠδυνήθη πως τὴν παροῦσαν ὑπ' ἀρετῆς μισῆσαι ζωήν, τοῦ Θεοῦ συγχωροῦντος εἰς μαρτυρίαν τῆς ἀληθείας πόρρωθεν ταῦτα καὶ ἐν αὐτοῖς τοῖς πεπλανημένοις ἀνίσχειν· ἡ γὰρ τοιαύτη προαίρεσις θείᾳ τινὶ μοίρᾳ τοῖς ἀνθρώποις ἐγγίνεται, κανόνα τινὰ καὶ ταῦτα τῶν θείων νόμων τιθέντων. Ὁ δὲ Φιλόσοφος περὶ ἀνθρωπίνης ἀρετῆς καὶ τῆς πολιτικῆς εὐδαιμονίας ποιεῖται τὸν λόγον, καὶ ἡμεῖς ὡς οὕτω προτιθεμένῳ σκοπεῖν χρώμεθα.

Τὸ τοίνυν φοβεῖσθαι τὰ τὴν ἡμετέραν ἀναιροῦντα ζωὴν ἡμῶν τε αὐτῶν χάριν καὶ τοῦ κοινῇ ὠφελίμου ἀγαπωμένην, ἂν μετ' ἀρετῆς ᾖ, ἀνθρώπων ἐστὶ νοῦν ἐχόντων· τούτῳ δὲ οὐχ ἕπεται καὶ τὸ θέλειν ἀνέχεσθαί τινος αἰσχροῦ διὰ τὸ τοιοῦτο δέος· ἀλλ' ἐκεῖνά τε φοβερὰ δεῖ εἶναι, ἕως ἂν μὴ κινδυνεύωμεν τῷ αὐτῶν δέει φαῦλοι γίνεσθαι· καὶ ὑπομένειν αὖθις αὐτὰ ἀρετῆς εἵνεκα, ὡς δεῖ καὶ ὁ λόγος ὑπαγορεύει, ὑπὸ πάντων ἀνθρώπων καὶ Ἀριστοτέλους αὐτοῦ ἐπαινεῖται, ὡς δὴ τοῦτο ἀληθὴς ἀνδρία ὄν. Εἰ γοῦν καὶ ὧν ἔστι τις ἀλεωρὴ βουλομένοις ταῦτα δεῖ ὑπιέναι τοῦ μὴ αἰσχροῦ, ἢ τοῦ καλοῦ χάριν, σχολῇ γε ὑπὸ γῆν τινα βιοῦν καταπεπληγμένον τε καὶ ἀργὸν καὶ ξυμπάσης ἀρετῆς ἀμελῆ δέει τῶν ὑπὲρ ἄνθρωπον συμπτωμάτων, ἢ Ἀριστοτέλης αὐτός, ἢ ἄλλος τις ἀνθρώπων ἀξιώσειεν· ὅθεν οὐδὲ ἀξιῶν οὕτω που φαίνεται, ἀλλὰ τὰ μὲν φόβον ἔχοντα, ὡς δὴ ἀναιρεῖν δυνάμενα τὴν ἡμετέραν ζωήν, διαιρεῖ· ταῦτα δὲ πάντα τὸ μὲν μὴ δεδιέναι ὅλως, ἀνόητον εἶναι λέγει καὶ δι' ἀσθένειαν τοῦ λόγου συμβαῖνον, ὡς δὴ ἐν βίῳ ἀνθρωπίνῳ· τὰ γὰρ ὑπὲρ τοῦτον, ὡς δὴ θειότερα ὄντα καὶ πάνυ ὀλίγοις ἐπὶ νοῦν ἐληλυθότα, οὐ δεῖ σκοπεῖν· τὸ δ' οὕτω καταπεπλῆχθαι ὑπὸ τῶν τοιούτων, ὥστε καὶ αἰσχροῦ τινος ἀνέχεσθαι, ἤ του τῶν δεόντων ὀλιγωρεῖν ὑπὸ δέους, πονηρίαν, ὥσπερ αὖ τοὐναντίον ἀρετὴν εἶναι τίθεται. Ταῦτα δὲ οὐδενὶ ἂν δόξειε φορτικά, δικαίῳ ὄντι. Ἀλλὰ Πλήθων, κακούργως Ἀριστοτέλους ἀκούων, κἀνταῦθα ᾤετο πρόφασίν τινα κακουργίας αὐτὸν αὐτῷ παρασχεῖν.

Τούτων μὲν οὖν ἅλις. Ἐπεὶ δὲ καὶ τὰ περὶ τοῦ ἐσχάτου τέλους Ἀριστοτέλει φιλοσοφηθέντα μεμπτά φησιν εἶναι Πλήθων, ἐνταῦθα δὴ καὶ πάνυ κατάδηλός ἐστιν ἢ κακουργῶν, ἢ παίζων, ἢ τὰ φανερώτατα ἀγνοῶν, καὶ ὅλως ἀνάξιον τῆς περὶ αὐτοῦ τῶν πολλῶν δόξης ἀνῃρημένος ἀγῶνα. Τί οὖν οὐκ ἂν ἔπαθε, τῶν Ἀριστοτέλους βιβλίων ἢ διαφθαρέντων, ἢ μὴ πάνυ νοουμένων καλῶς, ὁπότε μετὰ τοῦ σεσῶσθαι καὶ σαφηνείας γεμόντων πολλῆς τοιαῦτα οὐκ ᾐδέσθη τολμᾶν;

Δυοῖν δὴ καθόλου περὶ τοῦ ἀνθρωπίνου τέλους γενομένων δοξῶν, τῶν γε εὐλογωτέρων, καὶ τῶν μὲν τὴν ἡδονὴν εἶναι τἀγαθὸν τοῖς ἀνθρώποις ἀποφαινομένων, τῶν δὲ τὸ καλόν, ὧν οἳ μὲν οἱ περὶ Εὔδοξον ἦσαν· οἳ δὲ οἱ περὶ Πλάτωνα· ἔστω γὰρ ἀρχὴ τῶν δευτέρων ὁ Πλάτων, οἳ καὶ εὐλογώτερον τῶν προτέρων ἔδοξαν λέγειν· Ἀριστοτέλης εἰς μὲν τοὺς περὶ | τῆς ἡδονῆς λόγους καταστὰς ἐν τέλει τῶν Ἠθικῶν, πρὶν τῶν περὶ τοῦ f. 172v τέλους ἅψασθαι λόγων, τὴν Εὐδόξου δόξαν ἀπορραπίζει, καίτοι πολλὰ διαλεκτικῶς αὐτῇ συναράμενος πρότερον· καὶ τέλος μὲν οὔ φησιν εἶναι τὴν ἡδονήν, πολλῶν τε ἄλλων εἵνεκα καὶ τοῦδε. Τὸ μὲν γὰρ ἔσχατον, φησί, τέλος ἑαυτοῦ εἵνεκα ἀγαθόν τε εἶναι δεῖ καὶ αἱρετόν· ἡδονὴ δὲ (οὐ γάρ ἐστι πᾶσα ἀγαθή τε ταὶ αἱρετή, ἀλλ' ἡ τοῖς βελτίοσιν ἑπομένη τῶν ἔργων, ἑτέρωθεν ἔχουσα τὸ ἀγαθὴ εἶναι καὶ αἱρετή) οὐκ ἂν καθ' αὑτὴν εἴη τοιαύτη, ὥστ' οὐδὲ τέλος ἂν εἴη τὸ ἔσχατον. Αὐτὴν μὲν οὖν εἶναι τὸ ἀνθρώπινον ἀγαθὸν οὐχ οἷόν τέ ἐστι, φησί· κοινωνεῖν δὲ τῷ ἐσχάτῳ τέλει ταύτην ἀνάγκη, ἅτ' ἐκ τοῦ τυχεῖν αὐτοῦ προϊοῦσαν, ἐπεὶ παντὶ τέλει καὶ ἀγαθῷ ἡδονή τις ἕπεται, παρόντος μέν, δι' αἰσθήσεως ἐγγινομένη· διὰ δὲ μνήμης, ἐπειδὰν παύσηται γεγονός· ὁπόταν δὲ μέλλῃ γίνεσθαι, δι' ἐλπίδος· διό φησι καὶ πᾶσαν ἐνέργειαν ὑπὸ τῆς ἡδονῆς τελειοῦσθαι, ὡς πάσῃ ἐνεργείᾳ τῆς ἡδονῆς ἑπομένης, ἀλλ' οὐχ ὡς ἑκάστης ἐνεργείας πρός τι τέλος οἰκεῖον ταττομένης τὴν ἡδονήν. Εἶτα τῶν περὶ τῆς ἡδονῆς λόγων ἀφέμενος, ἥτις τὸ ἀνθρώπινον ἔδοξεν ἀγαθόν, μηδαμῶς οὖσα τοιαύτη, καὶ περὶ τοῦ ἀληθινοῦ πραγματεύσασθαι βουλόμενος τέλους, καὶ τὸ τοῦ ἤθους ἐκβάλλει καλὸν οὐ καθάπαξ, ὥσπερ τὴν ἡδονήν, ἀλλ' εἰ μή τι ἕτερον ἐνίκᾳ τέλος εἶναι τοῦ ἀνθρώπου, τοῦτ' ἂν ἦν, φησί, τὸ τοῦ ἤθους καλόν· „Οἰκεῖος γάρ, φησι, τῷ ἀνθρώπῳ, πρώτως μὲν ὁ κατὰ νοῦν βίος, εἴπερ μάλιστα τοῦτο ἄνθρωπος. Οὗτος ἄρα καὶ εὐδαιμονέστατος· δευτέρως δ' ὁ κατὰ τὴν ἄλλην ἀρετήν."

Ἐπεὶ δὲ τὸ οἰκειότατον καὶ ἔσχατον τοῦ ἀνθρώπου τέλος ζητεῖται, τὸ μὲν τοῦ ἤθους καλὸν οὐ δοκεῖ τοιοῦτον εἶναι σκοπουμένοις· τοῦτο γὰρ τῶν ἠθικῶν παθῶν τε καὶ πράξεων τέλος εἶναι δοκεῖ, οὔτε δὲ ταῖς ἠθικαῖς ἐνεργείαις ὁμοιούμεθα μάλιστά πῃ | τῷ θείῳ, ᾧ παθῶν καὶ πράξεων τοιούτων f. 173 ἥκιστα μέτεστι· μακαρίους δὲ εἶναι δεῖ, φησί, θεοῖς ὅτι μάλιστα γινομένους ὁμοίους, οὔτε καθάπαξ τοῖς γε τοιούτοις κεχωρίσμεθα τῶν λόγου ἐστερημένων, ἃ μηδαμῇ τῆς ἡμετέρας εὐδαιμονίας μετέχειν δεῖ. Ἐν μὲν οὖν ταῖς ἠθικαῖς ἀρεταῖς τὴν ἐσχάτην εὐδαιμονίαν ἡμῶν οὐ δεῖ τιθέναι· τὴν δὲ τοῦ θειοτάτου τῶν ἐν ἡμῖν ἐνέργειαν, θεωρητικὴν μὲν οὖσαν, εὖ δὲ ὅτι μάλιστα ἔχουσαν καὶ οἰκείως, ταύτην εἶναι τὴν εὐδαιμονίαν τίθεται, τήν γε ἀνθρωπίνην· αὕτη δ' ἂν ἡ θεωρία τῆς ἀληθείας

8 *αὐτῇ* corrigé de *αὐτῷ* AD 11-12 *ἀλλ' ἡ — καὶ αἱρετή* om A

εἴη. Εἰ δὲ καὶ τὸ τοῦ ἤθους καλὸν οὐκ ἐτίθετο τέλος εἶναι ἀνθρώπου, ἀλλὰ καὶ ἀνθρώπῳ καὶ παντὶ ὁτῳοῦν τὸ οἰκεῖον τέλος κατὰ τὸ καλόν τε εὖ καὶ ὡς ἄριστα ἔχον ἐτίθει, τοῦτ' αὐτὸ καλὸν εἶναι λέγων καὶ ἀγαθόν, καὶ τὸ καλὸν αὖθις καὶ τἀγαθόν, ὃ δὴ ἀνθρώπῳ μέν ἐστι, φησίν, ἡ νοερὰ εὐδαιμονία, ἐν τῇ τῆς ἀληθείας θεωρίᾳ συνεστηκυῖα· ἄλλῳ δὲ ἄλλο καὶ ἑκάστῳ τὸ τῇ φύσει οἰκεῖον· καὶ τὸ καλὸν μὲν εἶναι, οὗ μετασχοῦσα καὶ θεωρία καὶ ἄλλο πᾶν ὁτιοῦν ἀγαθόν ἐστιν, καὶ Ἀριστοτέλης πρὸ Πλήθωνος λέγει· οὐ μέντοι γε τὸ καλὸν αὐτὸ τέλος ἑκάστου εἶναι τὸ οἰκεῖον· αὐτὸ μὲν γὰρ τὸ καλὸν τὸ ὑπερούσιόν τε καὶ ἓν κοινὸν εἶναι τέλος πάντων· ὁποῖον δὲ τέλος, οὐ τῆς παρούσης ἐστὶ χρείας ζητεῖν· τὸ δ' ἐκεῖθεν ἡμῖν ἐφῆκον καλόν, ἑκάστου ἴδιον ὄν, ἄλλο τι ὄν, καλὸν εἶναι καὶ ἀγαθόν, καὶ ὡς μὲν τέλος ἀγαθόν τε εἶναι καὶ καλόν, καθ' αὑτὸ δὲ οὐσίαν εἶναι ἢ ζωήν, ἢ κίνησιν, ἢ ἀρετήν, ἢ θεωρίαν, ἤ τι τῶν τοιούτων.

Ταῦτα τοίνυν ἅπαντα γνώμη γέγονεν Ἀριστοτέλους, ὡς ἐκ τῶν ἠθικῶν
f. 173v αὐτοῦ λόγων ἀριδηλότατα καὶ σχεδὸν αὐταῖς λέξεσι διαφαίνεται·| τὴν δὲ θεωρητικὴν ἡδονὴν οὐδαμοῦ φησιν εἶναι τὸ ἀνθρώπινον τέλος, πλὴν ὅτι καὶ τῷ θεωρεῖν καὶ πάσῃ ἐνεργείᾳ σύνεστιν ἡδονή τις καὶ κοινωνεῖ τῷ τέλει πως, οὐχ αὐτή ἐστι τέλος, κάλλιστά τε λέγων καὶ ἀληθέστατα. Πλήθων δέ, δι' ὧν μὲν λόγων Ἀριστοτέλης τὸ ἐν τῷ ἤθει καλὸν τοῦ τέλους κεχώρικεν, πρὸς τούτους οὐδὲ ἀντιβλέπειν ἐτόλμησεν, καίτοι γε ἐχρῆν Πλάτωνι κινδυνεύοντι, εἴπερ ἄλλοθί που, κἀνταῦθα ἀμύνειν, ἀλλ' ἁπλῶς οὕτω φησίν· „Ἡμεῖς μὲν οὖν τὸ καλὸν αὐτὸ εἶναι φαμέν, οὗ καὶ θεωρία μετασχοῦσα ἀγαθόν ἐστι καὶ ἡδονὴ καὶ πᾶν ὁτιοῦν", ὥσπερ νομοθετῶν· οὐδὲ διορίζει σαφῶς ποῖον καλὸν εἶναι τὸ ἀνθρώπινον ἀγαθὸν ἀποφαίνεται, καίτοι πολλή ἐστι διαφορὰ τέλος ἀνθρώπινον τιθέναι τὸ τοῦ ἤθους καλόν, ἢ τὸ καλὸν ἁπλῶς, καὶ πότερον τὸ ἡμέτερον, ἢ τὴν ἰδέαν. Οὔτε γοῦν τοῖς λόγοις ἐκείνοις Ἀριστοτέλους ἐτόλμησε μάχεσθαι, οὔτε ἱκανοὺς ᾤετο τοὺς περὶ τῆς ἡδονῆς λόγους εἶναι πρὸς ἀπόδειξιν τοῦ τὸν Ἀριστοτέλη μὴ τῆς Εὐδόξου γενέσθαι μοίρας.

Ἀλλ' ὅτι τὴν θεωρητικὴν ἡδονὴν τὸ ἀνθρώπινον ἀγαθὸν εἶπεν εἶναι, συκοφαντεῖ· συκοφαντεῖ γάρ, εἴπερ οὐκ ἔχει δεῖξαί που τοῦτο λέγοντα, ὥστε καὶ ἅπερ ἐπιχειρεῖ κατὰ τοῦ τὴν θεωρητικὴν ἡδονὴν εἶναι τὸ ἀνθρώπινον τέλος, ὡς δὴ οὕτως Ἀριστοτέλους φρονοῦντος, μάταια καὶ οὐδέν εἰσι πρὸς Ἀριστοτέλη· καίτοι εἴ γε καὶ ἐτύγχανεν Ἀριστοτέλης ταύτην ἔχων τὴν γνώμην, οὐκ ἄν ποτε εἷλεν αὐτὸν τοιούτοις ἐπιχειρήμασι· καὶ τὸ τεκμήριον γὰρ ἐκεῖνο, ᾧ ᾤετο δεῖξαι ἂν ἐκ προχείρου οὐ τὴν ἡδονὴν οὖσαν τὸ ἀνθρώπινον ἀγαθόν, τεκμήριον ἂν γένοιτο τοῦ ἐναντίου μᾶλλον, εἴ γε καὶ τεκμηρίοις τοιούτοις τὰ μέγιστα τῶν δογμάτων πιστεύειν ἐχρῆν.

---

25 *γε* après *καίτοι* add D

Ἀλλὰ ταῦτα μὲν τοῖς εἰδόσι κρίνειν παρίεμεν· ἡμῖν δὲ διὰ βραχέων μὲν τὴν ἀλήθειαν ἀποφαίνειν προαιρουμένοις, | οὔτε δὲ ἡδονὴν εἶναι τἀγαθὸν f. 174 οἰομένοις, οὐθ' ἁπλῶς, οὔτε τὴν θεωρητικήν, οὔτε τὰς ἠθικὰς ἀρετάς, ἀλλὰ τὴν γνῶσιν μόνην τῆς ἀληθείας, ὡς Ἀριστοτέλει τε καὶ τῇ Ἀληθείᾳ δοκεῖ, λεγούσῃ ταύτην εἶναι τὴν αἰώνιον τοῖς ἀνθρώποις ζωήν, „ἵνα γινώσκωσι τὸν μόνον ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλεν Ἰησοῦν Χριστόν." Οὕτω τοίνυν διακειμένοις ἡμῖν ἀρκεῖ ἐπιδεῖξαι Πλήθωνα συκοφάντην, ἅτε περιάπτοντα δόξαν Ἀριστοτέλει ἥκιστα αὐτῷ προσήκουσαν. Μάτην δὲ ἐπ' Ἀριστοτέλη καὶ τὴν αἰτίαν τῆς Ἐπικούρου πλάνης ἀνήνεγκεν· εἴτε γὰρ τὴν ψυχικὴν ἡδονήν, εἴτε καὶ πᾶσαν ἁπλῶς τἀγαθὸν εἶναι τῶν ἀνθρώπων ὑπελάμβανεν ὅ γε Ἐπίκουρος· οὐ γὰρ ἀνάγκη ταῦτα δι' ἀκριβείας ἐν τῷ παρόντι σκοπεῖν· εἰς Εὔδοξον ἔδει μᾶλλον τὰ τοιαῦτ' ἀναφέρειν πρὸ Ἀριστοτέλους, ὡς αὐτός φησιν, ἡδονὴν ἐκθειάσαντα, ἢ ἐπ' Ἀριστοτέλη, τὸ μὲν θεωρεῖν λέγοντα τὸ ἀνθρώπινον ἀγαθὸν σαφῶς οὑτωσίν, οὔτε δὲ τὸ τοῦ ἤθους καλόν, οὔτε τὴν ἡδονήν, καὶ Εὐδόξου μὲν κατηγοροῦντα τὴν ἡδονὴν οὕτω σεμνύνοντος, αὐτὸν δὲ ἡδονῇ τὸ οἰκεῖον ἅπαν ἀποδιδόντα καλῶς.

Ἐπεὶ δὲ τὸν οὐρανὸν ἄφθαρτον μὲν εἶναι σῶμα συγχωρεῖ Πλήθων, μέμφεται δὲ Ἀριστοτέλη τῇ φύσει τῆς ὕλης τὴν ἀφθαρσίαν ἀποδιδόντα καὶ πέμπτον σῶμα καὶ ἐξῃρημένον τῶν ἄλλων τὸ οὐράνιον λέγοντα, αὐτὸς τῇ τῆς ψυχῆς ἐπικρατείᾳ τὸν οὐρανὸν ἀπαθανατίζεσθαι λέγων τε καὶ οἰόμενος, φύσεως δὲ τῆς αὐτῆς τοῖς ἄλλοις τετυχηκέναι, δείξομεν κἀνταῦθα βελτίω καὶ τῷ λόγῳ συμβαίνοντα τὸν ἡμέτερον Ἀριστοτέλη. Τὴν μὲν γὰρ τῶν ἄλλων σωμάτων ὕλην κινητήν τε εἶναι καὶ πάντα δύνασθαί τε καὶ ἔργῳ ὑπεισιέναι αὐτός τέ φησιν Ἀριστοτέλης καὶ οἱ περὶ Πλάτωνα ἀξιοῦσι, καὶ πάνυ ἐναργές ἐστι τοῖς ἐπὶ μέρους βουλομένοις σκοπεῖν. Οὐρανῷ δὲ ἡ ὕλη οὐ κατὰ πᾶσαν κινητή ἐστι κίνησιν, οὐδὲ κατὰ πάντα λόγον τοῦ δύνασθαι, ἀλ|λὰ κινητὴ μὲν τῇ περιφορᾷ, δυνάμει δὲ πρὸς τὸ f. 174v ποῦ· κινητὴν δὲ εἶναι πρὸς εἴδη πάντα, καὶ πάντα γίνεσθαι, καὶ ἔργῳ πάντα ὑπεισιέναι ἀδύνατόν ἐστιν. Εἰ γὰρ καὶ τελειότατόν ἐστι τὸ τοῦ οὐρανοῦ εἶδος ὡς τἆλλα περιέχον ἐν ἑαυτῷ, ἀλλὰ τῆς δυνάμεως τό γε ἑαυτῆς μέρος καὶ πρὸς τὸ τέλειον οὔσης καὶ πρὸς τὸ ἀτελές, δέοι γ' ἂν τὴν τοῦ οὐρανοῦ ὕλην, ἐνεργείᾳ τῷ αὐτοῦ εἴδει γεγενημένην, δυνάμει πρὸς ἅπαν ἕτερον ἔχειν εἶδος· οὕτω δ' ἂν ἐν ἀφθάρτου σώματος εἴδει τυγχάνουσα, δυνάμει γ' ἂν ἔτι πρὸς εἶδος φθαρτοῦ σώματος εἴη. Τοῦτο δ' εἰ μέν ποτε καὶ ἐνεργείᾳ ἕξει, φθαρήσεταί ποτε, ἢ πάλιν ἔσται δυνάμει πρὸς τὸ πρότερον εἶδος καὶ ἀπείρους ὑποστήσεται τῷ εἴδει τὰς μεταβολάς· εἰ δὲ μηδέποτε ἐνεργείᾳ τοῦθ' ἕξει, μάτην ἂν αὕτη ἡ δύναμις τῷδε προσείη,

---

5 Ioh. 17, 3

καὶ οὕτως οὐδὲ ὕλη γ' ἂν εἴη, ἀλλὰ μὴν καὶ πρὸ τοῦ λαβεῖν ἐκεῖνο τὸ εἶδος, πρὸς ὅ ποτε ἔχει δυνάμει, ἐστερημένη ἔσται τοῦ εἴδους ἐκείνου, καὶ ὁμοῦ ἐν εἴδει τε ἔσται καὶ ἐν στερήσει· τὸ γὰρ μὴ εἶναι τὸ εἶδος ἐν ὑποκειμένῳ ὅ πέφυκεν ἔχειν, στέρησίς ἐστιν· αὕτη δὲ διάθεσις τοῦ φθαρτοῦ γίνεται σώματος. Ἀδύνατον ἄρα τοῦ φθαρτοῦ καὶ ἀφθάρτου σώματος μίαν εἶναι κατὰ φύσιν ὕλην, ἀλλ' ἢ μόνον κατ' ἀναλογίαν, ᾗ κοινωνοῦσιν ἐν τῷ τοῦ δυνάμει λόγῳ· τὴν δ' ὕλην τοῦ οὐρανοῦ πρὸς ἐκεῖνο δεῖ μόνον εἶναι δυνάμει τὸ εἶδος, ὅ ποτε τὴν ἀρχὴν ἔσχεν, ὑφ' οὗ τελειοῦται πάνυ καλῶς, ὥστε μηδαμῶς ἐν αὐτῇ πρὸς τὸ εἶναι δύναμίν τινα, ἀλλὰ μόνον πρὸς τὸ ποῦ παραμένειν· πρὸς δὲ τούτῳ, τῶν μὲν ἄλλων στοιχείων μετ' ἐναντιότητος ὄντων, τοῦ δὲ οὐρανοῦ πάσης ἐναντιότητος ἀπηλλαγμένου, ὡς ἐκ τῆς αὐτῶν κινήσεως δῆλόν ἐστιν, εἴπερ ἐκ τῶν ἀντικειμένων γένεσίς ἐστι καὶ φθορά, πῶς οὐκ ἀνάγκη τὴν τοῦ οὐρανίου σώματος ὕλην, ἄφθαρτον f. 175 οὖσαν, | φθαρτῆς οὔσης τῆς τῶν ἄλλων σωμάτων διενηνοχέναι;

Ἀλλὰ καὶ τὸ πῦρ, φησὶ Πλήθων, κινεῖται κύκλῳ· τούτου δὲ οὐδὲ μίαν ἀπόδειξιν φέρει. — Ἀλλ' οὐδὲν κωλύει, φησί, καὶ κύκλῳ κινεῖσθαι. — Ἀλλ' εἰ καὶ κύκλῳ κινοῖτο τὸ πῦρ, ὦ ἀγαθέ, ἐπειδὰν ἐν τῷ οἰκείῳ γένοιτο τόπῳ, καὶ διὰ τοῦτο μᾶλλον χείρονος ἔσται φύσεως ἢ οὐρανὸς αὐτός· τὸ μὲν γὰρ πῦρ καὶ φυσικήν τινα ἑτέραν κινεῖται κίνησιν, τὴν ἀπὸ τοῦ μέσου, καὶ βίᾳ κινεῖται ἐπὶ τὸ μέσον, καὶ κύκλῳ φέρεται κατὰ σέ· οὐρανὸς δὲ κύκλῳ κινεῖται μόνον. Εἰ δὴ τὸ ποικίλον τε καὶ ἐναντίον τῆς τοῦ πυρὸς κινήσεως τὴν μεταβολὴν αὐτῷ κατὰ φύσιν μαρτυρεῖ καὶ τὴν φθοράν. ὅπερ οἶμαι καὶ αὐτὸν Πλήθωνα συγχωρῆσαι ἂν πάνυ ῥᾳδίως, ἀκόλουθόν ἐστιν καὶ τὴν ἁπλότητα τοῦ οὐρανίου σώματος καὶ τὴν τῆς ὕλης ἀφθαρσίαν τε καὶ ἀμεταβλησίαν αὐτοῦ τῇ ἑνότητι καὶ τῷ ὁμοειδεῖ δείκνυσθαι τῆς κινήσεως. Εἰκότως οὖν τό γε πρὸς ταῖς ἄλλαις κινήσεσι καὶ τὴν περιφορὰν τῷ πυρὶ προσεῖναι, εἴ γε προσείη, οὐ μᾶλλον ὁμοιότητος πρὸς τὸ οὐράνιον σῶμα ἢ διαφορᾶς ἂν εἴη σημεῖον, αὐξομένων αὐτῷ τῶν αἰτίων τῆς φθαρτῆς διαθέσεως.

Ἔπειτ' ἀδύνατον τὸ πῦρ κύκλῳ κινεῖσθαι· τὸ μὲν γὰρ κύκλῳ κινούμενον ἀδιαφόρως ἔχει πρὸς ἅπαν ποῦ· τοῖς δὲ κατ' εὐθεῖαν κινουμένοις τῷ τῆς βαρύτητος καὶ κουφότητος λόγῳ τόπος ἀφώρισται, ᾧ πρόσεισι κατὰ φύσιν καὶ οὗ παρὰ φύσιν ἀποχωρεῖ. Ἀφωρισμένου δὴ καὶ τῷ πυρὶ τοῦ ἄνω τόπου, πρὸς ὅ ποτε μέρος τοῦ τόπου κινηθήσεται ἕκαστον τοῦ πυρὸς μέρος, πρὸς ἐκεῖνο καὶ φύσει ἕξει καὶ ἐν ἐκείνῳ μενεῖ, κατ' ὀρθὴν γωνίαν ἀλλοτρίου τόπου κεκινημένον· οὐ γὰρ φύσει κινεῖταί τι, ὡς δὴ αὐτοῦ φύσει ἐφιέμενον, τούτου τυχόν, μένειν ἀνάγκη καὶ ἠρεμεῖν, καὶ f. 175v οὕτω τὸ ξύμπαν πῦρ ἐν τῷ | ἐσχάτῳ ἠρεμήσει, φύσει αὐτοῦ ξύμπαντος ξύμπαν τετυχηκός, εἰ μὴ καὶ κύκλῳ φερόμενον, τοῦ μὲν ποῦ κατὰ φύσιν ἀφίσταιτο, τῷ δὲ προσχωροίη κατὰ φύσιν, ὡς δὴ παντί τε ὁμοίως αὐτῷ

καὶ ἑκάστῳ τῶν αὐτοῦ μορίων τόπου ἀφωρισμένου. Οὕτω δ' ἂν ἡ τοιαύτη κίνησις οὔτε συνεχὴς εἴη καὶ ἐξ ἐναντίων συγκειμένη κινήσεων· ὅπερ ἀδύνατόν ἐστι κύκλῳ φερομένῳ συμβαίνειν.

Ταῦτα μὲν ἀναπόδεικτά τε καὶ ἄλλως ἀδύνατα ἀξιοῖ Πλήθων. Ἐῶ δὲ ὅτι καὶ πρὸς τοὺς Ἀριστοτελικοὺς λόγους, οἷς τὴν τοῦ οὐρανοῦ φύσιν τῆς τῶν ἄλλων σωμάτων δείκνυσιν ὑπερέχειν, οὐδὲν ὄντα, ὃ παντὶ σοφῷ τά γε τοιαῦτα δῆλον ἂν εἴη· ὅλως δέ (δεῖ γὰρ ἐπανελθεῖν πρὸς τὴν ἐξ ἀρχῆς πρόθεσιν), εἴπερ ἡ τοῦ Θεοῦ βούλησις, ὡς ἐν Τιμαίῳ Πλάτων φησί, μείζων οὖσα τοῦ φυσικοῦ τῶν οὐρανίων σωμάτων δεσμοῦ, ἀδιάλυτα ταῦτα διατηρεῖ, φύσιν ἔχοντα διαλύεσθαι, τί μὴ μᾶλλον ὑπέστησε σώματός τινα φύσιν εὐθὺς ἐξ ἀρχῆς ἀδιάλυτον οὖσαν καὶ ταύτῃ τῆς τῶν ἄλλων σωμάτων φύσεως ὑπερέχουσαν; Οὐ γὰρ τοῦ μὲν φυσικοῦ δεσμοῦ τῶν σωμάτων ἡ τοῦ Θεοῦ βούλησις μείζων ἐστί, τῆς δὲ ἀνθρωπίνης ἐλάττων προτάσεως, ᾗ φασι πᾶν σῶμα μεριστόν τε εἶναι καὶ σκεδαστὸν καὶ διαλύεσθαι τῇ αὐτοῦ φύσει δυνάμενον, ὥστε μηδὲν δύνασθαι σῶμα καθ' ἑαυτὸ ἐν βελτίονι διαθέσει ποιεῖν. Οὐκοῦν εἰ τῇ μὲν τοῦ Θεοῦ βουλήσει καὶ Πλάτων τοῦτο προσήκειν ἡγεῖται, τὸ τὰ κάλλιστα καὶ ὑψηλότατα τῶν σωμάτων ὀλέθρου κρείττω διατηρεῖν, τῷ δὲ λόγῳ συμβαῖνόν ἐστι τὸ τοιαῦτα καὶ τὴν ἀρχὴν αὐτὰ ὑποστῆναι, ἡ μὲν πρότασις ἀληθὴς ἔσται περὶ ἁπάντων σωμάτων πλὴν οὐρανοῦ· ὁ δὲ Φιλόσοφος Πλάτωνί τε καὶ τῷ λόγῳ συμβαίνουσαν δόξαν ἧκε κομίζων, καὶ πρέποντα | τῇ ἑαυτοῦ σοφίᾳ κεκαινοτό- f. 176
μηκε. Ψυχὴ δὲ ἀθάνατος μέν ἐστιν αὐτὴ καὶ ἀνώλεθρος, ἥ γε λογική· ἀπαθανατίζειν δὲ τὸ φύσει θνητὸν οὐ δύναται. Ἢ πῶς καὶ ἡ ἀνθρωπίνη ψυχὴ ἀθάνατος οὖσα, οὐ τὸ θνητὸν τοῦτο εὐθὺς ἑνωθεῖσα πρὸς τὴν οἰκεῖαν ἀθανασίαν μεταποιεῖ; Εἰ δ' αἱ μὲν τῶν οὐρανίων σωμάτων ψυχαὶ ἀεὶ τοῖς οὐρανίοις ἥνωνται σώμασιν, ἡ δ' ἡμετέρα δίκην ὑφέξουσα τῷ θνητῷ τῷδε συνδεῖται, καὶ αὖθις ἀπαλλαγησομένη, ἀλλὰ θνητοῦ τε ὄντος καθ' αὑτὸ τοῦδε, καὶ αὐτὴ οὐ δυναμένη αὐτὸ ἀπαθανατίζειν, οὕτω ῥᾳδίως ἀπαλλάττεται, καὶ ἡ τοῦ οὐρανοῦ τοίνυν ψυχή, ἢ αὐτὴ τὸ οὐράνιον σῶμα ἀπαθανατίζουσα, ἤ, αὐτοῦ φύσει ὄντος ἀνωλέθρου, ἀϊδίως ἑνουμένη τοῦτο κινήσει, ἄλλως δὲ κἂν αὐτὴ αὐτοῦ θᾶττον ἀπαλλαγείη. Ἐπεὶ δὲ ἡ ψυχὴ οὐ δύναται αὐτὸ ἀπαθανατίζειν, ὡς δὴ φύσει ὄντι τοιῷδε λοιπὸν οὕτω χρήσεται· οὐδὲ γὰρ εἰ ὡς εἶδος ἡνοῦτο τῷ σώματι, ἠδυνήθη γ' ἂν τὴν αὐτῆς ὕλην πρὸς τὴν οἰκείαν ἀθανασίαν μεταποιεῖν, μὴ τῆς πρώτης αἰτίας τοῦτο ποιούσης· σχολῇ γε τοῦτο δυνήσεται οὕτως ἑνουμένη ὡς ὁ πλωτὴρ τῇ νηΐ, καὶ ὅλως τῷ κινητῷ τὸ κινητικὸν κατὰ Πλάτωνα, εἰ μὴ καὶ ὁ πλωτὴρ δύναιτο τὴν ναῦν ἄσηπτον διατηρεῖν, ἐφόσον αὐτὸς βιοῖ χρόνον, καὶ τὸν ἵππον ζωὸν ὁ στρατιώτης διαφυλάττειν αὐτῷ. Ἀλλὰ ταῦτ' ἀδύνατα.

---

37 *δύναιτο* en marge au lieu de *βούλειτο* effacé A

Εἰ δὲ τὰς τῶν οὐρανίων σωμάτων ψυχὰς ἀπαθανατίζειν φαίη δύνασθαι μόνας, καίτοι ᾗ ψυχὰς οὐδὲν διαφερούσας γένει τῶν ἀνθρωπίνων, πῶς οὐκ εὔλογόν ἐστιν ὑπολαβεῖν καὶ τὰ σώματα ἐκείνων φύσει ἀθάνατα ὄντα, γένει δὲ οὐδὲν διαφέροντα τῶν θνητῶν τῶνδε, μὴ δεῖσθαι ὑπὸ τῶν κινουσῶν ψυχῶν ἀπαθανατίζεσθαι; Δεῖ τε γὰρ ὑπὸ τοιούτων ψυχῶν τοιαῦτα κινεῖσθαι f. 176v σώματα καὶ τῆς πρώτης αἰτίας ἂν εἴη ἐκείνας τε τῶν ἄλλων ψυχῶν | καὶ ταῦτα τῶν σωμάτων ὑπερτιθέναι τῇ φύσει. Ἐγὼ μὲν οὖν ἐλαχίστην ἐνταῦθα Πλάτωνι πρὸς Ἀριστοτέλη τὴν διαφορὰν οὖσαν εἰδώς· οὐδὲν γὰρ διαφέρει διὰ ψυχῆς παρουσίαν, ἢ τῇ σφῶν φύσει τὰ οὐράνια σώματα εἶναι ἀθάνατα, καὶ ἢ ψυχῆς ἔνδοθεν κινούσης, ἢ ἔξωθεν κατ' ἐπαφήν, ἕως ἂν καὶ ἄμφω τὸν οὐρανὸν φθορᾶς κρείττω διαγενήσεσθαι λέγωσι τοῖς ἄλλοις σώμασιν ἀνομοίως, καίτοι καὶ τὸ ὑπὸ ψυχῆς ἀπαθανατίζεσθαι σχεδὸν εἰς ταὐτὸν ἥκει τῷ φύσει ἀθάνατον γεγονέναι· οὐ γὰρ ἂν θνητὸς ἔτι μένων ἀπαθανατίζοιτο, οὐδὲ χρόνῳ τὴν τοιαύτην διάθεσιν ἂν λαμβάνοι, ἀλλ' ἅμα τε ἂν γίνοιτο καὶ ὑπὸ ψυχῆς κινοῖτο καὶ ἀθανατίζοιτο ὑπ' αὐτῆς καὶ ἀθάνατος ἂν εἴη, ἃ ταὐτόν ἐστι σχεδὸν τῷ φύσει γεγονέναι τοιοῦτον· ἐλαχίστην τοίνυν ἐνταῦθα τὴν διαφορὰν ἐν ἀμφοῖν τοῖν φιλοσόφοιν εἰδώς, Ἀριστοτέλη δὲ τῷ τε λόγῳ καὶ τῇ ἀληθείᾳ συμβαίνοντα μᾶλλον λέγειν ὑπειληφὼς καὶ πρὸς τούτῳ τῇ ἱερᾷ συνᾴδοντα ἀληθείᾳ, δεῖν ἡγοῦμαι μηδὲν πλέον προστιθέναι τοῖς εἰρημένοις.

Εἰ δὲ τὰ περὶ τοῦ πέμπτου σώματος οὕτως Ἀριστοτέλει καλῶς ἔσχεν, οὐδὲ τὰ περὶ τῆς θέρμης, ἣν ὁ ἥλιος ἐν τοῖς ὑποκάτω τούτοις ποιεῖ, δικαίως τις ἂν αἰτιάσαιτο τοῖς τε προαποδεδειγμένοις περὶ τοῦ πέμπτου σώματος ὁμόλογα καὶ καθ' αὑτὰ οὐδὲν ἧττον ἀληθῆ ὄντα. Καὶ ὡς μὲν ἐκείνοις ὁμόλογα, δῆλόν ἐστιν· ὅτι δὲ καὶ ἀληθῆ, αἱ Ἀριστοτέλους κηρύττουσιν ἀποδείξεις, πρὸς ἃς οὐδ' ἀντιβλέπειν Πλήθων ἐτόλμησεν, ἐν αἷς τὸ μὲν θερμότητος αἰτίαν εἶναι τὴν κίνησιν ἐκ τῆς ἐνεργείας ἀποδείκνυσι καὶ μάλα ῥᾳδίως. Ὅθεν ἀρκεῖν φησι καὶ φερόμενον τὸν ἥλιον ἐν τοῖς ὑποκάτω τούτοις τὴν θέρμην παρασκευάζειν καὶ μηδεμίαν ἀνάγκην εἶναι, f. 177 φύσει θερμὸν αὐτὸν εἶναι, | καθάπερ τὸ πῦρ, ἵνα μηδὲν ἡ φύσις μάτην ποιῇ· τὸ γὰρ δι' ἐλαττόνων δυνάμενον γίνεσθαι περιττόν ἐστι διὰ πλειόνων ἀποτελεῖσθαι· καὶ χωρὶς δὲ σημείοις ἱκανοῖς ἀποδείκνυσι τὴν κίνησιν τοῦ οὐρανίου σώματος εἶναι θερμαντικήν, αὐτοῦ τε ἔχοντος δύναμίν τινα τοῦ φερόμενον οὕτω θερμαίνειν καὶ τοῖς ὑποκάτω σώμασι δυνάμεώς τινος τοιαύτης προσούσης, τοῦ κινήσει διακρινόμενα ἐκπυροῦσθαι, ἐξ ὧν ἀμφοῖν τῆς δυνάμεως τῇ κινήσει καὶ ἔργῳ τὴν θέρμην γίνεσθαι. Τὰς μὲν οὖν ἀποδείξεις ἐκείνας οὐ δεῖ παράγειν εἰς μέσον, ἐπεὶ μηδὲ Πλήθων ταύταις ἀντιλέγειν ἠξίωσεν, ἀλλ' ἴσασιν οἱ τὰ Περὶ Αἰσθήσεως καὶ τῶν Μετεώρων Ἀριστοτέλους ἐπιόντες βιβλία· θαυμάζειν δὲ δεῖ Πλήθωνος, ὅτι τὴν σελήνην Ἀριστοτέλει προφέρει μὴ θερμαίνουσαν τῇ φορᾷ, ὡς ἐντεῦθεν

μόνον ὑπολαμβάνων τὴν τοῦ Φιλοσόφου γνώμην ἐλέγχεσθαι· οὐ γὰρ ἁπλῶς τὴν κίνησιν ἀλέας ποιητικήν, ἀλλὰ τὴν ταχίστην ἐκεῖνος εἶναί φησιν. Οὕτως οὖν τὸ μὲν πλεῖστον ἀφεστάναι τὸ φερόμενον σῶμα, καὶ ταχεῖαν οὖσαν τὴν κίνησιν κωλύει θερμαίνειν· τὸ δ' ἐγγύθεν εἶναι τὸ φερόμενον οὐ θερμανεῖ τῷ γε ἐγγύθεν εἶναι, ἂν μὴ καὶ τάχιστα φερόμενον ᾖ, τῆς ταχίστης πρὸς τὸ θερμαίνειν ζητουμένης κινήσεως. Εἰ δὲ καὶ οἷόν τε ἦν τὴν τῆς κινήσεως βραδυτῆτα τῷ μείονι τοῦ διαστήματος ἀνταναπληρουμένην, ὡς αὐτὸς λέγει, θερμαίνειν, τίς ἡμῖν πίστις ἐκ Πλήθωνος ἔσται τοῦ ταῦτ' ἰσοπαλῶς ἐν τῇ σελήνῃ καὶ ἀνάλογον ἔχειν, ἀλλὰ μὴ τὴν τῆς ταχυτῆτος ἔλλειψιν πολλῷ κρείττω εἶναι τῆς ὑπερβολῆς τῆς ἐγγύτητος, ὥστε μηδ' ἐξισάζεσθαι δύνασθαι· οὐ γὰρ ἀρκεῖ μόνον εἰπεῖν Πλήθωνα
| ἀλλὰ καὶ λόγῳ δεῖξαι τὴν τοιαύτην ἀνταναπλήρωσιν δεῖ, μέτρα διδόντα f. 177v
τοῦ τε ἐλλείποντος τάχους καὶ τῆς πλεοναζούσης ἐγγύτητος, καὶ τὰς τούτων, ἴσας ἀποδεικνύντα δυνάμεις· πεφυκέναι δὲ λέγων τὰ δύναμιν ἔχοντα ὁτιοῦν δρᾶν τῶν σωμάτων ἐγγύθεν μᾶλλον αὐτὸ δρᾶν, καλῶς μὲν λέγει, ἀλλ' οὐ συμπεραίνει προϊὼν ἐντεῦθεν ὅπερ ἠβούλετο· συνεπέραινε γὰρ ἂν ἐντεῦθεν τὴν σελήνην κατ' Ἀριστοτέλη τῇ κινήσει θερμαίνειν, εἴ γε τὴν τοῦ θερμαίνειν δύναμιν τῇ κινήσει μόνον, ἀλλ' οὐ τῇ ταχίστῃ φέρων Ἀριστοτέλης ἐδίδου. Ἐκείνου δὲ τῷ τάχει τῆς κινήσεως τὴν τοῦ θερμαίνειν ἀποδιδόντος αἰτίαν, τὴν δὲ σελήνην βραδέως κινεῖσθαι λέγοντος, πῶς Πλήθων ἤλπισε συμπερανεῖν κατ' Ἀριστοτέλους, ὅτι καὶ ἡ σελήνη κατ' αὐτὸν θερμανεῖ τῇ κινήσει, ἢ τῆς σελήνης μὴ θερμαινούσης, δι' ἄλλό τι μᾶλλον ἢ τὴν κίνησιν ὁ ἥλιος θερμότητος αἴτιος ἔσται; Τοὐναντίον γάρ, εἰ τὰ μὴ δύναμιν ἔχοντα δρᾶν τι τῶν σωμάτων, οὔτ' ἐγγύθεν, οὔτε πόρρωθεν αὐτὸ δρᾷ, ἀνάγκη καὶ τὴν σελήνην, μηδεμίαν ἔχουσαν τοῦ θερμαίνειν δύναμιν οὔτε καθ' αὑτήν, οὔτε κατὰ συμβεβηκὸς οὐδενὶ τρόπῳ, τῷ μήτε πῦρ αὐτὴν εἶναι, μήτε τάχιστα φέρεσθαι, εἰ καὶ ἔγγιον ἡμῶν ἐτύγχανεν οὖσα ἢ νῦν ἐστιν, ὁμοίως ἂν μὴ θερμαίνειν.

Περὶ δὲ τῆς τῶν ἄστρων φορᾶς, ἅ φησιν Ἀριστοτέλης τῶν αὐτῷ τιθεμένων οἳ μὲν ἐπαινοῦντες, καὶ αὐτοὶ οὕτω ταῦτ' ἔχειν φρονοῦσιν, οἳ δ' ἐξαιτιᾶσθαι πειρῶνται τὸν ἄνδρα καὶ πρὸς τὴν τῶν ἄλλων γνώμην μεταρρυθμίζειν τρόποις τισίν. Ἐγὼ δ' οὔτε φιλονείκως τῆς Ἀριστοτέλους γνώμης ὑπερασπίζειν βουλήσομαι, ἅτε τὰ τοιαῦτα προθέμενος μετὰ τῆς ἀληθείας σκοπεῖν, οὔτ' Ἀριστοτέλη καὶ τοὺς αὐτῷ τιθεμένους ἐπείσθην ἄν ποτε ῥᾳδίως χεῖρον ἐμοῦ τὰ τοιαῦτα πεφρονηκέναι, ὥς τις | ἐφ' αὐτῷ f. 178
μέγα φρονῶν, εἰ μὴ τὴν ἱερὰν διδασκαλίαν ἐνταῦθα τἀναντία τοῖς Ἀριστοτέλους δόγμασι πείθουσαν εὕρισκον. Διὰ ταῦτα τοσοῦτον ἐρῶ, ὅτι μοι καὶ αὐτῷ καθάπερ Πλήθωνι λίαν ἀπᾷδον εἶναι δοκεῖ τὰ ἄστρα τῇ τῶν σφαιρῶν κινήσει μόνον κινεῖσθαι, ἔμψυχα ὄντα καὶ κατ' αὐτὸν Ἀριστοτέλη. Ἀλλὰ Πτολεμαῖός τέ μοι δοκεῖ βέλτιον λέγειν ὁ μαθηματικὸς καὶ τῶν

ἱερῶν διδασκάλων οἱ πλεῖστοι, ὁ μὲν ἰδίαν κίνησιν ταῦτ᾽ ἔχειν παρὰ τὴν τῶν σφαιρῶν ἀποδεικνύς, οἳ δὲ μὴ ἐμπεπηγέναι ταῦτα τῷ στερεώματι λέγοντες, εἰ καὶ Μωϋσῆς οὕτω τιθέναι ταῦτα δοκεῖ τῇ τῶν Ἰουδαίων ἕξει συγκατιὼν καὶ τὰ τῇ αἰσθήσει πρόδηλα λέγων, ἀλλ᾽ ὑπό τινων ἕκαστα νοερῶν οὐσιῶν κινεῖσθαι, οὐκ εἰδικῶς αὐτοῖς ἑνουμένων, ἀλλ᾽ ἐπαφῇ τινι δυνάμεως, ᾗ καὶ Πλάτων ἐτίθει τὰς ψυχὰς ἑνοῦσθαι τοῖς σώμασι, τοσαύτης ἡμῖν τοῖς ὑπὸ τῆς ἀληθείας πεφωτισμένοις οὔσης ἐν τούτῳ πρὸς Πλάτωνα τῆς διαφορᾶς, ὅτι ὁ μὲν πᾶσαν ψυχὴν ὡς τὸ κινοῦν ἑνοῦσθαι λέγων τοῖς σώμασι, συνωνύμως ἂν φαίη καὶ τὰ οὐράνια σώματα ἔμψυχα εἶναι, ἡμεῖς δὲ τὰς τῶν ζῴων καὶ τῶν φυτῶν ψυχὰς οὐσιωδῶς αὐτοῖς ἑνοῦσθαι καὶ ὡς εἴδη φρονοῦντες, ὁμωνύμως τὰ οὐράνια σώματα ἔμψυχα λέγομεν εἶναι, δυνάμεως ἐπαφῇ μόνον ὑπὸ τῶν νοερῶν κινούμενα φύσεων, ὃ δήπου καὶ αὐτὸς Ἀριστοτέλης τιθέναι δοκῶν, ἐξ ὧν ἐν ὀγδόῳ λέγει τῶν **Φυσικῶν**, οὐκ οἶδ᾽ ὅπως αὖθις ἀκίνητα καθ᾽ αὑτὰ ταῦτα λέγει καὶ ὑπὸ τῶν σφαιρῶν μόνον ἀνελιττόμενα, οὐδὲ τὰ περὶ τοῦ πλήθους καὶ τῶν σφαιρῶν καὶ τῶν ἀνελίξεων ἔξω που καθάπαξ μέμψεως ἱστορῶν· καὶ τὰ μὲν περὶ τοῦ πέμπτου σώματος οὕτως Ἀριστοτέλει καλῶς καὶ σοφῶς ἐκαινολογήθη, καὶ βέλτιον ἢ οἱ πολλοὶ πρότερον λέγειν εἰώθεσαν.

f. 178v Ἐπεὶ δὲ καὶ τὴν τέχνην λέγοντος Ἀριστοτέλους | ἐν τρίτῳ τῶν **Φυσικῶν** μὴ βουλεύεσθαι, φορτικώτερον ἢ ἐν τοῖς ἄλλοις Πλήθων καθάπτεται, ὡς ἐντεῦθεν καὶ ἄθεον αὐτὸν εἶναι συκοφαντεῖν, εἴπερ ἄλλο τι καὶ τοῦτο σοφῶς εἰρημένον Ἀριστοτέλει δείξομεν· οὐ χεῖρον δὲ πρότερον τὸν τοῦ Φιλοσόφου σκοπὸν ἀναλαβόντας ἐκθέσθαι, ἵνα τούτου σαφῶς προκειμένου, ἥ τε ἄγνοια Πλήθωνος καὶ τὸ ψεῦδος πᾶσιν ἔκδηλα ᾖ. Δείξας γὰρ ὁ Φιλόσοφος ἐν ἐκείνῳ τῷ μέρει, ὡς ἡ φύσις ἕνεκά του ποιεῖ, τοὺς τοὐναντίον ὑπειληφότας ἐλέγχει πάνυ καλῶς, τοὺς λογισμοὺς ἀνελὼν ὑφ᾽ ὧν ἐκινοῦντο· καὶ πρῶτα μὲν τοὺς τοῖς ἁμαρτήμασι τῆς φύσεως προηγμένους οὕτω φρονεῖν, οἳ δοκοῦσιν οἱ περὶ τὸν Ἐμπεδοκλέα γενέσθαι, τέτρασι λόγοις καταβαλών· ἔπειτα δὲ καὶ τοὺς τὸ ποιοῦν καὶ τὴν ὕλην πρὸς τὴν τῶν φύσει γινομένων σύστασιν ἀποχρῆν ἡγουμένους καὶ τὸν τοῦ τέλους σκοπὸν παντάπασιν ὡς κενόν τι χρῆμα ἐκβάλλοντας τρίτοις καὶ τελευταίοις λοιπὸν πολεμεῖ, τοῖς οἰομένοις μὴ ποιεῖν ἕνεκά του τὴν φύσιν διὰ τὸ φαίνεσθαι ταύτην βουλευομένην, καί τινας ἀτόπους τούτους εἶναί φησιν, οὐ συνορῶντας καὶ τὴν τέχνην ποιοῦσαν μὲν ἕνεκά του, ἥκιστα δὲ σκεπτομένην περὶ τῶν ἔργων· ὃ δῆλόν ἐστιν ἐκ τῶν τεχνιτῶν, οἳ σκέπτονται μὲν περὶ ὧν οὐδέν πω σαφὲς ἐκ τῆς τέχνης τυγχάνουσιν ἔχοντες· οὗ δέ εἰσι τῆς κατὰ τὴν τέχνην ἀκριβείας ἐπειλημμένοι, ἐνταῦθα δὴ καὶ πάνυ θαρρούντως ἐπιχειροῦσιν, ὡς ἥκιστα ἐξαμαρτησόμενοι. Καὶ ὅλως σαφές ἐστι τὰς τῶν τεχνῶν σαφεστάτας ἥκιστα τῇ σκέψει χρῆσθαι περὶ τῶν ἔργων· οὐ γὰρ ἄν ποτε περὶ τῶν γραμμάτων ὁ γράφειν εἰδὼς

σκέψαιτο, οἷον εἰ τὸ ξύλον δεῖ γράφειν, ξ' συντιθέντα καὶ υ', καὶ τὰ λοιπὰ τῶν στοιχείων ὡς ἂν συντιθοῖτο, ἢ ἄλλον τινὰ τρόπον, καὶ εἰ τὸ ξ' τόνδε δεῖ γράφειν | [f. 179] τὸν τρόπον, ἀλλὰ μὴ τόνδε· καὶ τοὺς ἐνδεῶς ἔχοντας ἀκριβείας καὶ διὰ τοῦτο βουλευομένους, ἐπειδὰν σαφοῦς τινος τῆς τέχνης ἀρχῆς ἐπιλάβωνται, παύεσθαι δεῖ λοιπὸν σκεπτομένους, καὶ ᾗ ἂν ἐκείνη ὑφηγοῖτο, ταύτῃ καὶ ἕπεσθαι· ἢ καὶ κιθαρῳδὸς ἀφυέστατα ἂν ᾄδοι καὶ ἀμουσότατα, εἰ σκέπτοιτο χορδῆς ἑκάστης ἁπτόμενος.

Ἐντεῦθεν οὖν δῆλόν ἐστιν, ὡς εἴ τι ποιοῦν μὴ βουλεύοιτο, οὐ τῷ εἰκῇ καὶ πρὸς οὐδὲν τέλος ποιεῖν, ἀλλὰ τῷ σαφῆ τε καὶ ὡρισμένα μέσα τούτῳ προκεῖσθαι δι' ὧν ἂν μέλλοι ποιεῖν, ἀνενδεῶς ἔχει τοῦ σκέπτεσθαι. Οὕτω δὲ καὶ ἡ φύσις αὐτὴ διά τινων ὡρισμένων μέσων ἐπὶ τὸ πέρας εὐτάκτως ἰοῦσα, οὐκ ἂν δέοιτο σκέπτεσθαι, ὥσπερ ἐνδοιάζουσα καὶ ἀμφιγνοοῦσα· ἅτε δὲ τῷ κατὰ τὴν τέχνην παραδείγματι ταύτην τὴν περὶ τῆς φύσεως πλάνην τῶν ἀνδρῶν ἐκείνων ἀπορραπίσας, μὴ καὶ δόξῃ τισὶν ἀπεοικέναι πως τὸ παράδειγμα, δείκνυσιν ὡς οὐδὲν διενήνοχεν ἡ φύσις τῆς τέχνης, εἰ μὴ τῷ ταύτην ἔνδοθεν ἀρχὴν οὖσαν τῶν γινομένων, ἐκείνης ἔξωθεν οὔσης, ταύτῃ μόνον πλεονεκτεῖν. Εἰ γὰρ ἡ ναυπηγική, φησίν, ἔνδοθεν ἐνήργει τοῦ ξύλου τῷ τῆς φύσεως τρόπῳ, ἐγίνετ' ἂν ὑπὸ τῆς φύσεως ναῦς, ὡς νῦν ὑπὸ τῆς τέχνης εἴωθε γίνεσθαι· καὶ τοῦτο γένοιτ' ἂν μάλιστα δῆλον ἐπὶ τῆς τέχνης τῆς ἐνυπαρχούσης τῷ κατὰ συμβεβηκὸς κινουμένῳ, οἷον τῷ ἑαυτὸν ἰατρεύοντι· ταύτῃ γὰρ ἡ φύσις μάλιστα τῇ τέχνῃ ὡμοίωται. Ὅθεν δῆλόν ἐστιν, ὡς ἡ φύσις λόγος τίς ἐστι τέχνης ὑψηλοτέρας ἐνιδρυμένος τοῖς πράγμασιν, ᾧ πρὸς ὡρισμένον κινοῦνται τέλος, ὥσπερ εἴ τινα δύναμιν ὁ ναυπηγὸς εἶχε κινεῖσθαι ποιεῖν τὰ ξύλα ἐξ ἑαυτῶν πρὸς τὸ τῆς νηὸς εἶδος, καὶ μὴ δεῖσθαί τινος τοῦτ' εἰσάγοντος ἔξωθεν. Οὕτω γοῦν πάνυ τῆς τέχνης ὁμοίας | [f. 179v] οὔσης τῇ φύσει, εἴπερ ἡ τέχνη, καὶ μὴ βουλομένη, ἕνεκά του ποιεῖ, οὐ δι' ἔλλειψιν λόγου ἀλλὰ δι' ὑπερβολὴν ἀκριβείας, ἅτε δι' ὡρισμένων μέσων ἐπὶ τὸ πέρας ἀνενδοιάστως προβαίνουσα, εὔδηλον ὡς εἰ μηδὲ ἡ φύσις βουλεύοιτο, ἅτε πολὺ τὴν τέχνην ἀκριβείᾳ νικῶσα, πολλῷ ἂν μᾶλλον ἕνεκά του ποιοίη.

Οὕτω μὲν Ἀριστοτέλης καλῶς τε καὶ πάνυ διαλεκτικῶς πρὸς τὴν τρίτην τῶν τὴν φύσιν ἀδικούντων μοῖραν ἀπήντηκεν· ἐκείνων γὰρ ἀξιούντων ἅπαν μὴ βουλευόμενον μηδ' ἕνεκά του ποιεῖν, τοιοῦτον δὲ καὶ τὴν φύσιν εἶναι, αὐτὸς ἀπὸ τῆς τέχνης ἐνστάς, δείξας δὲ καὶ τὴν αὐτῆς ὁμοιότητα πρὸς τὴν φύσιν εἰς κατασκευὴν τῆς ἐνστάσεως, καὶ τὸ ἀξίωμα προχείρως οὕτω καὶ τὸ συμπέρασμα συνανεῖλεν. Ὁ δὲ Πλήθων ἐνταῦθα δὴ καὶ πολλῷ φαυλότερος ἑαυτοῦ τὰ πρὸς Ἀριστοτέλη ὑπὸ τῆς ἀκαίρου φιλοτιμίας ἐφάνη· πρῶτον μὲν γὰρ διαβάλλων τὴν λέξιν· „Εἰ γὰρ ἦν ἐν τῷ ξύλῳ, φησίν, ἡ τέχνη, οὐκ ἂν ἐβουλεύετο, τοῦ Φιλοσόφου λέγοντος, ὡς ὁμοίως ἂν τῇ φύσει ἐποίει, καὶ τούτῳ πρὸς κατασκευὴν τῆς ἐν ἀμφοῖν ταύταιν

ὁμοιότητος χρωμένου τῷ λόγῳ“· ἔπειτα τοῦτ' εἶναί φησι τὸ τέχνην μάλιστα συνιστῶν, τὸ βουλεύεσθαι, ὃ ἥν τις αὐτῆς ἀφέλῃ, οὐδ' ἂν ἔτι τέχνη μείνειεν. Ἅπαν δὲ τοὐναντίον ἐστίν· εἰ μὲν γὰρ βουλεύεσθαι τὸ διανοεῖσθαι λέγει, ἀνάγκη μὲν πάντα ἐπὶ τὸ οἰκεῖον ἀφικνεῖσθαι τέλος, νοῦ τινος προβουλευομένου περὶ αὐτῶν, τουτέστι διανοουμένου καὶ τὸ τέλος ἐν ἑαυτῷ προδιατυποῦντος, ὡς αὐτός φησιν. Ἀλλ' οὐχ οὕτω τὸ βουλεύεσθαι οὔθ' οἱ κατὰ τῆς φύσεως ἐπιχειροῦντες, οὔτ' Ἀριστοτέλης ἐλάμβανεν, ἀλλ' ὡς μάλιστα τῷ βουλεύεσθαι χρῆσθαι σύνηθές ἐστιν ἐν τοῖς λόγοις, καὶ ὡς f. 180 ἂν μάλιστα κυρίως νοοῖτο· βουλὴ γάρ ἐστι | κυρίως, ζήτησίς τις τοῦ λόγου περὶ τὰ πρακτά, ἐν οἷς ὁ τῶν ἀνθρώπων βίος συνίσταται· οὗ χάριν καὶ τῶν ἄλλων ἐνεργειῶν ἰδιαίτερόν ἐστι τῶν ἀνθρώπων τὸ βουλεύεσθαι. ὡς ἰδίως ἐνέργεια τοῦ λόγου τυγχάνον, οὐδὲ περὶ τοῦ τέλους ἐστίν, ἀλλὰ περὶ τῶν πρὸς τὸ τέλος λυσιτελούντων, ἐν οἷς πολλή τίς ἐστιν ἡ ἀμφιβολία· περὶ δὲ τῶν τελῶν γελοῖον ἂν εἴη, προδήλων ὄντων, βουλεύεσθαι· οὐ γὰρ δὴ βουλευτέα τῷ στρατηγῷ εἰ συμφέροι νικᾶν, ἀλλὰ πῶς ἂν ἄριστα καὶ ὡς ὁ νόμος ἐπιτάττει τῆς τέχνης πολεμοῦντι τὸ νικᾶν αὐτῷ περιγένοιτο, οὐδ' ὁ ἔμπορος εἰ δεῖ κερδαίνειν βουλεύεται, ἀλλὰ πῶς ἂν μετιόντι τὴν τέχνην τοῦτο δὴ τὸ τέλος ἀκολούθως συμβαίη.

Οὔτε τοίνυν περὶ τοῦ τέλους ἐστὶν ἡ βουλή, οὔτε περὶ τῶν πρακτῶν ἁπάντων, ἃ πρὸς ὁτιοῦν φέρουσι τέλος, ἀλλὰ μάλιστα μὲν περὶ ὧν οὐκ ἔστι τέχνη, ἀλλὰ πεῖρα τις εὐστοχίᾳ συναπτομένη τοῦ πρέποντος ἢ τοῦ συμφέροντος στοχαστικὴ γίνεται, οἷον περὶ τῶν τῇ πόλει συμφερόντων καθόλου, ἢ περὶ τῶν ἑκάστῳ πρός γε τὸν ξύμπαντα βίον· τούτων γὰρ οὐδεμία ἐστὶ τέχνη, ἥν τις μαθών, τά τε κοινά, τόν τε ἑαυτοῦ βίον ἄνευ συμβούλων ὡς ἄριστα δύναιτο διοικεῖν. Διὸ καὶ πολλῶν συμβούλων δεόμεθα, ὡς ἐκ πολλῶν τὸ δέον ἀθροίζοντες, καὶ ἑκάστου πρὸς ἕκαστον τῶν πρακτέων τέχνην τινὰ ἔχοντος, οἱ συμβουλεύοντες, πιστότεροι δοκοῦσι διὰ τὰς τέχνας, περί τε τῶν κοινῶν τῆς βουλῆς οὔσης καὶ ἑκάστῳ περὶ τῶν ἑαυτοῦ. Περί τε τοίνυν τῶν τοιούτων ἔστι βουλεύεσθαι καὶ περὶ ὧν τέχνην μέν τινα ἔχομεν· οὐ δυνάμεθα δὲ ἀκριβῶς πράττειν, ἢ μηδ' αὐτῆς τῆς τέχνης πάνυ τὴν ἀκρίβειαν ἐπιδεχομένης διὰ τὴν ὕλην, ἢ αὐτοὶ διὰ ῥᾳθυ- f. 180ᵛ μίαν οὔπω τῆς κατ' αὐτὴν ἀκριβείας ἐπειλημ|μένοι. Ἕως δ' ἂν ἀκριβῶς τῇ τέχνῃ χρῆσθαι δυνώμεθα, οὐκ ἄν ποτε βουλευσαίμεθα περὶ ὁτουοῦν ὧν δεῖ πράττειν, ὡς ὁ τῆς τέχνης ὑπαγορεύει λόγος· καὶ οὕτω γὰρ καὶ οἰκοδόμος, εἰ μὲν βουλεύοιτο πότερον δεῖ οἰκοδομοῦντα πονεῖν ἢ μή, οὐχ ᾗ οἰκοδόμος, ἀλλ' ᾗ ἄνθρωπος οὕτω βουλεύσεται. Ὡσαύτως δὲ καὶ περὶ τοῦ μεγέθους ἢ σχήματος τοῦ ἔργου, ὁπόσην τινὰ ὕλην καὶ ποίαν ἑτοιμάζειν αὐτῷ δεῖ, ἑαυτῷ μὲν οἰκοδομῶν ᾗ ἄνθρωπος βουλεύσεται, ᾧ συμ-

34 *καὶ* après *λόγος* om D   37 *ἢ πόσην τινὰ* D

βέβηκεν οἰκοδόμῳ εἶναι, ἄλλῳ δὲ πράττειν μέλλων τὸ ἔργον καὶ συμβουλεύσει ᾗ οἰκοδόμος, οὐκ αὐτὸς δὲ βουλεύσεται, ἀλλ' ἅμα ἐρωτηθεὶς ἕκαστα ἀποκρινεῖται, εἰ φρόνιμός τις εἴη καὶ οἰκοδομεῖν ἱκανός· καίτοι οὐδὲ περὶ τούτων ἡ τέχνη προὔργου ἐστίν· οἰκοδομεῖν δὲ εἰδώς, ἐπειδὰν ἄρξηται πράττειν, περὶ οὐδενὸς τῶν κατὰ τὴν τέχνην βουλεύσεται· ἔνια δέ, καὶ φαυλότατος ὤν, ἄνευ βουλῆς πράξει· οὔτε γὰρ εἰ χρὴ πρῶτον ὀρύττειν θεμέλιον, οὔτε εἰ δεῖ τοὺς βαρυτέρους ὑποτιθέναι τῶν λίθων, οὔτε περὶ ὁτουοῦν τῶν τοιούτων χρόνον τινὰ τρίψει σκεπτόμενος. Μηδὲ τοῦ οἰκοδόμου τοίνυν περὶ ὧν οἶδε κατὰ τὴν τέχνην βουλευομένου, σχολῇ γε βουλεύσεταί τις γεωμέτρης ὤν, ὅπως δεῖ γράφειν τὸ τρίγωνον, ἢ εἰ αἱ τρεῖς γωνίαι τοῦ τριγώνου δυσὶν ὀρθαῖς ἴσαι εἰσίν, ἀλλὰ σκέψεται μόνον εἰ οὕτω ταῦτ' ἔχει, οὔπω τὴν τέχνην ἔχων. Εἰ δὲ συμφέρει γεωμετρεῖν, οὐχ ᾗ γεωμέτρης, ἀλλ' ᾗ ἄνθρωπος σκέψεται, καὶ ἕως ἂν αὐτῷ δοκοίη βέλτιον εἶναι γεωμετρεῖν, εἴ τινος θεωρήματος ἡ γνῶσις αὐτῷ μέλλοι συμφέρειν, οὔτ' ἀμφισβητήσει, οὔτε βουλεύσεται. Ὥστε πανταχόθεν δῆλόν ἐστι τὴν τέχνην, ᾗ καὶ Ἀριστοτέλει δοκεῖ, μὴ βουλεύεσθαι, καὶ τοῦτ' εἶναι τὸ τὴν τέχνην μά|λιστα συνιστῶν, τὸ ἀβουλεύτως ποιεῖν δύνασθαι, ὡς δὴ τῆς μὲν βουλῆς ζητήσεως οὔσης, τοῦ δὲ τῆς τέχνης λόγου βεβαίως ἕκαστα f. 181
ἐπιτάττοντος. Διὸ πράττει μὲν ἕνεκά του, ὡς δὴ μετὰ νοῦ τε καὶ φρονήσεως οὖσα· σκέψεως δὲ ἀνενδεής ἐστιν, ὡς οὐ ζητήσει, ἀλλὰ κρίσει γνωριζομένη, καὶ ὡρισμένοις καὶ σαφέσι μέσοις ἐπὶ τὸ οἰκεῖον εὐθυποροῦσα τέλος, τό γε ἐπ' αὐτῇ. Ταύτῃ δὲ καὶ πολλῷ μᾶλλον εἰκός ἐστι τὴν φύσιν ἕνεκά του ποιεῖν, ὡς ἀπὸ μείζονος διανοίας οὖσαν, καὶ σκέψεως οὐδαμῇ οὐδαμῶς δεῖσθαι, ὡς βεβαιοτάτῃ κρίσει καὶ μείζονι καὶ ἀκριβεστέρᾳ λόγου δυνάμει ἕκαστα ἐπιοῦσαν καὶ δι' ὡρισμένων μέσων εὐτάκτως προβαίνουσαν, δι' ὧν χαλεπόν ἐστιν ἀποσφαλῆναι τοῦ τέλους.

Πλήθων δὲ τοῦτο μὲν βουλὴν τὴν τοῦ τέλους πρόθεσιν δῆλός ἐστιν ἀποκαλῶν, καὶ διὰ τοῦτο φύσιν τε αὐτὴν καὶ τέχνην βουλεύεσθαι λέγων, καὶ τούτῳ μάλιστα συνεστάναι καὶ ἄμφω· τοῦτο δὲ τέλος τὸ τῆς πράξεως πέρας λέγειν δοκεῖ· οὐ γὰρ ἂν αὐτὸν ἐλελήθει τοσοῦτον, ὅτι περὶ τοῦ τέλους οὐδεμία ἐστὶ βουλή, ἀλλ' ἢ μόνον περὶ τοῦ τῆς πράξεως πέρατος, ᾧ εὐθὺς συνῆπται τὸ τέλος· οἷον, οὐκ εἰ συμφέρει νικᾶν, ὃ δὴ τέλος ἐστὶ τοῦ πολεμεῖν, ἀλλ' εἰ ὡδὶ συμβάλλειν, ὃ δὴ πέρας ἐστὶ τῆς πρὸς τὸν πόλεμον συμπάσης παρασκευῆς· οὐδ' εἰ συμφέρει οἰκίαν ἔχειν ψύχους καὶ θέρους ἀλεωρήν, ἀλλὰ ποίαν τινα καὶ πῶς διακειμένην δεῖ ταύτην κατασκευάζειν. Καὶ πάλιν ὡς δὴ Ἀριστοτέλους οἰομένου τὴν μὲν τέχνην μὴ σκέπτεσθαι ἐκ τοῦ τά τε ὄργανα τούς τε διακόνους τῆς τέχνης ὄντα μὴ βουλεύεσθαι, τὴν δὲ φύσιν τῷ ἄλογον εἶναι, αὐτὸς οὔτε τὴν τέχνην ἐν ἐκείνοις εἶναί

21-22 *τό γε ἐπ' αὐτῇ* en marge A, en interligne D

f. 181v φησιν, ἀλλ' ἐν τῷ ἀρχιτέκτονι, οὔτε τὴν τῆς φύσεως δραστηριότητα | ἐν τῷ δοκοῦντι ταύτης ἀλόγῳ. Ἃ μὲν οὖν αὐτός φησι Πλήθων ὡς ἐπ' Ἀριστοτέλους διορθώσει, ταῦτ' ἐξ αὐτοῦ Ἀριστοτέλους ἔχει λαβών· ἐξ ὧν δὲ οἴεται κεκινῆσθαι Ἀριστοτέλη, τούτων ἐκεῖνος τἀναντία βούλεται· οὐ γὰρ ὑπ' ἀλογίας, ἀλλ' ἀκριβείας χάριν καὶ τοῦ σὺν λόγῳ ἐπιχειρεῖν τήν τε φύσιν περὶ τῶν γινομένων καὶ τὴν τέχνην περὶ τῶν σκευαστῶν ἀξιοῖ μὴ βουλεύεσθαι, τὴν δὲ φύσιν καὶ πλέον· τοσοῦτ' ἀπέσχεν Ἀριστοτέλης ἢ Ἀναξαγόρᾳ, τῷ προγόνῳ τῶν Πλάτωνος δογμάτων, ἤ τινι τῶν ἀθεωτέρων ἐκείνου ἐς ἀθεότητα συνυπενεχθῆναι· ἀλλὰ Πλήθων δοκεῖ μᾶλλον ἄθεος εἶναι, δεινῶς οὕτω συκοφαντῶν, ἢ κἂν τὰς παρὰ τοῦ θείου τοῖς πονηροῖς κειμένας ποινὰς ἐδεδίει. Ὅτι δὲ συκοφάντης ἐστὶν ἀθεότητα τῷ Φιλοσόφῳ προσάπτων, πλείοσι μὲν ἀποδείξεσιν ἐχρῆν χρήσασθαι, ἃς ἐκεῖνος τοῦ γε τὰ τοιαῦτα ἀσεβεῖν ἐν πᾶσιν αὐτοῦ βιβλίοις ἀφῆκεν· ἀλλὰ θᾶττον ἀπαλλάττεσθαι τῶν Πλήθωνος ἀκαιριῶν βουλομένῳ μοι, δι' ἃς πρότερον αἰτίας ἔφθην εἰπών, ἀρκεῖν δοκεῖ καὶ τὰ τῶν Πρὸς Νικόμαχον ἠθικῶν, ἃ δὴ πρῶτα νῦν τῇ μνήμῃ συνήντησε. Φησὶ τοίνυν ἐκεῖ·

„Ὁ δὲ κατὰ νοῦν ἐνεργῶν καὶ τοῦτον θεραπεύων καὶ διακείμενος ἄριστα, καὶ θεοφιλέστατος ἔοικεν εἶναι· εἰ γάρ τις ἐπιμέλεια τῶν ἀνθρωπίνων ὑπὸ θεῶν γίνεται, ὥσπερ δοκεῖ, καὶ εἴη ἂν εὔλογον χαίρειν τε αὐτοὺς τῷ ἀρίστῳ καὶ τῷ συγγενεστάτῳ· τοῦτο δ' ἂν εἴη ὁ νοῦς καὶ τοὺς ἀγαπῶντας μάλιστα τοῦτο καὶ τιμῶντας ἀντευποιεῖν, ὡς τῶν φίλων αὐτοῖς ἐπιμελουμένους καὶ ὀρθῶς τε καὶ καλῶς πράττοντας. Ὅτι δὲ ταῦτα πάντα τῷ σοφῷ μάλιστα ὑπάρχει, οὐκ ἄδηλον· θεοφιλέστατος ἄρα· τὸν αὐτὸν δὲ εἰκὸς καὶ εὐδαιμονέστατον, ὥστε κἂν οὕτως εἴη ὁ σοφὸς μάλιστα εὐδαίμων."

Καὶ αὖθις·

„Ἀλλ' ἆρά γε ἡ εὐτυχία ἐστὶν ὡς ἐπιμέλειά τις Θεοῦ; ἢ τοῦτο οὐκ
f. 182 ἂν δόξειε; Τὸν γὰρ Θεὸν ἀξιοῦμεν κύ|ριον ὄντα τῶν τοιούτων τοῖς ἀξίοις ἀπονέμειν καὶ τὰ ἀγαθὰ καὶ τὰ κακά· ἡ δὲ τύχη καὶ τὰ ἀπὸ τύχης ὡς ἀληθῶς ὡς ἂν τύχῃ γίνεται. Εἰ δέ γε τῷ Θεῷ τὸ τοιοῦτον ἀπονέμομεν, φαῦλον αὐτὸν κριτὴν ποιήσομεν· ἢ οὐ δίκαιον τοῦτ' οὐδὲ προσῆκόν ἐστι Θεῷ, ἀλλὰ μὴν ἔξω γε τούτων εἰς οὐδὲν ἄλλο τὴν τύχην ἄν τις τάξειεν· ὥστε δῆλον, ὅτι τούτων ἂν εἴη. Νοῦς μὲν δὴ καὶ λόγος καὶ ἐπιστήμη παντελῶς ἀλλότριόν τι ἔοικεν εἶναι. Ἀλλὰ μὲν οὐδὲ ἡ ἐπιμέλεια καὶ ἡ εὔνοια ἡ παρὰ τοῦ Θεοῦ δόξειεν ἂν εἶναι εὐτυχία διὰ τὸ καὶ ἐν τοῖς φαύλοις ἐγγίνεσθαι· τὸν δὲ Θεὸν τῶν φαύλων οὐκ εἰκὸς ἐπιμελεῖσθαι." Καὶ πάλιν· „Τοὺς θεοὺς γὰρ μάλιστα ὑπειλήφαμεν μακαρίους καὶ εὐδαίμονας εἶναι." Εἶτ' ἐπάγει μετ' ὀλίγα· „Ὥστε ἡ τοῦ Θεοῦ ἐνέργεια, μακαριότητι διαφέρουσα, θεωρητικὴ ἂν εἴη."

9 *συνυπενεγχθῆναι* AD 15 *ἐν τέλει* après *καὶ τὰ* add D

Ταῦθ' ὑπὲρ τῆς Ἀριστοτέλους θεοσεβείας, ἣν καὶ Πλάτωνι μέχρι τοσούτου σύνισμεν ἀληθῶς, ἐξαρκεῖ, καὶ οὐδεὶς ἂν ἔτι πεισθείη Πλήθωνι συκοφαντοῦντι, Ἀριστοτέλους ταῦτα εἶναι πεισθείς, οὔτε κατὰ τῆς τῶν ῥημάτων τούτων ἐννοίας ἐπιχειρήσειεν ἄν τι Πλήθων ῥᾳδίως, καίτοι πάντα τολμῶν, οὕτω σαφοῦς οὔσης καὶ νικώσης πᾶσαν διαβολήν.

Πρὸς δὲ τοῖς ἄλλοις κἀκεῖνο φαυλότατα πάντων εἰρῆσθαι τῷ Φιλοσόφῳ Πλήθων φησί, τὸ τῶν γινομένων ἔνια καὶ αἰτίου χωρὶς γίνεσθαι· συνελαθέντα δὲ καὶ ὑπό τινος ἀνάγκης τοῦτ' εἰπεῖν, ὡς μὴ δυνάμενον ἄλλως ἂν τῇ περὶ τοῦ ἐνδεχομένου γνώμῃ συνάρασθαι, οὕτω δὲ λέγοντα τριχῶς ἁμαρτεῖν· πρῶτον μὲν γὰρ ἑαυτῷ, φησίν, ἀντιβαίνει, μὴ ὅτι πᾶσι σοφοῖς τε καὶ ἰδιώταις, εἴπερ ἀξιοῖ πᾶν τὸ κινούμενον ὑπό του κινεῖσθαι· ἐντεῦθεν γὰρ δείκνυσιν ὁ Πλήθων λαβών, ὡς καὶ πᾶν τὸ γινόμενον ὑπό τινος γίνεσθαι φρονεῖν ἔμελλε, μᾶλλον δὲ πᾶσα ἦν ἀνάγκη ταύτῃ φρονεῖν· δεύτερον, τὴν τοῦ θείου | δόξαν ἀσθενῆ ποιεῖ, ὡς ἐπὶ ταύτην προχείρως f. 182v τῶν ἀνθρώπων φέρεσθαι δυναμένων ἐκ τοῦ πολλὰ μὲν τῶν γινομένων ὁρᾶν, οὐκ ἔχοντα φανερὰς αἰτίας, μηδὲν δὲ γίνεσθαι χωρὶς αἰτίου τινός· τρίτον, οὐδὲν λέγει σαφές· οὐ γὰρ δείκνυσι τί τὸ χωρὶς αἰτίου γινόμενον, εἰ μή τις τὸ βουλεύεσθαι φαίη· ὅ φησιν αὐτὸς τῶν ἐσομένων ἀρχὴν εἶναι ἐν τοῖς περὶ προτάσεων λόγοις· τοῦτο δὲ ψεῦδός ἐστιν· ἀρχὴ γὰρ τοῦ βουλεύεσθαι καὶ τὰ περιϊστάμενα ἡμᾶς πράγματα γίνεται.

Ταῦτα μὲν ὁ Πλήθων ταῖς ἄλλαις αὐτοῦ συκοφαντίαις καὶ ἀμαθίαις προσέπλεξεν. Ἐγὼ δὲ πῶς μέν φησιν Ἀριστοτέλης ἀρχὴν εἶναι τῶν ἐσομένων καὶ ἐκ τοῦ βουλεύσασθαι καὶ τοῦ πρᾶξαί τι, καὶ εἰ τὰ περὶ τῆς ἀνάγκης καλῶς ἢ φαύλως ἐκτέθειται Πλήθωνι, ὑφ' ἧς λέγει τὸν Φιλόσοφον προαχθέντα τὴν ἀντίφασιν ταύτην τῶν ἀξιωμάτων παθεῖν, παρίημι νῦν ἐξετάζειν τάχους εἵνεκα· ὃ καὶ τὴν ἀρχὴν προθεμένῳ μοι νῦν ἐπιτηδεύειν πλέον συμβαίνει, καθάπερ τοῖς ὑπὸ μακρᾶς ὁδοῦ κάμνουσι· τὸν δὲ Φιλόσοφον ἐπιδείξω διὰ βραχέων πάνυ καλῶς καὶ ἑαυτῷ συμφώνως ἀξιοῦντα χωρὶς αἰτίου τῶν γινομένων ἔνια γίνεσθαι.

Ὅτι μὲν οὖν ἅπαν τὸ γινόμενον καὶ ὑπό τινος γίνεσθαι δεῖ, σαφῶς οὕτως Ἀριστοτέλης ἐν ἐνάτῳ τῶν Μετὰ τὰ φυσικὰ καὶ πολλοῖς ἄλλοις εἴρηκε λόγοις. Ὅθεν εἰκῇ Πλήθων πεπόνηκεν, ὡς δὴ μὴ λέγοντος τοῦτ' Ἀριστοτέλους, πειρώμενος ἀποδεικνύναι τοῦτο δεῖν ἂν αὐτὸν εἰπεῖν, εἰ καὶ τὸ κινούμενον ἅπαν οὐκ ἀπηξίωσεν ὑπό του κινεῖσθαι· εἰ δὲ καὶ ἔνια τῶν γινομένων ἄνευ αἰτίου γίνεσθαι λέγει, τὸ μὲν αἴτιον κατὰ τὴν ὡρισμένην ἔννοιαν, τὸ δὲ γίνεσθαι κατὰ τὴν ὁλοσχερῆ καὶ συγκεχυμένην δήπου λαμβάνει. Τὰς μὲν γὰρ φυσικὰς γενέσεις, ἐν αἷς πάντα συντρέχει, ἃ πρὸς τὴν τῶν φύσει γινομένων σύστασιν καθόλου τε καὶ κοινῶς συνέρ-

---

15 *ἀναφέρεσθαι* D 27 *εἰκότως* avant *συμβαίνει* add D

f. 183 χεσθαι δεῖ, | τοῦτ' αὐτὸ γενέσεις κυρίως· ἐν ὅσαις δὲ μὴ πάντα συντρέχει, ἐπεὶ διελεῖν ἔδει χωρίς, ποιήσεις ἐκάλεσε, καὶ γίνεσθαι μὲν ἁπλῶς τὰ πρὸς ὕπαρξιν ἀφιγμένα ὁποιανοῦν, κυρίως δὲ τὰ διὰ τὴν φύσιν γινόμενα. Οὕτω δὲ καὶ αἴτιον ἁπλῶς μὲν ἅπαν πρὸς τὴν τινὸς ὕπαρξιν συντελοῦν ὀνομάζει, ἀποδιαιρεῖ δὲ τὰ κυρίως λεγόμενα, ἅτε καὶ τῆς τῶν αἰτίων ἐννοίας πολυσχιδοῦς οὔσης· ὧν ἁπασῶν ὁρίζειν δεῖ τὰς διαφορὰς τόν γε μέλλοντα φιλοσοφήσειν γνησίως· καὶ ἵνα τὰς ἄλλας παρῶ διαφοράς, καθόλου μὲν αἴτιον ἑκάστου μάλιστα λέγει τὸ προσεχές· εἰ γὰρ καὶ ἁπλῶς αἴτιον τὸ πρῶτόν φησιν ἐν... τῶν Μετὰ τὰ φυσικά, ἀλλὰ τονδὶ αἴτιον τὸ προσεχὲς μάλιστα εἶναι, ὡς αὐτοῦ μόνου καὶ ἴδιον. Ὅθεν ἐν ὀγδόῳ τῶν Θεολογικῶν· „Δεῖ δέ, φησί, τὰ ἐγγύτατα αἴτια λέγειν· τίς ἡ ὕλη; μὴ πῦρ ἢ γῆ; ἀλλὰ τὴν ἴδιον.“ Ὁποῖον δὲ πάλιν αἴτιον ὡς τὸ κινοῦν δεῖ τιθέναι δεικνὺς ἐν τῷ ἐνάτῳ· „Πᾶν, φησί, τὸ γινόμενον ἔκ τινος γίνεται καὶ ὑπό τινος, καὶ τοῦτο ὑφ' οὗ γίνεται, δηλονότι τῷ εἴδει, τὸ αὐτὸ καὶ ἐνεργοῦν πρότερον.“ Τὰ δ' αὐτὰ καὶ ἐν ἑβδόμῳ φησί· „Καθόλου δὲ καὶ ἐξ οὗ φύσις καὶ καθ' ὃ φύσις· τὸ γὰρ γινόμενον ἔχον φύσιν, οἷον φυτόν, ἢ ζῷον, καὶ ὑφ' οὗ ἡ κατὰ τὸ εἶδος λεγομένη φύσις ἡ ὁμοειδής, αὕτη δὲ ἐν ἄλλῳ· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ.“ Καὶ πανταχοῦ τὴν ποιητικὴν αἰτίαν τῶν φύσει γινομένων ἐνεργείᾳ τε εἶναι καθ' αὑτὴν προϋφεστῶσαν τοῦ γινομένου καὶ ὁμοειδῆ τῷ γινομένῳ εἶναί φησιν, οἷον τοῦ γεννωμένου ἀνθρώπου τὸν ἄνθρωπον· ποιητικὸν δέ πως καὶ τὸ σπέρμα φησίν, ἔχον τε τὸ εἶδος τοῦ γεννωμένου, εἰ καὶ δυνάμει, καὶ συνώνυμόν πως ὑπάρχον τῷ πέμποντι.

Ἐπεὶ τοίνυν ἔνια τὰ αὐτὰ καὶ ἐκ σπερμάτων καὶ χωρὶς γίνεται σπέρματος, τὰ χωρὶς γινόμενα σπέρματος ἐξ αὐτομάτου φησὶ γίνεσθαι· αἰτίαν f. 183v τε τῆς αὐτο|μάτου τῶν γινομένων ἐν τῇ φύσει συστάσεως τὴν τῆς ὕλης δύναμιν εἶναι, ἐπειδ' ἂν αὕτη καὶ ὑφ' αὑτῆς δύναιτο κινεῖσθαι ταύτην τὴν κίνησιν, ἣν τὸ σπέρμα κινεῖ· καὶ οὕτω γίνονται τῶν τε βοτανῶν ὁπόσας αὐτομάτως ἡ γῆ φύει μηδὲν αὐτῶν δεξαμένη σπέρμα, καὶ ζῷα πολλὰ σπέρματός τε καὶ τῆς ὁμοειδοῦς αἰτίας χωρίς, ὥσπερ σφῆκες καὶ σκώληκες. Οὔτε τοίνυν ὡς ἐκ μηδενὸς γένους αἰτίας γεγενημένων, οὐθ' ὡς ἐκ μηδενὸς ὅλως αἰτίου ποιητικοῦ τῷ αὐτομάτῳ τὴν τῶν τοιούτων δίδωσι γένεσιν, ἀλλὰ τὸ μὲν ὡς ἐπίπαν τελούμενον ἐν τῇ φύσει, τοῦτο δὴ καὶ κυρίως εἶναι τιθείς· τῶν δὲ γινομένων, πλὴν ὀλίγων, τῶν ξυμπάντων σχεδὸν προσεχεῖς αἰτίας εἶναι εἰδὼς ὁμοειδεῖς, ἢ ἐνεργείᾳ τὸ εἶδος ἐχούσας, ἢ δυνάμει, καθάπερ τὰ σπέρματα· γίνεσθαί τε κυρίως λέγει τὰ οὕτω γινόμενα καὶ τούτων μόνων αἰτίαν εἶναι ποιητικήν· ἢ προσεχῶς κινοῦσα τὴν ὕλην, τὸ παρ' αὑτῆς ἐντίθησιν εἶδος· ὅσα δὲ μὴ οὕτως ἔχει, οὔτε τοῦ

9 blanc après ἐν pour la référence omise

εἰδικοῦ λόγου τῶν φύσει γινομένων ἀπολαύειν καθάπαξ, πλὴν ὥστε μὴ ἀεὶ εἶναι δείκνυσθαι· τοῦτο δὴ τὸ τοῖς ἐν γενέσει καὶ φθορᾷ πᾶσιν ὑπάρχον καὶ αἰτίαν οὐκ ἔχοντα ποιητικήν, ὡς τὰ φύσει γινόμενα, προσεχῆ τε καὶ τοῦ αὐτοῦ τυγχάνουσαν εἴδους, ταύτῃ καὶ αὐτομάτως ταῦτα λέγει συνίστασθαι, ἐπεὶ ὅτι ἔκ τινος ὕλης καὶ ταῦτα γίνεται καὶ τῶν ἀνωτέρω κινητικῶν, ὑφ' ὧν ἡ ὕλη διατιθεμένη πως, ὑφ' αὐτῆς πρὸς τὴν τούτων ἔκφυσιν ἔρχεται, μηδεμιᾶς προσεχοῦς αἰτίας κινούσης καὶ ἐνδιδούσης τὸ ἑαυτῆς εἶδος, ὡς ἐπὶ τῶν ἄλλων πάντων συμβαίνει, οὔτ' ἠρνήσατό ποτ' Ἀριστοτέλης καὶ πανταχοῦ ταῦτα βοᾷ· οὕτω δὲ ἔχων, οὐ τὸ πᾶσι καὶ αὐτῷ δοκοῦν ἀξίωμα ἀναιρεῖ, τὸ ἅπαν γινόμενον ὑπό τινος γίνεσθαι, οὐδ' ἀντιφάσκει τοῖς γε καλῶς εἰδόσι κριταῖς, πάντων ὧν φησιν ἀλλήλοις τε καὶ τῇ ἀληθείᾳ συμβαινόντων καλῶς· ἅπαν τε γὰρ | ἐκ νέου εἰς ὕπαρξιν ἧκον ὑπό τινος f. 184
αἰτίας ἀνάγκη γίνεσθαι, τοὐλάχιστον τῆς κινήσεως τῶν ὑψηλοτέρων σωμάτων, καὶ ἅπαν φύσει γινόμενον ὑπό τινος αἰτίας δεῖ γίνεσθαι ποιητικῆς· ἣν δὴ προσεχῆ τε καὶ ὁμοειδῆ τυγχάνειν ἀνάγκη, ἢ δυνάμει, ἢ ἐνεργείᾳ τὸ εἶδος ἔχουσαν. Καὶ πάλιν ἔνια τῶν γινομένων ἁπλῶς εἴτ' οὖν ἐρχομένων εἰς ὕπαρξιν, αὐτομάτως καὶ χωρὶς τῆς εἰρημένης αἰτίας γίνεται, ἣ τοῖς κατὰ φύσιν γινομένοις πᾶσιν ἁρμόττει, ὥσπερ τὰ χωρὶς σπέρματος καὶ γονῆς γινόμενα ζῷά τε καὶ φυτά· τοῦτο γὰρ αὐτὸ καὶ τοῖς τέχνῃ γινομένοις συμβαίνει, ὅτι πολλάκις τῆς κατὰ τὴν τέχνην ἐνεργείας χωρὶς ὅμοια τοῖς τέχνῃ γινομένοις ἀποβαίνουσιν ἔνια, ὥσπερ εἴ τινος ἐπὶ τῷ ἀνελεῖν πλήξαντος διακοπείη τε τὸ φῦμα καὶ ἰαθείη, ἢ ὅ φασί ποτε ζωγράφῳ συμβῆναι, ὅτι γράφοντος ἵππον καὶ ῥίψαντος ἀκουσίως τὴν σπογγιάν, ἀφρὸς ἐν τῷ τοῦ γραφομένου στόματι κατὰ τύχην ἀπετυπώθη· καὶ δηλητηρίων δέ τινες ἐπ' ὠφελείᾳ μᾶλλον ἀπήλαυσαν ἀπεναντίας τοῦ τῶν κερασαμένων ταῦτα σκοποῦ. Ταῦτα δὲ τοῖς τέχνῃ γινομένοις καθ' ὁμοιότητα τῶν φύσει γινομένων συμβέβηκεν· ἐν ἅπασι γὰρ ἡ τέχνη κατόπιν ἥκει τῆς φύσεως.

Ὥσπερ οὖν αὐτομάτως ἰαθῆναι τὸ φῦμα λέγεται, οὐχ ὅτι ἀπ' οὐδεμιᾶς αἰτίας, ἀλλ' ὅτι μὴ προηγησαμένης τῆς οἰκείας αἰτίας τοῦτο συνέβη, οὕτω καὶ τῶν γινομένων τὰ αὐτομάτως λεγόμενα γίνεσθαι, οὐ τῷ ἀπ' οὐδεμιᾶς αἰτίας, ἀλλὰ τῷ χωρὶς τῆς οἰκείας καὶ κατὰ φύσιν ἁρμοττούσης τῷ γένει γεννᾶσθαι ἢ φύεσθαι πάνυ καλῶς τὴν τῶν αὐτομάτων ἔλαχον κλῆσιν. Ταῦτα ποίαν, ὦ Πλήθων, ἀντίφασιν περιέχει, ἢ πῶς τὴν περὶ τοῦ θείου δόξαν ἀναιρεῖ, εἰ μὴ καὶ μᾶλλον ταύτην συνίστησιν, | ἐν τοσαύτῃ τῶν f. 184ᵛ
γινομένων διαφορᾷ τῆς ὑπερβαλλούσης σοφίας τῆς πρώτης αἰτίας φανερουμένης, ἢ πολλαῖς ὁδοῖς τά τε φύσει τά τε τέχνῃ γινόμενα τέταχε γίνεσθαι; Ἀνῄρει δ' ἂν Ἀριστοτέλης ὡς ἀληθῶς τὴν περὶ τοῦ θείου δόξαν, εἰ πάντα

5 *ἀνωτέρων* D

γίνεσθαι χωρὶς αἰτίου καὶ αὐτομάτως ἐτίθει, καίτοι σὺ καὶ τοῦτο περιάπτειν ἐκείνῳ τετόλμηκας· ἀλλ' οὐδὲν ἤνυσας. Καθάπερ οὖν τις μήτε τὴν φύσιν εἰδὼς καὶ τὰ κατὰ ταύτην γινόμενα, μήτε τῆς Ἀριστοτελικῆς ἐπαΐων λέξεως, καὶ ἀντιφάσκειν καὶ τῇ δόξῃ τοῦ θείου κίνδυνον ἐπιφέρειν Ἀριστοτέλη νενόμικας· καὶ πρὸς τούτοις παραδείγματα μὲν τῶν αὐτομάτως ἐν τῇ φύσει γινομένων οὐ τιθέντος ἐκείνου, τὸν δὲ σκοπὸν πολλοῖς τεκμηρίοις ἐκφαίνοντος, ἄλλως τε καὶ τῷ πάντας ἂν δύνασθαι καὶ οἴκοθεν ἐφευρίσκειν, μὴ βουληθέντος περιττὸν ὑφίστασθαι πόνον, αὐτός, πλὴν τοῦ βουλεύεσθαι, οὐδὲν ἄν ποτε ἄλλο σκοπῆσαι τὸν Ἀριστοτέλη ἐν ἐκείνοις ἀπεφήνω τοῖς λόγοις, καίτοι τῷ βουλεύεσθαι τίς πρὸς τὰ φύσει γινόμενα κοινωνία; Μόλις γὰρ ἄν, εἰ τῇ σῇ φιλοσοφίᾳ ὅμοιος ἦν, καὶ οἷον αὐτὸς ἀποφαίνειν πειρᾷ, παράδειγμα τῶν ἄνευ αἰτίας ἐν τῇ φύσει γινομένων ὁμοειδοῦς τὸ βουλεύεσθαι τιθέναι προήχθη· οὕτω καλῶς τῶν Ἀριστοτέλους λόγων συνίης.

Οὕτω γοῦν συνιέντα καὶ πρὸς τούτῳ τολμηρὸν ὄντα, τί λοιπὸν ἦν ἢ καὶ ἀντιλέγειν πειρᾶσθαι; Ἀλλὰ Πλήθων μὲν τοῖς κατ' Ἀριστοτέλους λόγοις τοὺς ἀπαιδεύτους μόνους πείθειν δυνήσεται· ἐγὼ δὲ πρὸς αὐτά τε ταῦτα, ἅπερ ἔναγχος ἐξητάζετο, καὶ πρὸς τὰ πλεῖστα τῶν Ἀριστοτέλους, ἐν οἷς πρὸς Πλάτωνα διενεχθῆναι δοκεῖ, ἑνὶ τῷδε χρῶμαι κανόνι, ᾧ κεχρημένος καὶ τὼ φιλοσόφω διαλάττειν ἂν ἡγοῦμαι καὶ μήθ' ἁμαρτεῖν f. 185 ἄν ποτε | τῆς ἀληθοῦς περὶ ἑκατέρου γνώμης, μήτε συκοφαντήσειν· ἔστι δὲ ὁ κανών, ὅτι Πλάτωνα μὲν εὑρίσκω καθόλου τε καὶ συγκεχυμένως μετιόντα τοὺς λόγους εἴτε διὰ τὸ ῥητορικῇ φιλοσοφίαν ἐπιχρωννύειν οὕτω δοκοῦντα, εἴτε καὶ δόξαν αὐτῷ βέλτιον εἶναι τῇδε φιλοσοφεῖν· Ἀριστοτέλη δὲ διωρισμένως τε καὶ σαφῶς καὶ οἰκείως πάνυ τοῖς λόγοις χρησάμενον, πρᾶγμα φιλοσόφῳ τε καὶ φιλοσοφίας ἐσομένῳ καθηγεμόνι πρέπον πεποιηκότα. Οὕτω γοῦν καὶ τὴν κίνησιν ὁ μὲν ἐν φυσικῇ μεταβολῇ θεωρῶν, ἥ ἐστιν ἐν τοῖς κινουμένοις τῶν ὄντων, οὐκ ἀξιοῖ κινεῖσθαι τὰ ὡσαύτως ἔχοντα· ὁ δὲ Πλάτων τὴν ἀπὸ τοῦ εἶναι πρὸς τὸ ἐνεργεῖν ἔκτασιν κίνησιν λέγων, καὶ τοῖς ἀμεταβλήτοις ταύτην προσάπτειν οὐκ ἀπαξιοῖ· ὡς δὲ καὶ περὶ τὸν οὐρανὸν τῷ ἀγενήτῳ τε καὶ γενητῷ διηνεχθήτην, καὶ ἁπλῶς ἐν πᾶσι σχεδὸν ὃ μὲν τὰ οἰκεῖα καὶ κύρια καὶ σαφῆ καὶ διωρισμένα, ὃ δὲ τὰ ὁλοσχερῆ καὶ ὁπωσοῦν τοιαῦτα λαμβάνει· ὁ μὲν Πλάτων πανταχοῦ τῷ τοιούτῳ χρώμενος ἔθει· ὁ δ' ἐν οἷς μὲν περὶ ἑκάστων πρόκειται λέγειν, τὸν εἰρημένον τρόπον διατηρῶν, οὗ δ' ἂν μὴ δέοι διακρίνειν, καὶ τὴν Πλατωνικὴν μιμούμενος σύγχυσιν, τουτέστιν ἅπαντα μετὰ τοῦ γιγνομένου ποιῶν, ὡς μὴ ἄν ποτε πλάνης αἴτιον γενέσθαι τινί, εἰ μὴ νοῦ τε ὁμοίως καὶ λογικῶν μεθόδων ἄμοιρος εἴη. Τὰ τοιαῦτα δέ μοι καὶ ἐν τῇ ἀρχῇ τοῦδε τοῦ συγγράμματος εἴρηται. Τίς οὖν, οὕτως ἐχόντοιν τοῖν φιλοσόφοιν,

---

18 *διενεγχθήτην* D 30 *διηνεγχθήτην* D

ἢ τὸν πρεσβύτερον τοῦ νεωτέρου προθήσει, ἢ συκοφαντῶν τοὺς παρὰ τῶν τῷ βελτίονι καὶ ἀκριβεστέρῳ προσεχόντων ἐλέγχους ἐκφεύξεται;

Ἐπὶ τούτοις εὔηθες εἶναι Πλήθων Ἀριστοτέλους φησὶ καὶ τὸ μὴ συγχωρεῖν τὴν κίνησιν διττὴν καὶ | ὁμώνυμον εἶναι· καὶ τίθησι μὲν λόγον f. 185v ἐπὶ κατασκευῇ τοῦ διπλῆν ὑπάρχειν αὐτήν, ἐλέγχειν δὲ οἴεται καὶ τὸ πεῖσαν ἐκεῖνον τοιαύτην δόξαν λαβεῖν. Ἐγὼ δὲ καίτοι δυνάμενος διὰ πλειόνων εὐηθέστατον ἐπιδεῖξαι κἀνταῦθα Πλήθωνα, Ἀριστοτέλη δὲ φρονίμως τε καὶ ἐπεσκεμμένως καὶ περὶ τῶν προκειμένων εἰπόντα, διὰ βραχέων ὅμως τοῦτο ποιήσω, τὴν Ἀριστοτέλους περὶ κινήσεως πρῶτον δόξαν ἐκθείς.

Ἡ μὲν δὴ κίνησις καθόλου μὲν κατ' Ἀριστοτέλη τῶν πολλαχῶς ἐστι λεγομένων· τῆς τε γὰρ κοινῆς αἰσθήσεως ἀντικείμενον εἶναι δοκεῖ καί τινα συνέχειαν αὖθις ἐπὶ τοῦ μεγέθους ἐμφαίνειν, καὶ πρὸς τούτοις ἀτελές τι σημαίνειν ἐν τῇ φύσει τοῦ πράγματος, δι' ἃ καὶ χαλεπόν ἐστιν αὐτὴν ὑφ' ἓν θεῖναι γένος· ᾗ μὲν γὰρ κινεῖ τὴν αἴσθησιν, ποιότης ἂν εἴη· ἅτε δὲ συνεκτεινομένη τῇ τοῦ μεγέθους ἐκτάσει, τάττοιτο ἂν ἐν ποσότητι· ὡς δ' ἀτελές τι δηλοῦσα, συγγενὴς ἂν εἴη τῇ τελειότητι, πρὸς ἣν τελευτᾷ καὶ ἥτις ἐστὶν ὁ τῆς κινήσεως ὅρος· τὸ γὰρ ἀτελὲς καὶ τὸ τέλειον ἐν τῷ αὐτῷ γένει προδήλως εἰσίν. Ἄνευ δὲ τούτων ἁπάντων τὴν πρὸς τὸ εἶναι τοῦ γινομένου πράγματος σημαίνει προχώρησιν ἐκ τοῦ δυνάμει μὲν ἀρχομένην, πρὸς δὲ τὸ ἐνεργείᾳ καταντῶσαν, εἰ μήπως διακοπείη. Καὶ οὗτός ἐστι τοῖς φύσει συνισταμένοις ὁ τῆς ὑπάρξεως τρόπος καθ' ὃν ὁ Φιλόσοφος ἐν τρίτῳ τῶν Φυσικῶν τὴν κίνησιν θεωρῶν ἐν τῷ τῆς ἐνεργείας τίθησι γένει, ἐνέργειαν λέγων τὴν ἀτελῆ καὶ καθ' ἣν ἐνεργείᾳ τόδε τι γίνεται, δυνάμει καθάπαξ πρότερον ὄν· ἣν ὡς μὲν τῷ κινουμένῳ καὶ πάσχοντι προδήλως ἐνοῦσαν πάθος ἂν πρέποι καλεῖν καὶ τῆς τοῦ ποιοῦντος δράσεως ἀποτέλεσμα· ἐπὶ δέ γε διαστολῇ τοῦ δυνάμει καὶ καθ' ὁμοιότητα τῆς ἐντελοῦς | ἐνεργείας, πρὸς ἣν ἤδη βαδίζει τὸ οὕτω κινούμενον, εὔλογόν ἐστι f. 186 καὶ ἐνέργειαν λέγειν αὐτήν· ἄλλως θ' ὅτι οὐκ ἐνεργεῖται μᾶλλον ἢ ἐνεργεῖ κατ' αὐτὴν τὸ κινούμενον, ἅτ' ἐκ τῆς οἰκείας ἔχον φύσεως τὸ τῇδέ πῃ κινεῖσθαι, κἂν ἄλλο τι τὴν ἀρχὴν ἔξωθεν ἐνδιδῷ τῆς κινήσεως, καὶ οὕτω συνεργαζόμενον τῷ κινοῦντι καὶ συμπρᾶττον ἑαυτοῦ τὴν τελείωσιν. Καθόλου μὲν οὖν ὁμωνύμως ἡ κίνησις λέγεται· οὐδὲν γάρ ἐστι γένος ὡρισμένον κινήσεως, ἀλλ' ἅπαντα περιέρχεται τὰ γένη σχεδόν· καθέκαστον δὲ τρόπον λαμβανομένη χωρίς, συνωνύμως ἔστι τε καὶ λέγεται· οἷον, ᾗ κινεῖ τὴν αἴσθησιν, ἐν τῷ τῆς ποιότητός ἐστι γένει, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως.

Ἐπεὶ δὲ δεῖ καὶ περὶ τῶν καθέκαστα κινήσεων σκέψασθαι, ἣ μέν ἐστιν ἐν τῇ τῶν πραγμάτων φύσει, τῷ τ' ἀριθμῷ καὶ τῷ λόγῳ μία ἑκάστη

---

10 *καὶ* avant *κατ'* add D 22 *Φυσικῶν* corrigé de *Ἠθικῶν* par Scholarios D, *Ἠθικῶν* A

πέφυκε κίνησις, ἐνέργειά τις ἀτελὴς οὖσα καὶ τῆς ἐντελοῦς ἐνεργείας ὥσπερ προκάταρξις, ὡς ἐν ὑποκειμένῳ τῷ πάσχοντι λαμβάνουσα τὴν ὑπόστασιν, καὶ τὴν ἑνότητα ταύτην ἐκ τῆς τοῦ ὑποκειμένου λαμβάνει ἑνότητος, ἂν μόνον ᾖ συνεχής· ᾗ δὲ ὑπὸ λόγου καταλαμβάνεται, διττή πως ἐστίν, ἅτε διττῷ λόγῳ ὁριζομένη τῷ τῆς ἐνεργείας τε καὶ τοῦ πάθους· ἔστι μὲν γὰρ ἡ κίνησις ὥσπερ τι δυοῖν ὅρων μέσον, ὧν τοῦ γε προηγουμένου πρὸς τὸν ἑπόμενον ἡ αὐτή ἐστι καὶ παντὸς ἀτελοῦς πρὸς τέλειον καὶ δυνάμεως πρὸς ἐνέργειαν τάξις· τούτοις δὲ ὁ τῆς αἰτίας καὶ τοῦ τέλους συνανίσχει λόγος εὐθύς, οὐδενὸς οἵου τε ὄντος ἐκ δυνάμεως πρὸς ἐνέργειαν ἄγεσθαι, μή τινος αἰτίας ποιούσης καί τι σκοπούσης τέλος, ὃ γένοιτ' ἂν αὐτῇ τε καὶ τῇ πασχούσῃ φύσει οἰκεῖον.

f. 186v Οὕτως οὖν δυοῖν οὐσῶν φύσεων ἔξωθεν, | τῆς τε ποιούσης τῆς τε ὑφισταμένης τὸ ἔργον, καὶ δύο κατηγορίαι παρωνύμως ἀπ' αὐτῶν ἀναφύονται, ἡ τῆς ἐνεργείας τε καὶ τοῦ πάθους, καθάπερ ἐν πολλοῖς ἄλλοις συμβαίνει τὰς κατηγορικὰς παρωνυμίας ἐκ τῶν ἔξωθεν πραγμάτων λαμβάνεσθαι· αὗται δὲ αἱ δύο κατηγορίαι τῆς κινήσεως ἀνὰ μέρος κατηγοροῦνται· τὸ μὲν ποιεῖν, ᾗ ἐστιν ἐνέργεια τοῦ ποιοῦντος, ὡς ἀπὸ τοῦδε· τὸ δέ γε πάσχειν, ᾗ ἐστιν ἐνέργεια τοῦ πάσχοντος, ὡς ἐν τῷδε. Κἀντεῦθέν ἐστι τὸ τὴν μὲν κίνησιν ἔργῳ μίαν εἶναι, διχῇ λόγῳ μόνον ὁριζομένην, τοῦ διττοῦ ὅρου ἕνεκα· τὴν δέ γε ἐνέργειαν καὶ τὸ πάθος δύο κατηγορίας εἶναι, ἅτε ἔργῳ τὴν τῶν λόγων διαφορὰν ἐπιδεικνύσας ἐν σφίσιν αὐταῖς· τὸ γὰρ ἀφ' οὗ ἡ κίνησις καὶ τὸ ἐν ᾧ, ἔργῳ διενηνόχατον, διῃρημένω μάλιστα μὲν ἀριθμῷ, ἔστι δ' ὅτε καὶ γένει. Τούτων οὖν οὔσας ἐντελεχείας τὴν μὲν ἐνέργειαν τοῦ ποιοῦντος, τὸ δὲ πάθος τοῦ πάσχοντος, ἔργῳ ὁμοίως ἐκείνοις διακεκρίσθαι δεῖ· ἀλλ' ἡ κίνησις ἐνέργεια μέν ἐστι καθ' αὑτὴν τοῦ δυνάμει ὄντος καὶ ἀτελής, τῇδε πρὸς τοὺς ὅρους ἀποβλέψει, οἷς ἐμπεριείληπται δήπου, καὶ πάθος ἐστὶ καὶ ἐνέργεια· ἐκεῖνο μὲν τῇ προσθήκῃ τοῦ ἀφ' οὗ καλουμένη, τὴν δὲ λοιπὴν ἐπωνυμίαν τῇ προσθήκῃ τοῦ ἐν ᾧ προσλαμβάνουσα· κἀντεῦθεν αὖθίς ἐστι τὸ μηδ' ἐν τῇ κατηγορίᾳ τῆς ἐνεργείας τε καὶ τοῦ πάθους τὴν κίνησιν περιέχεσθαι, εἰ καί τισιν οὕτω δοκεῖ, ἀλλὰ μᾶλλον ὥσπερ ὑποκείμενόν τι τούτων αὐτὴν εἶναι, κἀκεῖνα καθάπερ ἰδιότητάς τινας ὑπάρχειν αὐτῆς, ταύτῃ συναναφαινομένας, ὡς εἴρηται.

Ἀριστοτέλει μὲν τῇδέ πῃ περὶ κινήσεως ἔδοξεν. Εἰ δὲ δυοῖν οὐσῶν τῶν περὶ τὴν κίνησιν δυνάμεων, τῆς μὲν ποιητικῆς κἀν τῷ κινήσοντι, τῆς δὲ παθητικῆς καὶ ἐν τῷ κινησομένῳ, δεῖν φησι Πλήθων καὶ ἐνέργειαν τούτοιν
f. 187 ἑκατέρᾳ κατάλληλον ἀποδιδόναι. | Τοῦτο μὲν αὐτῷ συγχωροῦμεν, εἰδότες ὅτι πάσῃ δυνάμει δεῖ τινα ἐνέργειαν ἀποκρίνεσθαι, καὶ ὧν αἱ δυνάμεις διῄρηνται, τούτων καὶ τὰς ἐνεργείας διαφόρους ὑπάρχειν· ἀλλ' ἐνέργειαν τῇ μὲν κινητικῇ δυνάμει φαμὲν ἀποκρίνεσθαι τὸ ποιῆσαι κίνησιν, τῇ δέ γε παθητικῇ, τὸ δέξασθαι ταύτην. Ταύτας δὲ τὰς ἐνεργείας καὶ Ἀριστο-

τέλης διῃρῆσθαι νομίζει, ἐξ ὧν καὶ διῃρημένα τίθησι γένη τὸ ποιεῖν καὶ τὸ πάσχειν. Ἀλλ' ἡ κίνησις, ᾗ τὸ δυνάμει ὂν ἐνεργείᾳ γίνεται, ἀρχομένη μὲν ἐκ τοῦ ποιοῦντος, ἱσταμένη δὲ ἐν τῷ πάσχοντι, οὐ ταῖς δυνάμεσιν ἐκείναις ἀνταποκρίνεται, ἀλλ' ὑπόκειται μᾶλλον ταῖς ἐνεργείαις, αἳ τὰς δυνάμεις τελειοῦσιν ἐκείνας, δι' αὐτῶν δὲ δή πως καὶ ταῖς δυνάμεσιν. Ὅθεν τὰς μὲν ἐνεργείας διῃρῆσθαι καὶ κατ' αὐτὸν Πλήθωνα συμβαίνειν ἐντεῦθεν, καὶ διττὰς εἶναι κατηγορίας, τὸ πάθος καὶ τὴν ἐνέργειαν· τὴν δὲ κίνησιν, λόγῳ καὶ τοῦ ἐνεργοῦντος οὖσαν ὡς δὴ ἐκεῖθεν ἄρχεσθαι νοουμένην, ἔργῳ τοῦ πάσχοντος εἶναι μόνου, ὡς ἐν αὐτῷ τὴν ὕπαρξιν ἔχουσαν· καίτοι καὶ ἣν φησι Πλήθων δραστικὴν κίνησιν, τὴν ἐν τῷ κινοῦντι νῦν, ᾧ δὴ ὡς κινησομένῳ ἡ πρὸς αὐτὴν δύναμις πρότερον ἐνυπῆρχεν, οὐχ ὡς κινοῦντι μᾶλλον ἢ κινουμένῳ προσεῖναι τούτῳ δέον ὑπολαμβάνειν· οὐδ' ἐνέργειαν εἶναι μᾶλλον ἢ πάθος, ἢ ἀτελῆ τινα προδήλως ἐνέργειαν, οὐ κατ' ἐκείνην ἣν ἔχον ἤδη καὶ εἰληφὸς ἤρξατό ποτε κινεῖν· ἐκείνη γὰρ οὐδὲ κίνησίς ἐστιν, ἀλλὰ μᾶλλον παῦλα κινήσεως, ἀρχὴ δὲ ἑτέρας, τῆς γε ποιητικῆς, ὡς ἑκάστου δρῶντος εἰς ἄλλο καθὸ ἐστιν αὐτὸ ἐνεργείᾳ, καὶ ὅ ποτε προσείληφεν εἶδος, τοῦτο τὸν ἴσον τρόπον ἑτέρῳ διδόντος. Διὰ ταῦτα γὰρ ἐν τῷ πάσχοντι μόνον ὡς ἐν ὑποκειμένῳ | τὴν f. 187v ἀτελῆ φησιν ὁ Φιλόσοφος ἐνέργειαν εἶναι, τουτέστι τὴν κίνησιν, μή ποτε κἂν τῷ κινοῦντι οὖσα, ᾗ κινοῦντι, πάντα ποιήσειε κινεῖσθαι κινούμενα καὶ τὴν πρώτην ἀνέλοι πάντων ἀρχήν, ἣν δεῖ τῷ γε πρώτην εἶναι ὑπ' οὐδενὸς αὐτὴν κινουμένην τ' ἄλλα κινεῖν. Τοῦτο δὲ τὸ δέος ἀδεὲς εἶναι Πλήθων φησίν· αὐτῷ μὲν οὖν ἀδεές, ὑπὸ μὲν τοῦ σφόδρα τοῦ θείου καταφρονεῖν οὐκ ἂν φαίην, διὰ δὲ τὸ μὴ πάνυ καλῶς ἐπιστῆσαι τοῖς περὶ κινήσεως λόγοις. Ἀριστοτέλης δὲ ἐκ τοῦ μὴ ἐπ' ἄπειρον προϊέναι τὰ κινούμενα κινοῦντα τὴν ἀνυσιμωτάτην ἀπόδειξιν τοῦ θείου μέλλων ποιεῖσθαι, εὐλόγως ἐδεδίει τὴν κίνησιν ἐν τῷ κινοῦντι τιθέναι, μή ποτε οὐδὲν ἀκίνητον ᾖ, πᾶσιν ἐνυπαρχούσης κινήσεως· ἀλλ' ἱκανὸν ἡγεῖτο εἶναι ταύτην τοῦ κινοῦντός τε καὶ ἐκ τοῦ κινοῦντος τίθεσθαι· ᾔδει γὰρ τὴν αὐτῆς φύσιν καὶ πάνυ καλῶς, ᾧ ἂν παρείη, μεταβολῆς τινος καὶ τῆς ἑτέρωθέν ποθεν δράσεως οὖσαν αἰτίαν· τὸ δὲ πάντ' ἀξιοῦν οὕτως ἔχειν τὰ κινοῦντα πλὴν ἑνὸς τοῦ πρώτου κινοῦντος, ἔτι ζητήσεως οὔσης εἰ δεῖ τι πρῶτον ἐν τοῖς κινοῦσιν εἶναι, οὐκ ἀποδεικνύντος, ἀλλὰ νομοθετοῦντος ἐγίνωσκεν ὄν· ἐκεῖνος δὲ πανταχοῦ τὸ τῷ λόγῳ συμβαῖνον ἐσκόπει, καὶ διὰ τοῦτο τὴν κίνησιν ἢ ἐν παντὶ κινοῦντι τιθέναι καθάπαξ ᾤετο δεῖν καὶ μηκέτι περὶ τοῦ πρώτου ζητεῖν μηδὲ τὴν ἐπ' ἄπειρον πρόοδον ἐν τοῖς κινοῦσιν ἐλαύνειν, ἢ ἐν μηδενὶ ταύτην εἶναι συγχωρεῖν τόν γε μέλλοντα λόγῳ τὴν ἀκίνητον ἀποδεικνύειν ἀρχήν.

---

1 *διῃρεῖσθαι* A 4 *ὑπόκεινται* (?) A

Ἔχων οὖν τὸν λόγον, ᾧ τὸ κινοῦν ἀκίνητον ἀποδείκνυται, τὴν δὲ κίνησιν, ὡς συμφέρει τοῖς κινουμένοις πᾶσι τῶν ὄντων, οὕτως ἀποδιδούς, f. 188 ὡς μὴ συνᾷδον ἐκείνῳ τὸ τὴν κίνησιν | ἐν τῷ κινοῦντι τυγχάνειν ἀπορραπίζει· εἰ γὰρ ἡ κίνησις, φησίν, ἐν τῷ κινοῦντι εἴη, κινεῖται δ' ἅπαν ᾧ ὑπάρχει κίνησις, ἅπαν κινοῦν κινήσεται· καὶ οὕτως οὐδὲν ἔσται πρῶτον κινοῦν. Ἀλλὰ μὴν ὁ λόγος δείκνυσιν εἶναι πρῶτον κινοῦν ἀκίνητον ἐκ τοῦ μὴ δεῖν ἐπ' ἄπειρον προχωρεῖν. Οὐκ ἄρα δεῖ τὴν κίνησιν ἐν τῷ κινοῦντι εἶναι, ἀλλ' ἢ ἄρα ὡς ἐν κινουμένῳ καὶ τούτῳ καὶ τὴν δραστικὴν αὐτήν, ἐπειδὰν ᾖ τοῦ κινουμένου, τουτέστιν ὁπόταν ἄρχηται κινεῖσθαι ὑπ' αὐτοῦ τὸ κινούμενον· μεταβάλλει γάρ πως ὡς τὸ κινούμενον ἐν τῷ δέχεσθαι τὴν κίνησιν ἐνεργείᾳ, οὕτω καὶ τὸ κινοῦν αὐτὸ ἐν τῷ ταύτην ἐνεργείᾳ ποιεῖν· ὥστ' εἰ δεῖ τἀληθῆ λέγειν, οὐ τὸ φθαρῆναι γ' ἂν οὕτω τὴν τοῦ θείου δόξαν ἐδεδίει μόνον Ἀριστοτέλης, ἀλλὰ καὶ τὸ δόξαι γ' ἂν αὐτὸς ἀμαθής, ἢ τιθεὶς ἅπερ ἀποδεικνύναι τε ἔδει καὶ ῥᾴδιον ἦν, ἢ τὴν ἰσχυροτάτην ἀπόδειξιν ἐκβάλλων τοῦ θείου· καὶ ταῦτα μηδὲ τοῖς περὶ φύσεως λόγοις λυσιτελεῖν τοῦ πράγματος μέλλοντος, εἰ μὴ καὶ πᾶν τοὐναντίον. Τίς γὰρ οὐκ οἶδε τὸν τῆς κινήσεως λόγον, ὃν ἐν τρίτῳ τῶν Φυσικῶν τίθησιν ὁ Φιλόσοφος, ἐφ' οὗ σαφῶς τὸ νῦν ἐξεταζόμενον ἵδρυται δόγμα, πᾶσιν οἰκείως τοῖς φύσει συνεστῶσιν ἀποδεδόσθαι, καὶ αὐτοῖς μόνοις πρεπόντως, ὧν οὐδέν ἐστιν ὃ τῆς φυσικῆς μεταβολῆς καθάπαξ ἀπήλλακται· καὶ ἄλλως ἀποδεδομένον ἄν, ἥκιστ' ἂν πᾶσιν ἐφαρμόσαι καλῶς.

Ἀλλ' ὡς μὲν πάνυ καλῶς ἑκάστην κίνησιν ὁ Φιλόσοφος μίαν εἶναι λέγει τῷ ὑποκειμένῳ, ἀρχομένην μὲν ἀπὸ τοῦ ἐνεργοῦντος καὶ τὸ εἶδος ἐκεῖθεν ἐπάγουσαν, ἐνστηριζομένην δέ γε τῷ πάσχοντι καὶ διατιθεῖσαν αὐτό, καθὼς ἂν ἐκ τοῦ ποιοῦντος ἐνδιδοῖτο τὸ εἶδος καὶ οἷον εἰσπνέοιτο· καὶ ὡς ἡ ταύτης ἑνότης οὐδὲν προσίσταται τῇ διαφορᾷ τοῦ ποιοῦντός τε f. 188v καὶ τοῦ πάσχοντος, ἐν οἷς ἐστιν καὶ | ἀφ' ὧν τό τε ποιεῖν καὶ τὸ πάσχειν, πολλοῖς μὲν ἐξῆν ἀποδεῖξαι λόγοις, οἷς τε ἐκεῖνος ταῦτ' ἀποδείκνυσιν καὶ οἷς ἔστιν ἐκ τῆς ἐκεῖθεν εὐπορίας προσθεῖναι. Ἀρκεῖ δὲ καὶ τὰ νῦν ὡς ἐν ἱστορίᾳ συντόμῳ τῆς ἐκείνου γνώμης ἐκτεθειμένα, ἐξ ὧν καὶ ὁ τοῦ Πλήθωνος λόγος οὐδὲν ἀνάγκης ἔχων ἐδείχθη.

Καὶ μὴν ἄτοπός τις καὶ ἕτερον τρόπον ἀναφαίνεται Πλήθων, τὴν μὲν ἐνεργητικὴν κίνησιν καὶ παθητικήν, ἣν ἐνέργειαν εἶναι τοῦ τε ποιοῦντος τοῦ τε πάσχοντος τίθησιν, ὁμωνύμους λέγων ὑπάρχειν, Ἀριστοτέλει δὲ μεμφόμενος ἀπαξιοῦντι κατὰ τῆς ἐνεργείας τε καὶ τοῦ πάθους συνωνύμως τι λέγεσθαι· οὐ γὰρ δὴ λόγον, οἶμαι, δυνήσεται δοῦναι τοῦ τὴν μὲν κίνησιν κατὰ τῆς ἐνεργείας τε καὶ τοῦ πάθους ὁμωνύμως κατηγορεῖσθαι, τὸ δὲ ὂν συνωνύμως κατ' αὐτῶν λέγεσθαι, τῆς τε κινήσεως τοῦ τε ὄντος ἐπίσης κατὰ πάντων λεγομένων τῶν ὄντων, ὡς αὐτοῖς ἀρέσκει τοῖς περὶ Πλάτωνα.

Ἀλλὰ Πλήθωνα μὲν ἐν τούτῳ τῷ μέρει ἐάσαι μὲν καθάπαξ ἀνεξέλεγκτον οὐκ ἐχρῆν, φορτικῶς δὲ λίαν ἐλέγχειν, εἰ καὶ αὐτὸς Ἀριστοτέλη κατεξανέστη θρασύτερον, ὁμοίως δεῖν οὐ νομίζομεν· οὔτε γὰρ συκοφαντεῖ καθάπερ ἐν τοῖς προτέροις, καὶ ἅμα Πλάτωνος ὑπεραγωνίζεται νῦν, ἐν οἷς τι λέγειν ἐκεῖνος δοκεῖ· Πλάτωνι δὲ δεῖ συγγινώσκειν εἰ μήτε τῆς ἀληθείας, μήτε τῆς Ἀριστοτέλους γνώμης καθάπαξ ἀφεστηκώς, τῆς δὲ κατὰ τὴν φιλοσοφίαν ἀκριβείας ἄκων ἀπολειφθεὶς φαίνεται, καὶ εἰ τὴν κίνησιν Ἀριστοτέλους φυσικῶς ἐν τοῖς περὶ φύσεως λαμβάνοντος λόγοις, εἶτ' ἀφαιροῦντος αὐτὴν τῆς πρώτης αἰτίας, ἣν ἄνευ μεταβολῆς τινος ζῆν τε δεῖ καὶ πάντα ποιεῖν, καὶ διὰ ταῦτα μηδ' ἐν τῷ κινοῦντι συγχωροῦντος αὐτὴν εἶναι, καθάπερ ἐστὶν ὡς ἐν ὑποκειμένῳ τῷ πά|σχοντι, εἰ τοίνυν f. 189 ταῦτα λέγοντος Ἀριστοτέλους, Πλάτων ἐφ' ἑκάστης ἐνεργείας τὴν κίνησιν εἰληφώς, ὑφ' ἑαυτοῦ κινεῖσθαι λέγει τὸ θεῖον, καὶ πᾶν δὲ κινεῖσθαι κινοῦν, ἥκιστα μὲν ταῖς Ἀριστοτέλους ἀποδείξεσι περὶ τοῦ ἀμεταβλήτου τῆς πρώτης ἀρχῆς μαχόμενα πεφρονηκώς, τοὔνομα δὲ τῆς κινήσεως συγκεχυμένως τε καὶ ὁλοσχερῶς ἐκλαμβάνων καὶ τοῖς τε μεταβάλλουσι τοῖς τ' ἀμεταβλήτως ἔχουσι καθόλου τοῦτο διδοὺς καὶ (ὅπερ πολλάκις εἶπον) ὁμοῦ πάντα ποιῶν χρήματα, Ἀριστοτέλη μὲν ἐπαινετέον εἴη καὶ τούτων εἵνεκα ἑκάστῳ τὸ οἰκεῖον ἀποδιδόντα καλῶς καὶ γνησίως φιλοσοφοῦντα, Πλάτωνα δὲ συγγνώμης ἀξιωτέον, τῆς μὲν ἀκριβείας ἀπολειφθέντα, τὴν δ' ἀλήθειαν φανερῶς ἐν τούτῳ τῷ μέρει μὴ ζημιώσαντα.

Ταῦτα μὲν οὖν ἐς τοσοῦτον.

Ἐπεὶ δὲ λοιπὸς ὁ περὶ ἰδεῶν λόγος ἔμοι γε Ἀριστοτέλους ὑπεραγωνιζομένῳ, καθάπερ Πλήθωνι ὑπὲρ Πλάτωνος, τὸ μὲν ἐπεξειργασμένως φάναι περὶ αὐτῶν καὶ ἢ Ἀριστοτέλει θέσθαι, ἢ Πλάτωνι, ἢ μηδετέρῳ, τῆς ἑκατέρου δόξης φανερᾶς γενομένης ἐξ ὧν συγγεγράφατον, εἰς καιρὸν ἄλλον μεγίστης ὂν πραγματείας ἀνατιθέμεθα, καίτοι πολλαχοῦ τοῦδε τοῦ συγγράμματος καὶ τοῦ περὶ αὐτῶν ἡψάμεθα λόγου· τοσοῦτον δὲ ἐροῦμεν ἐν τῷ παρόντι, ὡς εἰ μὲν τὴν Πλάτωνος ἐλέγχει δόξαν Ἀριστοτέλης, ᾗ καθ' αὑτὰς ὑφεστώσας τὰς ἰδέας ἐκεῖνος ἐτίθει, αὐτός τε μετὰ τῶν εὖ φρονούντων Ἀριστοτέλης ἐστί, καὶ Πλήθων ἐν τοῖς ἐναντίοις τετάξεται, Πλάτωνος οὕτω φρονοῦντος ὑπερασπίζων. Εἰ δ' ὡς μηδ' ἐν τῷ θείῳ νῷ τὰς ἰδέας αὐτὸς εἶναι βουλόμενος, Πλάτωνι μὲν τὰ βελτίω τιθείς, τῷ γε τρόπῳ τῆς ἀληθείας διαμαρτάνει, Ἀριστοτέλης δὲ ἐνταῦθα γοῦν Πλάτωνος φαίνοιτ' ἂν χείρων ὡς ἀληθῶς, | καὶ Πλήθωνι δὲ αὐτῷ ταὐτὸν ἂν εἴη f. 189v πρὸς Πλάτωνα τό τε κατορθοῦν τό τε διαμαρτάνον· ὁπότερον δὲ τούτων ἐστίν, ὁπόταν σὺν Θεῷ τὸν περὶ τῶν ἰδεῶν ἀποδιδῶ λόγον, αὐτὸ τοῦτο προστησάμενος προὔργου, ἀρκούντως, ὡς ἔγωγε ἐλπίζω, φανερωθήσεται· τότε δὲ καὶ εἰ Πλήθωνα ἐχρῆν τῇ Πλάτωνος περὶ ἰδεῶν θέσει συνίστασθαι καὶ Ἀριστοτέλη ἐλέγχειν, ἔσται σαφές. Ὅτι γὰρ πρὸς τὰ φαινόμενα καὶ

ὑπὲρ τῶν φαινομένων καλῶς ἠγώνισται Πλήθων, μᾶλλον δὲ τὰ πολλοῖς ἄλλοις ἐξευρημένα καὶ πρὸ αὐτοῦ καλῶς εἰς μέσον ἤνεγκε συναθροίσας τε καὶ ἐπιτεμών, τοῦτο καὶ νῦν δῆλόν ἐστιν· ἀδικοίην γὰρ ἂν οὐκ ἐπαινέσας τὸν ἄνδρα, καίτοι κἀν τοῖς ἄλλοις ἐπαίνων ἐστὶν ἄξιος, ὡς δὴ τοσαῦτα ἐς Ἀριστοτέλη καὶ οὕτω δεινῶς ἀφείς, ὅσα καὶ ὅπως οὐδενὶ τῶν νῦν Ἑλλήνων, ἐγὼ σύνοιδα δυναμένῳ, εἰ καὶ μὴ ἀποχρῶν ἐστιν οὔτ' αὐτῷ, οὔθ' ἑτέρῳ τινὶ φαυλοτέρων εἶναι βελτίονι. Ἀλλὰ δεῖ πειρᾶσθαι ἐν ἅπαντι ἐπιτηδεύματι ὡς οἷόν τε ἄριστον καὶ ἀκριβέστατον εἶναι· ἐγὼ δ' ἱκανὸν εἶναι νομίζων Πλήθωνι πρὸς τὴν παρὰ πάντων δικαίαν εὔνοιαν, εἰ τῶν ἄλλων Ἑλλήνων νῦν πλεῖστα προέχει, εἰ καὶ ἔδει με ἀντειπεῖν, μετ' εὐλαβείας ἂν τοῦτο ἐποίουν, τὴν αὐτὴν ἀξιῶν καὶ ἐμοὶ παρά τε αὐτοῦ καὶ πάντων εὔνοιαν ἀποδίδοσθαι. Ἀλλά με πρῶτον μὲν αἱ κατ' Ἀριστοτέλους ὕβρεις ἠρέθισαν ἀνθυβρίζειν, πρᾶγμα τῇ μὲν ἐμῇ πρέπον ἥκιστα προαιρέσει, τῷ δ' ὑπὲρ τῶν Ἀριστοτέλους δικαίων σφόδρα θαρροῦντι προσῆκον, ἅμα δὲ καὶ ὑπὸ τῆς παροιμίας διδόμενον. Ὅθεν ὧν τε ὕβρικε καὶ ὧν ὕβρισται Πλήθων αὐτὸς τὴν αἰτίαν ἕξει δικαίως.

Ἔπειτα καὶ τῇ ἡμετέρᾳ περὶ τοῦ θείου πίστει ἀμύνειν καὶ τοῖς ταύτῃ
f. 190 ἀνθισταμένοις ἀπεχθῶς ἔχειν ἱεροὶ νόμοι | κελεύουσιν· αὐτὸς δὲ τοιαύτην τινὰ ἐδέξατο διαβολὴν ὑπὸ πλείστων, οἳ πιθανοὶ δοκοῦσιν, καὶ συγγράμματι αὐτοῦ ἐντυχεῖν τῳ ἰσχυριζόμενοι, νομοθεσίαν ἀρίστην ἐπαγγελλομένῳ· οὗ καὶ ἐκγράψαντες μέρη τινὰ δεικνύουσιν τῆς παλαιᾶς τῶν Ἑλλήνων ἀνάπλεω φλυαρίας· δοκεῖ δὲ αὐτοῖς καὶ ἡ τῶν λόγων ἰδέα συνηγορεῖν, ἣν χαλεπόν ἐστι πιστεῦσαι μὴ εἶναι τοῦ ἀνδρὸς ἐκείνου, τῷ γε τὰ τοιαῦτα κρίνειν ἐπισταμένῳ, ἐπιγεγράφθαι τέ φασι τῷ βιβλίῳ Πλήθωνα, εἴτε τοῦ λαθεῖν ἕνεκα, εἴτε τῷ πάνυ φροντίσαι τὸν ἄνδρα καὶ ἐν αὐτῇ τῇ ἐπιγραφῇ τοῦ τῶν ὀνομάτων ἑλληνισμοῦ, εἴτε καὶ ἄλλης τινὸς αἰτίας εἵνεκα· πλείους γὰρ ἡμῖν ἐξηγοῦνται· ἐμέλησε δὲ αὐτοῖς πάνυ ταῦτα εἰδέναι.

Τοιαῦτά τινα περὶ τοῦ ἀνδρὸς πολλοὶ λέγουσιν, οἷς οὐ ῥᾴδιον ἀπιστεῖν, καὶ τούτων μάλιστα ἢ τῆς πρὸς Ἀριστοτέλη εὐνοίας ἕνεκα ἐπαχθέστερον αὐτῷ ἐν τῷδε τῷ συγγράμματι χρῆσθαι προήχθην. Εἰ μὲν οὖν οὕτω ταῦτ' ἔχει, καὶ ἔστι μέν τι Πλήθωνος βιβλίον ἀρίστην νομοθεσίαν ἡμῖν ἐκτιθέμενον, αὐτὸς δέ ἐστιν ὁ Πλήθων ὡς ἀληθῶς, καὶ ἡμῖν τοῦτο πεμπέτω· ἴσως γάρ τι καὶ ὠφελήσειε τούς γε λόγῳ πειθομένους, ἀδικήσει δὲ κρύπτων, καὶ ἅμα δόξει μὴ πάνυ θαρρῶν ἐπὶ τῷ συγγράμματι, καὶ αὐτῷ δὲ Πλήθωνι δυοῖν ὠφελειῶν ἡ ἑτέρα δήπου συμβήσεται δείξαντι· ἢ γὰρ ἐπαινεθήσεται οὐχ ὑπὸ τῶν τυχόντων, ἀλλ' οὓς μάλιστ' ἂν τῶν νῦν ὄντων Ἑλλήνων βουληθείη κοινωνοὺς ἔχειν αὐτοῦ τῆς δόξης· ἢ παρενεχθείς που τῆς ἀληθείας, ἐπανελθὼν πρὸς αὐτὴν ἧς μάλιστα δοκεῖ

38 *παρενεγχθείς* AD

ἐρᾶν, ὠφεληθήσεταί τε καὶ ἡσθήσεται, καὶ ὑφ' ὧν ἂν αὐτῷ γένοιτο τοῦ καλοῦ τοῦδε τυχεῖν, τούτοις χάριν δικαίαν εἴσεται· ὧν ἑκατέρου | κρύπτων f. 190v ἔρημος ἔσται, καὶ ἅμα τὰ ἠπειλημένα περὶ τῶν ἐς Ἀριστοτέλη συγγεγραμμένων αὐτῷ πολλῷ δεῖ μᾶλλον περὶ ἐκείνου δεῖξαντα ἀπειλεῖν, ὅσῳ καὶ μείζω τὴν πραγματείαν ἐκείνην εἶναί φασι, καὶ πολλὰ μογῆσαι εἰκός ἐστιν αὐτὸν ἐπ' ἐκείνῃ, καὶ ἡ ὑπόθεσις πολλῷ τῆς γε προκειμένης δοκεῖ εἶναι ἱερωτέρα. Εἰ δὲ συκοφαντῶν εἰσι ταῦτα πάντα ὡς ἀληθῶς, ὑπὸ φθόνου πιθανῶς οὕτω συμπεπλασμένα, αὐτὸς δὲ ἱερός ἐστι καὶ μηδὲν σεμνότερον ἢ ἀληθέστερον τῆς Χριστοῦ νομοθεσίας μήτε φρονῶν μήτε δύνασθαι εἶναι οἰόμενος, ἤδη αὐτὸς ἐγὼ καὶ διδασκάλου τάξιν αὐτῷ πρός γε ἐμὲ συγχωρεῖν οὐκ ἀπαξιῶ, καὶ Ἀριστοτέλη μὲν οὐ πεισθήσομαι διαβάλλοντι, πλὴν ὀλίγων, ἐν οἷς ἐκεῖνον καὶ αὐτὸς οἶδά τι παθόντα ἀνθρώπινον, οὔτ' ἄλλο τι μεταμαθήσομαι ὧν οἶδα πεπεισμένος τε ὑπὸ λόγων καὶ τοὺς λόγους ἔχων, ὑπ' οὐδεμιᾶς δὲ φιλονεικίας προαχθήσομαί ποτε αὐτῷ ἀντιλέγειν ἐν οὐδενί, εἰδὼς ὡς εἰ καὶ περὶ ὁτουοῦν ἢ πλειόνων τὴν χείρω γνώμην ἑλόμενος διαφυλάττοι, ἀλλ' ἐν τοῖς καιριωτάτοις καὶ ὧν ἄνευ τῆς μελλούσης εὐδαιμονίας τυχεῖν ἀμήχανον, μετὰ τῆς ἀληθείας ἐστί, καὶ ἅμα φιλῶν αὐτὸν ἠθῶν τε ἕνεκα, οἷς ὡς βελτίστοις χρῆσθαι ἐπεμελήθη, καὶ σοφίας, ἧς οὐδενὶ ἂν τῶν νῦν ἐπ' αὐτῇ φρονούντων παραχωρήσειεν.

Ἱκανώτατον δὲ σημεῖον ἡμῖν τῆς αὐτοῦ μὲν εὐσεβείας, τῶν δὲ συκοφαντῶν πονηρίας παρέξεται, τῶν φίλων τινὶ ἐπιστείλας, ὡς οὔτε Πλήθων αὐτός ἐστιν, οὔτ' οἶδέ τινα Πλήθωνα κατὰ τῆς ἡμετέρας ποτὲ θρησκείας συγγεγραφότα, οὔτε τινὰ νομίζει καὶ ὁντινοῦν τῶν τοῦ Χριστοῦ δογμάτων καὶ νόμων βέλτιόν τι καὶ ἱερώτερον θείων ἀποδεδειγμένων εὑρεῖν δύνασθαι, καὶ | ὅτι τὴν ἑλληνικὴν δεισιδαιμονίαν ἡγεῖται κατάπτυστον, καὶ τοὺς f. 191 ὑπ' αὐτῆς ἐξηπατημένους καταγελάστους. Τούτοις τοίνυν τοὺς συκοφάντας ἐλέγξας, οἷς μόνοις ἡμᾶς πεῖσαι δυνήσεται, ἄλλά τε πλεῖστα καὶ μέγιστα κερδανεῖ καὶ τῶν μὲν ἐν τῷ παρόντι συγγράμματι λόγων αὐτὸς ἀκούσεται μετ' ἐπαίνου, τῶν δὲ λοιδοριῶν οὐκέτι, ἀλλ' ὃν οἱ συκοφάνται συνεσκεύασαν Πλήθωνα· καὶ τὸ θεῖον δὲ ἀπολογουμένῳ συνήγορον ἔσται, καὶ πᾶσαν ὑπόνοιαν ἐκβαλεῖ κατ' αὐτοῦ, ἂν αὐτὸς πρότερον παύσηται Ἀριστοτέλη συκοφαντῶν, καὶ τιθεὶς μὲν ἐν τῇ τῶν σοφιστῶν μοίρᾳ διὰ τὰς ὑπὲρ τῶν λογικῶν μεθόδων οὐ καυχήσεις μᾶλλον ἢ παραιτήσεις, ἐξ ὧν ἐξέσται τισὶ καὶ περὶ Ἀρχύτου καὶ τῆς Πλάτωνος διαλεκτικῆς ἀποκρίνεσθαί τι τοῖς ἀντιλέγουσι δίκαιον καὶ δεικνύναι μηδὲν σχεδὸν ἐκείνοις καὶ ταῖς Ἀριστοτέλους μεθόδοις γεγενῆσθαι κοινόν, τὰς δέ γε ἀϊδίους οὐσίας αὐτομάτους πεφρονηκέναι τοῦτον ἐπιδεικνύς, ὧν δὴ μέμψεων τὴν μὲν ἑτέραν λύειν καὶ πολλοῖς ἄλλοις μελήσει, καὶ δεικνύναι ταύτην σόφισμα ὡς ἀληθῶς καὶ συκοφαντίαν· τὴν δὲ δευτέραν ἡμεῖς καὶ πάνυ ῥᾳδίως λελύκαμεν, μᾶλλον δὲ αὐτὸς Ἀριστοτέλης ἀνεῖλεν πολλοῖς τε ἄλλοις ὧν

ἐμνήσθημεν πρότερον καὶ οἷς ἐν δευτέρῳ τῶν Φυσικῶν καὶ πολλαχοῦ δὲ ἄλλοθι τοῖς ἐκ ταὐτομάτου λέγουσι τὸν οὐρανὸν εἶναι σφοδρῶς ἄγαν ἐπιτιμᾷ· οὗτοι δ' ἦσαν, ὡς ἔοικεν, οἱ περὶ Δημόκριτον. Εἰ γὰρ μέμφεται τούτοις ἐκ ταὐτομάτου τὸν οὐρανὸν εἶναι λέγουσι, μηδεμίαν δὲ τιθεῖσιν αἰτίαν αὐτοῦ, οἵαν τῶν ζῴων καὶ τῶν φυτῶν, δῆλον ὅτι καὶ γίνεσθαι τὸν οὐρανὸν καὶ ξύμπαντα κόσμον βούλεται, εἰ καὶ μὴ ἐν χρόνου μέρει τινί, καὶ ὑπὸ ποιητικοῦ πάντως αἰτίου ὡρισμένου καὶ τεταγμένου, καὶ εἴη ἂν
f. 191v τὸ ποιοῦν νοῦς, ἢ εἴ τι καὶ | νοῦ κρεῖττον, εἴπερ καὶ τῶν ζῴων καὶ τῶν φύτων ἢ φύσιν, ἢ νοῦν, ἢ τί τοιοῦτον ἕτερον εἶναι τὸ αἴτιον συγχωρεῖ· τούτων δὲ τἀναντία φρονεῖν ὑπειλημμένος, προδήλως σεσυκοφάντηται.

Συκοφαντεῖν οὖν τά γε τοιαῦτα οὔτ' αὐτῷ Πλήθωνι οὔθ' ἑτέρῳ τινὶ συμφέρει, οὔτε δίκαιόν ἐστι κατ' Ἀριστοτέλους συγγράφοντα πειρᾶσθαι φαῦλον ἀποφαίνειν καὶ ἀμαθῆ, διότι που τῆς ἀληθείας διήμαρτεν, ἕως ἂν ἀπαξιοῖ τις καὶ ἐς Πλάτωνα τοιοῦτόν τι δρᾶν, οὗ τοῖς λόγοις πλείω τε καὶ πολὺ φαυλότερα ἢ τοῖς Ἀριστοτέλους ἐγκαταμέμικται. Εἰ δὲ φαίη τις δεῖν ποτε γυμνασίου χάριν καὶ λόγου ἕνεκα καὶ κατὰ τῆς ἀληθείας ἐπιχειρεῖν, τοῦτο μὲν ἀνεμέσητόν ἐστι· δεῖ μέντοι γε αὐτίκα καὶ τὴν ἀλήθειαν ἀποφαίνειν, ἢ μηδ' ἐκεῖνα συγγράφειν, ἢ ὅτι λόγου ἕνεκα ἐπιτετήδευται προσδιορίζειν. Ὁ δὲ σοφὸς ἡμῖν Πλήθων οὐδὲν τοιοῦτον πεποίηκεν, ἀλλ' ὡς δὴ πᾶσιν ἀνθρώποις φαύλην περὶ Ἀριστοτέλους καὶ τέχνης τε αὐτοῦ καὶ δογμάτων δόξαν ἐνθήσων· ὅτου δὲ χάριν οὕτω λίαν ἐβάσκηνεν καὶ ὅπως ἤλπισε πείσειν ἅπαντας, ἐν τῷ παρόντι ἐῶ· πολλά τε κατ' Ἀριστοτέλους ἐν πολλῷ συνήθροισε χρόνῳ, καὶ ὅτε πρῶτον οἷός τε ἐγένετο ταῦτα ἐν ἑνὶ συμφορῆσαι βιβλίῳ, συνέθηκέ τε καὶ ἀπεριμερίμνως ἐκδέδωκεν. †

II.

Lettre d'envoi de l'ouvrage précédent à Marc d'Ephèse.*

Paris. 1289 f. 12

Τῷ Ἐφέσου Γεώργιος.

Πέμπω σοι τὸ βιβλίον, ὅ μοι νῦν ὑπὲρ Ἀριστοτέλους συγγέγραπται· καὶ τὴν μὲν τοῦ συγγράφειν αἰτίαν ἀκούσῃ λέγοντος τοῦ βιβλίου, ἧς ἐξέστω μὲν τοῖς βουλομένοις κατηγορεῖν, ἐμὲ δὲ καὶ πάνυ ταύτης ἔδει φροντίζειν. Οὔτε δὲ σοφίας ἐπίδειξις ἦν· οὐ γὰρ ὁρῶ ταύτης οὐδένα

* A = Parisinus 1289, f. 12-12v, autographe de Scholarios.
M = Edition de la *P. G.* de Migne, col. 743-746, d'après A.

11 *Πλήθωνι*: *Γεμιστῷ* D 19 *Πλήθων*: *Γεμιστός* D 35 *ἐξέστι* M
36 *δὴ* M *ὁρῶ*: *ἐρῶ* M

καιρόν, εἰ μὴ μέλλοι τις παίζειν μετὰ παιδαρίων καὶ παρ' ἀκροαταῖς οὐδὲν αὐτῶν διαφέρουσιν, σοῦ τὰ σαυτοῦ, μᾶλλον δὲ τὰ τοῦ Θεοῦ πράττοντος, καὶ τῶν ἡμετέρων παιγνίων πάλαι κατεγνωκότος· οὔτε τὸν σοφὸν ἐκεῖνον ἐβουλήθην κολούσειν· ἐμοὶ γὰρ οὐδείς ποτε τῶν ἀγαθῶν ἐγγέγονε φθόνος· ἀλλὰ μέμφομαι μὲν ἐμαυτῷ, ἐπειδὰν αἰσθάνωμαι πολλαχῇ τοῦ πρέποντος ἁμαρτάνων· ἀλγῶ δὲ λίαν ὑπὲρ τῆς τῶν ὁμοίων ἀβελτηρίας· οἷς δ' ἂν ἀρετήν τινα συνειδῶ, χαίρω, Θεὸς οἶδεν, ὡς αὐτὸς ὢν ὁ ταύτῃ κοσμούμενος. Οὐδὲ τῷ Γεμιστῷ τοίνυν ἠνώχλησα ἄν ποτε, μὴ τοῦ συνειδότος ἔνδοθεν ἐρεθίζοντος. Οἶσθα δ' ὅπως περί γε τὰ τοιαῦτα χρὴ διακεῖσθαι, εἰ μὴ τὴν Ἀναξαγόρου μέλλοιμεν ὑφίστασθαι σύγχυσιν. Καίτοι τινὲς αὐτὸν μὲν εὐσεβεῖν φασὶν ἐν τῇ περὶ τοῦ θείου δόξῃ, καὶ μήτε διδάσκειν μήτε συγγράφειν νομοθεσίαν τινὰ καινοτέραν, ἐν ᾗ τὰ ἡμέτερα διασύρεται, ἀλλ' ἡμᾶς ὑπὸ βασκανίας αὐτῷ τοιαύτην φήμην ἐγείρειν, οὓς ὁ χρόνος ἐλέγξει λίαν ἀπατωμένους. Ἄλλως δὲ χρήσιμος ὁ ἀνήρ, καὶ τῇ μὲν εὐγενεστάτῃ τῶν Ἑλλήνων φωνῇ οὐδενὸς ἂν ἡττηθείη, ἧς καὶ Κικέρωνα καὶ πολλοὺς ἄλλους ἐκ τῆς ὑπερορίας ἴσμεν Ἀθήνησιν ἐπιμεληθέντας· καίτοι, τῆς ἐγχωρίου Μούσης ἐμπεπλησμένοι, πάνυ τι καλὸν ᾄδειν ἠπίσταντο. Πολλὰ δὲ τῆς ἄλλης σοφίας ἔχει συνειλοχώς· ἠθῶν δὲ ἕνεκα κἂν γένοιτο τοῖς νεωτέροις παράδειγμα, οἷς ἀρετῆς τι μέλει γνησίως. Οἶσθα τὸν ἄνδρα πλέον ἐμοῦ. Διὰ ταῦτα τοίνυν ἀπεσχόμην ἂν αὐτοῦ καὶ ὧν κατ' Ἀριστοτέλους συγγέγραφεν. Ἄλλως τε οὐδὲ σφόδρα ἐπαινετόν ἐστι τοὺς ἑκάστου πόνους ἐλέγχειν, ἀλλὰ δεῖ μᾶλλον ἀποδεικνύειν τὰ ἀληθῆ, καὶ τοῖς ἐπιδείκνυσθαι βουλομένοις ἡ φιλοσοφία μυρίας ὕλας προβάλλεται, ἐν αἷς ἔστιν εὐδοκιμεῖν μετὰ τοῦ μηδενὶ προσκρούειν τῶν φίλων. Ἐγὼ δὲ ἑκὼν ποτε λυπεῖν οὐδένα προῄρημαι. Εἰ δὲ διαλεκτικῶν μεθόδων ἥκιστα πάντων αὐτῷ μέτεστιν, ὃ δὴ καὶ τῆς πλάνης αἴτιον αὐτῷ καὶ πολλοῖς ἄλλοις ἐγένετο, ἀλλὰ τούτων ἐκ πολλοῦ | χρόνου σπάνις ἐν ταῖς τῇδε διατριβαῖς f. 12v γενομένη καὶ ἄγνοια, οὐκ αὐτοῦ μᾶλλον ἢ κοινόν ἐστι τοῦ γένους ἀρρώστημα. Δι' ὃ καὶ πρὸς τὴν θήραν τῆς ἀληθείας ἄνευ τοῦ μόνου πρὸς αὐτὴν ὀργάνου χωροῦντες, ἀγνοίας μεστοὶ καὶ πλάνης εἰκότως ἀναχωροῦσιν.

Ἀλλ' ἔλαθον ἐμαυτόν, πρὸς ὃν οὐ χρή, παραιτούμενος. Τίς γάρ σου βέλτιον τὴν ἐμὴν οἶδε προαίρεσιν; Οἶμαι καὶ τοὺς ἐμοὺς γονέας, οἵ μοι πάντα συνῄδεσαν, διδαχθῆναι ἂν αὐτήν ποτε παρὰ σοῦ. Ὡς γὰρ ἐκεῖνοι τῆς φύσεως, οὕτως αὐτός μοι λόγων τε καὶ ἠθῶν τὰ σπέρματα κατεβάλου. Κἀκεῖνοι μὲν ἅπαξ, σὺ δὲ πολὺν ἡμᾶς ἐγεώργεις τὸν χρόνον· ὥστ' ἐπι-

---

2 *μᾶλλον δὲ*: *μόνον καὶ* M 4 *κολούειν* M 7 *ὧν ὁ*: *ἂν καὶ* M 7-8 *κοσμούμενος*: *οἰκοδομούμενος* M 11 *Θεοῦ* M 15 *τῶν Ἑλλήνων*: *τῷ γένει ἡμῶν* M 22 *πόνους*: *χυλοὺς* M 25 *διαλεκτικῆς μεθόδου* M 29 *Δι' ὅ*: *Διὸ* 32 *καὶ*: *δὲ* M 34 *αὐτά* M

γινώσκοις ἂν τὰ σαυτοῦ, τὰς ἐν ἡμῖν εἰκόνας τούτων γινώσκων. Διὰ τοῦτ' ἄρα παραιτεῖσθαι δεῖ μᾶλλον ὅ τι παραιτεῖσθαι προήχθην.

Τούτου δὴ τοῦ βιβλίου πολλοὶ μὲν ᾔσθοντο τῶν παρ' ἡμῖν γινομένων· ἡ δὲ φήμη καὶ πρὸς τοὺς πόρρω φίλους ἐξέδραμεν, οἳ τοῖς ἡμετέροις ἀεὶ χαίροντες λόγοις, ἐνταῦθα δὴ βελτίους ἢ πρόσθεν ἡμᾶς εὑρήσειν ἐλπίζουσιν, ὡς οὐκ ἀγεννοῦς ὑποθέσεως δραξαμένους· καὶ διὰ τοῦτο πέμπεσθαι σφίσιν ἀπαιτοῦσιν ἐγκείμενοι. Ἐγὼ δὲ δεῖν ἡγησάμην τῷ κανόνι τῆς σῆς τέχνης πρότερον προσαχθέν, οὕτω τοῖς ἄλλοις ἅπασι φαίνεσθαι. Εἰ γὰρ καὶ πολλοί τινες ἦσαν ἡμῖν ὁμοίως σοι τὰ τοιαῦτα δυνάμενοι, σοὶ πρὸ πάντων προσάγειν ἐχρῆν, εὐνοίας τε εἵνεκα καὶ ἧς εἶπον συγγενείας τῶν λόγων, ἐπιμελησομένῳ τούτου πάνυ καλῶς· νῦν δὴ καὶ τέχνης εἵνεκα τῶν παρ' ἡμῖν ἁπάντων προέχεις. Τί ἂν οὖν γένοιτο τοιαύτης τιμιώτερον στάθμης, ἣν οὔτ' ἀγνοεῖν οὔτε κρύπτειν ἐνδέχεται τὰς ἐν τοῖς λόγοις ἀνωμαλίας; Ἐπελθὼν τοίνυν ἅπαν τοῦτο καλῶς, τὰ μὴ δοκοῦντά σοι καλῶς εἰρῆσθαι διάγραφε καὶ δίδου ψῆφον. Περὶ μὲν δυοῖν φίλων οὐδ' ἂν αὐτὸς ἀξιώσαιμι, καίτοι τῶν Ἀριστοτέλει προσκειμένων εἶναί σε πάνυ καλῶς οἶδα, τῶν τοῦ Πλάτωνος ὁπόσα χρὴ μόνον θαυμάζοντα. Ἀλλ' εἰ δεῖ τοῖς φίλοις πέμπειν, ἢ διδόναι πυρί. Ἐκεῖνοι δ', ὡς ἂν ἑκάστῳ δόξειεν, οὕτω τὴν περὶ τῆς ἀληθείας τῶν λόγων ψῆφον φερόντων· ἐμοὶ γὰρ ἀντὶ πάντων ἡ σὴ ψῆφος ἀρκέσει.

III.

Lettre à Gémistos Pléthon à propos de son ouvrage contre les Latins (1450).*

Paris. 1797 f. 17 Σχολαρίου τοῦ ὕστερον Γενναδίου πρὸς Πλήθωνα ἐπὶ τῇ πρὸς τὸ ὑπὲρ Λατίνων βιβλίον αὐτοῦ ἀπαντήσει ἢ κατὰ Ἑλλήνων.

Ἐδεξάμην σου, φίλων ἄριστε καὶ σοφώτατε, τὴν ἐπιστολήν, ἐν ᾗ φιλεῖν μὲν ἐμὲ καὶ μήτε ὠργίσθαι, μήτε πρὸς ὀργήν τι ποιεῖν ἔλεγες· ἀναπέμψαι δέ τι βιβλίον τῷ θειοτάτῳ βασιλεῖ πρὸς τὰ ὑπὲρ Ἀριστοτέλους ἠγωνισμένα μοί ποτε, ἀντιγεγραμμένον. Αὐτίκα δὲ καὶ βιβλίον τί σου κατὰ Λατίνων τῆς δόξης ἐφαίνετο, οὗ πρὸς ἡμᾶς γε οὐ μεμνημένος, ἐῴκεις αὖ καὶ

* A = Parisinus graec. 1297, XVIe s., ff. 17-40.
M = Migne, *P. G.*, t. CLX, col. 599-630, qui reproduit l'édition de V. Cl. D. Alexandre, *Pléthon. Traité des lois,* Paris, 1858, en appendice, p. 313-369. L'édition d'Alexandre est faite sur le même manuscrit *Paris. 1297.* Alexandre a corrigé le manuscrit et la plupart de ses corrections sont à

2 *προσέχρην* M 6 *ἀρξαμένους* M 11 *δὴ*: *γὰρ* M 15 *ψῆφον*: *πυρί* M 17 *ὁπόσον* M 19 *δόξῃ* M *τῆς* om M

μηνίοντι. Οὐ γὰρ ἠγνόεις ταυτησί γε τῆς ὕλης λόγῳ τε καὶ ἔργῳ τοῖς δυνατοῖς ἀντιποιουμένους, καὶ διὰ τοῦτ' εἴ τις ἡμῖν ποθεν ἥκοι συνηγορία, ταύτην τε μεθ' ἡδονῆς ἁρπάσοντας, ὡς εἰκός, καὶ εἰσομένους χάριτας τῷ διδόντι. Τοῦτο μὲν οὖν καλῶς ποιοῦν, καὶ σοῦ γε μὴ ἀξιοῦντος, τὰς ἡμετέρας πρὸ πάντων χεῖρας ἐζήτησεν. Ἃ δ' ἔφασκες ἀντιγεγραφὼς ἀναπέμψαι καὶ δεῖν ἡμᾶς ἐκεῖθεν λαμβάνειν, εἴ γε βουλοίμεθα, ὁ μὲν θειότατος βασιλεὺς ἡμῖν οὐκ ἐδίδου, σοῦ καὶ τῆς σῆς δόξης μᾶλλον, ὡς ἂν ἔγωγε φαίην, κηδόμενος, ἐπεὶ ἑώρα σε κατακεχρημένον τοῖς λόγοις, ὃν εἰς ἐπιείκειαν ἐπαινῶν καὶ σεμνότητα, καὶ τοιοῦτον βούλοιτ' ἂν πᾶσι δοκεῖν οἷς πράττεις. Τὸ γὰρ τῆς ἀσθενείας τῶν λόγων ἢ τῆς ἰσχύος ἄλλοις ἀφεῖναι ἂν οἶμαι σκοπεῖν· μηδὲ γὰρ αὐτῷ γε νῦν τῶν τοιούτων μέλειν. Ἀλλ' εἰς ἄλλους οὐκ οἶδ' ὅθεν καὶ ὅπως ἐκπεπτωκότα (ἔδει γὰρ ἀρετὴν λόγων τοιαύτην δημοσιευθῆναί τε καὶ μὴ κρύπτεσθαι), οὐδὲ παρ' αὐτῶν πω τινὸς δέδοται, οὐδ' ἔμοιγε αὐτῷ λαμβάνειν, εἰ δεῖ τἀληθῆ λέγειν, προὔργου γεγενημένον· ἴσως δέ ποτε δώσει τις καὶ μὴ ἀπαιτοῦντι, ἢ χαριεῖσθαι, ἢ λυπήσειν οἰόμενος, ὁποτέρως ἂν ἐπιστήμης περὶ τῶν τοιούτων καὶ γνώμης ἔχων τύχοι περὶ ἐμέ. Κἀγὼ τὴν καὶ νῦν ἐνοῦσάν μοι περὶ αὐτῶν τε καὶ τῶν ἐμῶν ἐκείνων γνώμην, ταύτην αὐξήσας τότε, ὡς οἶμαι, τραχυτήτων δὲ τῶν ἐκεῖ, καὶ τοῦ μὴ χωρίς που, ἀλλ' ἐπ' αὐτοῖς τοῖς ἐμοῖς, ὥς τινα καὶ ἐπεμ|βαίνοντα ἢ προπηλακίζοντα, ἀντειπεῖν, ἢ ὅ τι ἄλλο σοι f. 17v
καὶ ὅτου χάριν εἴη ἐξευρημένον οὐκ ἐπὶ καθαιρέσει μᾶλλον ἢ θεραπείᾳ τύφου τινὸς τούτων δὴ τοσοῦτον φροντίσας, ὥστε καὶ ἐφησθῆναι, ἄλλως τε καὶ ἀνταποδιδομένοις, ἔπειτα θαυμάσομαί σε οἷς ποτε προείλου νεανικώτερον ἀμύνοντα καὶ σαυτῷ. Καὶ ἀεὶ γάρ σου ποιοῦμαι ἐν θαύματι πρὸς τοῖς ἄλλοις, καὶ ὅσα ἐς σοφίαν καὶ τὴν τῶν λόγων ἐστὶ τέχνην. Τὸ μὲν γὰρ καὶ τἀληθοῦς ἐν ταῖς περὶ ἁπάντων δόξαις ἐφάπτεσθαι χαλεπόν ἐστι καὶ σοὶ καὶ ἔμοιγε καὶ ὁτῳοῦν, ἕως ἂν ἐν τῷδε ὦμεν τῷ σώματι· τὸ δὲ τὰ δοκοῦντα, ὡς οἷόν τε, καὶ λόγοις ἔχειν δεικνύναι, καὶ ἱκανοὺς εἶναί τι καὶ ἀντειπεῖν, τοὺς ἐπισταμένους πῃ τῶν μὴ τοιούτων

retenir. Sur la date de composition, voir l'introduction. L'*Escorialensis Y. III. 13*, autographe de Scholarios, donne quelques extraits de cette lettre, f. 186, précédés de la note suivante, précieuse pour déterminer la date: „*Ἐκ τοῦ δευτέρου λόγου πρὸς Πλήθωνα, ζῶντι ἐπεσταλμένου ἐκ τῆς μονῆς τοῦ Χαρσιανείτου πρὸ τῆς αἰχμαλωσίας, οὗ ἡ ἀρχή· Ἐδεξάμην σου, φίλων ἄριστε, τὴν ἐπιστολήν.*" Inc. *Οὐκοῦν διὰ ταῦτα, πρὸς μὲν τὰ σά* (cf. p. 121, ligne 27).

Tit. Primitivement, au lieu de: *ἢ κατὰ Ἑλλήνων*, A portait: *καὶ κατὰ τῆς λατινικῆς δόξης*, qui a été biffé. En marge, également biffé: *ἢ κατὰ τῆς τῶν Ἑλλήνων δόξης*.

14 *οὔτ'* A

καὶ τούτῳ δὴ ἡγούμεθα διαφέρειν. Εἰ δέ τί μοι ἢ ἐν τοῖς τοῦ βιβλίου προοιμίοις ἐκείνου, ἢ ἔν τινι τῶν ἐπιστολῶν καὶ ἠπείλητο, καὶ τούτου ἀφέξομαι νῦν, οὐ διὰ τὸ οἴεσθαι μὴ ἄν ποτέ σε δικαίως ἀντειπεῖν μου τῷ βιβλίῳ δύνασθαι· εἰδὼς γὰρ τοῦτο καὶ πρότερον, ὅμως διενοούμην τι καὶ ἀντιγράψειν αὖ πρὸς τὰ σά, ἢ καὶ ἄλλον τινὰ τρόπον τὰ τοιαῦτ' ἐξετάσειν, ὃς ἂν καὶ ἀμφοῖν τοῖν φιλοσόφοιν συνήνεγκε, καὶ σοὶ δήπου μετὰ θατέρου.

Οὐ τοίνυν τούτου γε ἕνεκα, ἢ τοῦ δεῖν τῶν ἀντιγεγραμμένων σοι, ὡς μὴ κατὰ νόμον μήτ' ἐπὶ σπουδῇ ἀφειμένων, ὀλιγωρεῖν (οὐ γὰρ βούλομαί σε τοιαῦτα λέγων ἔτι λυπεῖν), ἀλλὰ τῷ μείζω σοι χάριν ὀφείλειν τῶν κατὰ τοῦ Λατινικοῦ βιβλίου συγγεγραμμένων ἢ ὅσον ἀμύνοιτ' ἄν τις διὰ τὰ ἕτερα, εἰ καὶ ἔδει με ἀντιλέγειν, οὐκ ἀντερῶ· καὶ εἰ σιωπᾶν μᾶλλον ἐχρῆν τοῖς προτέροις ἐκείνοις ἀρκούμενον, καὶ διὰ τοῦτο μάλιστα σιωπήσομαι, καὶ ἀφέξομαί σου τῶν δευτέρων τούτων ἀποριῶν καθάπαξ. Τὸ μὲν γὰρ εἴτε διὰ σὲ βελτίων φανείη Πλάτων Ἀριστοτέλους οἷς οὐ πρόσθεν τοιοῦτος εἰς πάντα ἐδόκει, εἴτ' Ἀριστοτέλει σῴζοιτο δι' ἐμὲ νῦν ἣν ἐκ πολλοῦ δόξαν ἔσχεν, ἐν τοῖς γε πλείοσι καὶ σοφωτέροις, | f. 18 οὐ πάνυ μοι διαφέρει. Καὶ εἴτε τὰ δυνατὰ λέγειν δόξαιμεν ἄμφω ὑπὲρ ὧν ἐν τοῖς ἔξω προϊστάμεθον λόγοις, εἴτε καὶ μηδέτερος μηδετέρῳ βοηθοίη καλῶς, ἀλλ' ἐπίδειξις εἶναι ταῦτα δοκοίη μόνον τοῖς κρίνουσιν, οὐδὲ τούτου μοι μέλει τοσοῦτον ἐν τῷ παρόντι· ἀληθείας τε πέρι τῆς ἐν τοῖς τοιούτοις οὔθ' ἡμεῖς γενοίμεθ' ἂν ἀλλήλοις κριταί, περὶ ὧν διενηνέγμεθα ἤδη, οὔτ' ἄλλοις πιστεύσαιμεν κρίνουσι, τῷ αὐτῷ δὴ καὶ πάντων πάθει ἐνεσχημένων, καὶ τῶν μὲν τῷ ἑτέρῳ προσκειμένων, τῶν δὲ τῷ ἑτέρῳ τοῖν φιλοσόφοιν, ὧν οὐδέτεροι τοῖς θάτερα τετιμηκόσι γένοιντ' ἂν ἀξιόχρεῳ διαιτηταὶ περὶ τῶν ἑτέρων. Λοιδοριῶν δὲ πέρι καὶ τοιαύτης ἀσχημοσύνης τίς ἂν ἁμιλληθείη καὶ ὁτῳοῦν; ὧν γε οὐδὲ τοῖς ἐχθροῖς εὔξαιτ' ἄν τις τὸ πλέον ἔχειν, μή τί γε ἑαυτῷ, σώφρων τε καὶ ἐπιεικὴς ὤν, πλὴν εἴ τινα καὶ τοιοῦτον θειοτέρα τις αἰτία καὶ ἄφυκτος καὶ ἄρξασθαί ποτε κατηνάγκασε.

Τούτοις μὲν δὴ καὶ τοιούτοις ἔγωγε νῦν ἥκιστα προσέχειν φημί. Τοῦ δὲ τὴν πάτριον ἡμῶν θεοσέβειαν ἢ φυλάττοντας ἅμα τε Θεῷ καὶ φρονίμοις πᾶσιν ἀρέσκειν, ἤ, ὡς οὐδὲν διαφέρον, ἀντὶ δοξῶν τε οὐκ ἀληθῶν καὶ πραγμάτων ἄλλων προϊεμένους δυσσεβεῖν, πολύ τι δή, ὡς οἶσθα, καὶ ἡμῖν ἐκ πολλοῦ ἐμέλησέ τε καί, σὺν Θεῷ φάναι, μελήσει, ὥσθ' ὅπως μὴ πολλοῖς συμβαίη τὰ δεύτερα. Οὐ γὰρ περὶ ἡμῶν γε αὐτῶν, σὺν αὐτῷ Θεῷ δ' εἰρήσθω, τοιοῦτό τι δέδιμεν. Ὧν ἕνεκα ζηλωτοὶ τοῖς πολλοῖς ἐδοκοῦμεν, τούτων οὐκ ἔσθ' ὅ τι οὐ προηκάμεθα χαίροντες. Οὐ γὰρ ἦν, ὡς ἔοικεν, ἐκείνων τε ἀπολαύειν καλῶς καὶ τοὺς ἄλλους λόγῳ τε καὶ ἔργῳ πείθειν, ὡς

23-24 ἐνισχημένων A 31 ἡμῖν A

σωφρονοῖεν. Εἰσὶ δ' ἐν τῷ νῦν χρόνῳ τοιοῦτοι παρ' ἡμῖν οὐκ ὀλίγοι, οὓς καὶ αὐτὸς ἔφησθα δεδιέναι, τὸ δ' ὅπως μὴ γένοιντό ποτε ἡμῶν τε καὶ τῶν ἡμετέρων λόγων | κρείττους Λατῖνοι, μὴ δεδιέναι, τοσοῦτ' ἀπέσχομεν f. 18v θεοσέβειάν τε καὶ ἀνθρωπίνην τιμὴν ἀντικαταλλάττεσθαι, ὃ ληρεῖν τινες οὐκ ὀκνοῦσι, τῶν πραγμάτων αὐτοῖς ἀντιφθεγγομένων, κυνιδίων ὡς ἀληθῶς ἐπιδεικνύμενοι προαίρεσίν τε καὶ δύναμιν, ὅτι τὸν θυμὸν ἐν ταῖς λοιδορίαις, ὡς ἐκεῖνα ταῖς ὑλακαῖς, ἐξεμοῦντες, πολὺ πλέον ἐν τοῖς ἀναγκαίοις ἀπαυδῶσιν ἢ ὅσον ἐν ταῖς τῶν περιττῶν τε καὶ χειρόνων νικῶσιν ὑπερβολαῖς. Εἰ δ' ἀγανακτοῖεν πρεσβείου τινὸς εἵνεκα, καὶ μείζοσιν οὐκ ὀκνήσομεν αὐτοὺς παρεικάσαι ταῖς ἀλωπεκίσι καὶ ταῖς Ἀκταίωνος. Σὺ δ' ἀεί τε ἦσθα ἐν τοῖς περὶ τοῦ ἀμφισβητουμένου τούτου λόγοις τῷ γένει τε καὶ τῇ Ἐκκλησίᾳ φίλιος, καὶ οὐδενὶ οὐδέποτε τρόπῳ ἐπαχθής, καὶ νῦν τεκμηρίῳ μεγίστῳ τοῦτ' ἔδειξας· ὥστ' εἰ καί τινας πρόσθεν τοιοῦτος ὢν ἐλελήθεις, αὐτοῖς τε καὶ τοῖς διαβάλλειν ἐπιχειροῦσι μηκέτ' ἂν ἐξεῖναι τὰ τῶν ἀγνοούντων ἢ ἐθελοκακούντων ἐνδείκνυσθαι περὶ σέ. Πῶς οὖν δίκαιος ἂν ἦν ἀντιλέγειν ἐπιχειρῶν ἢ βασκαίνων τῷ ἐς τὰ μέγιστά τε καὶ οἰκειότατα ξυμμαχοῦντι οὕτω χρησίμως; Εἰ γάρ με δύο φεύγοντα δίκας ἀπήλλαττες μὲν τῆς μεγίστης συναγορεύων, καὶ ἣν πάντων ἂν τῶν ὑπαρχόντων ἠλλαττόμην νικᾶν· οὗ δ' ἔδει με μηδέν τι σχεδὸν βλάπτεσθαι ἐπεβούλευες, ἢ διώκων ἢ τῷ διώκοντι συνιστάμενος, ἆρ' εὐγνῶμον ἂν ἦν, ἀφέντα σοι χάριν εἰδέναι ὧν ἐσπούδακας ὠφελεῖν, ἐλαχίστου ἀδικήματος μνησικακεῖν τε καὶ ἀντεπεξιέναι πειρᾶσθαι; Πολλοῦ γε καὶ δεῖ. Εἰ δὲ καὶ μὴ ἡμῖν ἐχαρίζου προὔργου, τῇ δ' ἀληθείᾳ καὶ τῷ δικαίῳ καὶ πολλοῖς ἄλλοις ὧν σοὶ οὐδέν τι ἧττον ἡμῶν αὐτῶν μέλει, καὶ οὕτως ἡμᾶς ἔδει, τὸ οἰκεῖον μὴ ὑπολογιζομένους, ἀμείβεσθαι τὸν ἐς τὸ κοινὸν ὠφελοῦντα, εἴ τι καὶ ἰδίᾳ αὐτῷ μέμφεσθαι ἔχοιμεν ἀφιέντας, καὶ ἐξὸν ἐλέγχειν, οὐκ ἐξελέγχοντας.

Οὐκοῦν διὰ ταῦτα πρὸς μὲν τὰ σά γε ἐκεῖνα, ὁποῖ' ἂν δόξειεν ὀφθέντα ποτέ, οὐδέν μοι ἀντιγεγράψεται, ἀλλ' ἐάσω σε ἀπολαύειν ὧν ἐς Ἀριστοτέλη τε αὖ καὶ ἡμᾶς, ὡς οἱ ἰδόντες | λέγουσιν, αὐτοσχεδιάσας, ᾤου τι ἀμυνεῖσθαι f. 19 ἢ ἐπιδείξεσθαι, ὡς ἂν εἴη σοι καὶ ταῦτα διατριβὴ [καὶ] τοῖς ἥδιστ' ἂν ἰδοῦσι μετ' ὀργῆς ἀναπαλαίειν πειρώμενον καὶ κραυγῆς, καίτοι σχεδὸν ἀποτριαχθέντα· οὐ γὰρ ἡμῖν γε δόξειεν ἂν οἷα δή φασι καὶ Κυμαίοις· καὶ ὃ δὴ πλέον ἐστί, συγχωρήσαιμ' ἂν σοι καὶ Πλάτωνα καὶ Ἀριστοτέλη ληρεῖν ὁμοίως. Τί γὰρ ἂν καὶ ὄφελος γένοιτο, ὁποτέρου τούτοιν πλέον εὐδοκιμοῦντος, οἳ τῆς κερδαλεωτάτης ἀληθείας οὐχ οἷοί τε ἐγένοντο, ἢ οὐκ ἠξίωντο τυχεῖν; ὃ σφίσι τε αὐτοῖς καὶ τοῖς ἄλλοις αἴτιον γέγονε τοῦ καὶ περὶ τῶν ἄλλων, ὅσα ἐλάττω τυγχάνει τῷ γένει ὄντα, ἄλλον ἐν ἄλλῳ

---

4 *ἀντικαταλάττεσθαι* A 24 *ὧν* : *οἷς* A 25 *εἰς* M 31 *σου* A 33 *φησι* A

τοῦ ὄντος διαμαρτεῖν. Ἀλλ' εἴ τί γε ἄρα καὶ χρήσιμοι τοῖς χρωμένοις δύναιντο εἶναι, τοῦτο καὶ παρ' ἑτέρων λαβεῖν ἔστι, προαιρέσει μὲν τοῖς πολλοῖς οὐκ εὐπετεστέρᾳ, σπουδῇ δὲ ἐλάττονι. Οὗτοι δ' εἰσὶν οἳ τῷ τῆς ἱερᾶς διδασκαλίας ἐλλαμφθέντες φωτί, τῇ ἐξ ἐκείνων σοφίᾳ ὥσπερ τινὰ ἐπιστήσαντες ταύτην παιδαγωγόν, αὐτοί τε πολλῷ Ἀριστοτέλους καὶ Πλάτωνος καὶ τῶν ὁμοίων βελτίους ἐγένοντο, καὶ τοὺς συγγινομένους αὐτῶν ταῖς βίβλοις τοιούτους ποιοῦσι. Καὶ πολλοί γε δι' αὐτῶν τοιοῦτοι γεγένηνται, οἷοι μὴ ὅτι τῶν εἰρημένων, ἀλλὰ καὶ Ἑρμοῦ αὐτοῦ καὶ Ἀπόλλωνος καὶ Μουσῶν καὶ πάντων ἐφ' οὓς ἡ ἑλληνικὴ ἀναφέρει σοφία, πάμπολυ ὑπερενεγκεῖν. Τὰ μὲν γὰρ τῶν παρ' Ἕλλησιν ἐπὶ σοφίᾳ πρώτων ἔργα τῶν γε πλειόνων καὶ τῶν τῶν φαυλοτάτων ἰδιωτῶν χείρω ἦν τῷ τὴν μὲν περὶ τὸ αἰσθητὸν ἅπαν διατριβὴν μὴ δύνασθαι τῇ μετουσίᾳ τοῦ κρείττονος καὶ τῇ τοῦ ὄντος καλοῦ θήρᾳ τὸν ἄνθρωπον προσαγαγεῖν, καὶ εἰ θεωρητικῶς περὶ αὐτὰ μόνον στρέφοιτο ἄνευ τοῦ ἥκιστα αὐτῶν ἐφάπτεσθαι καὶ τῇ αἰσθήσει· περὶ δέ γε τῶν νοητῶν μηδὲν αὐτοῖς σαφὲς εἶναι περὶ ὅτου ἂν καὶ ἐλπίς τις εἴη βεβαία οὕτω καὶ ἔχειν ὡς ὑπ' αὐτῶν ἔγνωστο, ἀλλ' ὥσπερ ἄλλην τινὰ τῶν ἐπιστημῶν, οὕτω δὴ καὶ τὴν περὶ τῶν θείων ἀσκῆσαι, | f. 19v καὶ πολλῷ χεῖρον, ὅσῳ δὴ καὶ ἥττονι βεβαιότητι· εἶναι μέν τινα τῶν φαινομένων πολλῷ κρείττω καὶ αὐτῶν ἐνίους ὑπειληφότας, τοιαῦτα δ', οἷα αὐτὸς ἕκαστος ὑπείληφεν εἶναι, ἔκ τινων μύθων ἢ τῶν οἰκείων προλήψεων καὶ ἀρχῶν, ἅς ποτε ἀληθεστέρας τῶν ἄλλων τυγχάνειν ᾤετο, ὡρμημένος. Λαθεῖν δὲ οὐδ' αὐτοὺς ἐκείνους τὸ μηδὲν πιστὸν ἔχειν περὶ αὐτῶν, εἰ μὴ ἐς ὅσον καὶ τῇ τῶν ἰδιωτῶν πλάνῃ ἐκέχρηντο, χρηστηρίοις καὶ ταῖς ἐκεῖθεν προσέχοντες ἀφορμαῖς, οὐκ ἐξηπατημένοι μᾶλλον ἢ ἑκουσίῳ ἐνδείᾳ τοῦ ἀληθεστέρου τε καὶ βελτίονος· σαφὴς γὰρ ἦν ἡ παρὰ τῶν δαιμόνων φενάκη. Δι' ἃ δὴ καὶ οὐκ ἀπεικότως ἐκεῖνοι πάντες σχεδὸν ἀσύμφωνα τῇ ἐπαγγελίᾳ τοῦ βίου ἔργα ἐπιδειξάμενοι, οὐδὲν τοῦ τρίβωνος ὤναντο καὶ τῆς ἐν ταῖς στοαῖς ἢ τοῖς περιπάτοις ἀδολεσχίας, ὥστ' εἴπερ τινάς, αὐτοὺς ἂν εἶναι τοὺς εἰς ὄνων τε καὶ θηρίων ἄλλων σώματα εἰσιόντας σὺν αὐτῇ φιλοσοφίᾳ καὶ τοῖς καλοῖς θεωρήμασιν, εἴγε ἀληθεῖς αἱ μετενσωματώσεις καὶ οἱ περὶ αὐτῶν ἦσαν λόγοι.

Οἱ δὲ τῆς ἱερᾶς ἡμῶν πίστεως ἡγεμόνες, εὐθὺς ἀπὸ τῆς εὐτυχοῦς ἐκείνης οἰκονομίας τοῦ κρείττονος μέχρι καὶ ἐπὶ πλεῖστον χρόνον, οὐ μόνον τοῦ αὐτῶν λόγου καὶ οἱ σοφώτεροι, ἀλλὰ καὶ παντὸς λόγου κρεῖττον ἐβίουν, ὥσπερ εἰκὸς ἦν τοὺς αὐτῇ Θεοῦ σοφίᾳ, συγγενέσθαι τοῖς ἀνθρώποις ἀξιωσάσῃ, τούτου χάριν ἀκολουθοῦντας. Γραμμῶν μὲν καὶ ἀριθμῶν καὶ τῶν οὐρανίων τηρήσεως καὶ φυσικῆς ἐπιστήμης οἳ μὲν οὐδὲ τὴν ἀρχὴν

2 *ἐστι* A 4 *ἐλλαμφέντες* A 11 *καὶ τοῖς τῶν φαυλ.* A 13 *ὅτως* A 35 *ἐβίων* A

ἐπαΐοντες· ὧν γὰρ τῆς ἀπολαύσεως ὠλιγώρουν, τούτων τὴν εἴδησιν καὶ τῶν περὶ αὐτὰ παθημάτων οὐδὲν ἡγοῦντο σεμνόν, πάνυ καλῶς ποιοῦντες. Εἰ γὰρ τὸ γνῶναι πρὸς τὸ ὑπερφρονῆσαι τῶν γε τοιούτων φέροι ἄν, τοῖς γε νοῦν ἔχουσι, καὶ ἐρασθῆναι τοῦ κάλλους, ὃ ὑπὲρ ταῦτα πάντα ἐστίν, ἀφανὲς ἔτι ὄν, τί γ' ἂν ἐδέοντο κάμνειν περὶ τὴν τοιαύτην γνῶσιν, ὁδῷ ῥάστῃ τε καὶ δικαιοτάτῃ καὶ πείρᾳ βεβαίῳ μετὰ τοῦ ἐραστοῦ κἀνταῦθα, ὡς ἐγχωρεῖ, γενέσθαι δυνάμενοι; Οἳ δὲ καὶ ταῦτα μὲν ᾔδεσαν, | ἀλλ' οὐδὲν f. 20
μᾶλλον τῶν οὐκ εἰδότων ἐχρῶντο, πλὴν εἴ που ἐδέησε τοὺς ἐπὶ τῇ ματαίῳ ταύτῃ σπουδῇ μόνῃ σεμνυνομένους ἐλέγχειν, καὶ τὰ ἐκεῖθεν ἀνθίστασθαι τῇ ἱερᾷ ἀληθείᾳ δοκοῦντα δεικνύναι οἷα ἐρχῆν δείκνυσθαι, καὶ ὡς ἂν μὴ κομπάζειν δύναιντο, ἢ ὡς δι' ἀμαθίαν τῶν ἄλλων ἐπὶ τὰ βελτίω ἱεμένων, τῶν τῷ ὄντι φιλοσόφων καταγελᾶν, οἱ τῇ τῶν φαινομένων γνώσει προσηλωμένοι. Πάντες δ' ὁμοῦ τὴν ἀληθινὴν σοφίαν τοιαύτῃ τε εὗρον σπουδῇ οὐκ ἄνευ τῆς ἐξ αὐτῆς ὁδηγίας, καὶ εὑρημένην ἐτίμησαν οὕτω, ὥσθ' ὑπὲρ αὐτῆς καὶ τῶν αὐτῆς νόμων θνήσκειν τε καὶ διὰ βίου τεθνηκέναι, ὃ δὴ τοῦ κατ' ἐκείνην βεβιωκέναι ἀκριβῶς πολὺ μεῖζόν ἐστι. Τοιοῦτοι δὲ γεγονότες, οὐ μελέτην λέγοντες μόνον θανάτου εἶναι φιλοσοφίαν, ἢ μελετῶντες μὲν ἐν τῇ θανάτου τε καὶ τῶν θανάτου πολὺ χειρόνων κακῶν τοῦ σώματος ἀπουσίᾳ, ἐν δὲ τῷ ἔργῳ ἀφηνιάζοντες, ἀλλ' ἔργοις μᾶλλον ἢ λόγοις ἐπιδεδειχότες ἅπαντες τὴν προαίρεσιν, οὐ καθ' ἕνα αὐτοί γε οὕτως ἐφιλοσόφουν καὶ τοὺς ἄλλους ὁμοίους ἐποίουν, ἀλλὰ καθ' ὅσους παγχάλεπόν ἐστιν ἀριθμεῖν· πόλεις γὰρ ὅλαι καὶ ὅλα ἔθνη τὴν ὑψηλοτάτην αἵρεσιν ἠσπάζοντό τε ταύτην καὶ ἤσκουν, οὐδ' ἐν χρόνῳ πολλῷ, ἀλλ' αὐτίκα δὴ ἀποσκευαζόμενοι πᾶν κώλυμα, καὶ τῶν ἐν τῷ βίῳ τῷδε θελγήτρων, ὡς μηδ' ὑπ' αὐτῶν ποτε τερφθέντες, ἐπιλελησμένοι εὐθὺς τῷ τῆς ἀληθοῦς ζωῆς πόματι. Καὶ οἶμαι μὴ μόνον τῶν ἐκ τοῦ παντὸς τοῦ χρόνου ἀνθρώπων, ἀλλὰ καὶ πάντων τῶν ἐξ ἀϊδίου γ' ἂν γεγενημένων, ὡς Ἕλληνες ὑπελάμβανον, μὴ φιλοσοφῆσαι τοσούτους καὶ ἔργῳ τὴν προαίρεσιν ἐπιδείξασθαι, ὅσους ἢ ἐν πόλει μιᾷ τῶν ἁπανταχοῦ ἀρχῶν εἷς ἐν ἡμέρᾳ μιᾷ φιλοσοφήσαντας εἶδεν (οὐδὲν ἰσχυσάσης αὐτῷ τῆς μαγειρικῆς ὠμότητος, ᾗ τὰ ἐκείνων σώματα μετιών, ἤλπισεν ἀποστρέψειν τοῦ ὀρθοῦ φρονήματος καὶ τῆς ἐπ' αὐτῷ βεβαίου ἐλπίδος τοὺς μακαρίους), ἢ ἐν τῶν τῆς ἀρετῆς ἀσκητηρίων ἐνί τῳ πανταχοῦ | μιᾶς γενεᾶς χρόνος, καὶ ὑφ' ἑνί που, εἰ τύχοι, καθηγε- f. 20v
μόνι πεφιλοσοφηκότας γνησίως, τῇ τῶν μακαρίων ἐν οὐρανοῖς προσήνεγκε πολιτείᾳ.

Τὸ δὲ πλῆθος ἅπαν τῶν ὑπὸ τῆς ἀληθείας κατασχεθέντων, ἐξότου δι' ἑαυτῆς ἐβουλήθη τοὺς ἀνθρώπους ἐπιστρέψαι πρὸς ἑαυτήν, τίς ἂν οὐκ ἐπὶ νοῦν ἐκπλαγείη λαβών; Τοσοῦτον ἀπέχει τῇ κατὰ Χριστὸν φιλοσοφίᾳ

---

11 *οἰομένων* A 31 *ἤλπισαν* A

ἢ τῶν τινος ἀνθρώπων παραβληθῆναι καὶ πάντων ὁμοῦ τῷ τε πλήθει τῶν βελτιουμένων καὶ τῷ τάχει τῆς βελτιώσεως, ὥστε καὶ κινδυνεῦσαι ἂν μάτην τουτονὶ γεγονέναι τὸν κόσμον (οὗ τῆς συστάσεως τέλος τὸν ἄνθρωπον καὶ τῶν ἔξω πολλοὶ τιθεῖσιν εἶναι, καὶ εἰ μὴ τοῦ σύμπαντος, ἀλλ' ὅσα τῶν γινομένων εἰσὶν ἀρχαὶ τῶν ἐν τούτῳ), καὶ τὰς τῶν ἀνθρώπων γενέσεις τε καὶ ζωὰς καὶ ἐφέσεις εἰκῇ τῷ παντὶ χρόνῳ προστίθεσθαι, εἰ μὴ τὴν τῆς ὑπερφυοῦς ἀληθείας φανέρωσιν οὕτως ὁ Θεὸς ᾠκονόμει, ὥστε καὶ ἀποκαλυφθείσης καὶ μενούσης ἔτι τοῖς ἀμβλυτέροις κεκαλυμμένης, καὶ τῷ μὲν ὑπερφυεῖ τῶν μαθημάτων ἀφιστάνειν δοκούσης οὐχ ἧττον ἢ τῆς διδασκαλίας τῷ τρόπῳ, διὰ δὲ τῶν παραδόξως αὖθις ἐνεργουμένων πάντας προσαγομένης, τοσοῦτον ἑσμὸν ἀνθρώπων ἀθρόον τῇ τῆς ἀληθείας ἐπιγνώσει καὶ τῇ δι' αὐτὴν ἀρετῇ συμπάσῃ πρὸς τὴν τοῦ θείου κοινωνίαν εὐμεθόδως ἐλθεῖν.

Οὔκουν οὐδὲ περιώφθη μὴ ἐπὶ τὸ ἀναγκαιότατόν τε καὶ βέλτιστον τά τε ἀνθρώπεια ἐλθεῖν αὖ πράγματα τέλος καὶ ὅσα αὐτῶν ἕνεκα τῶν ἀνθρώπων ἔστι καὶ γίνεται, οἷ δὴ καὶ τὴν ἀρχὴν ἡ τοῦ πεποιηκότος ἔτεινε βούλησις, ὡς εἰκὸς ἦν. Διὸ δὴ καὶ τοῦ κατὰ Χριστὸν ἀνεῳγμένου διδασκαλείου, ἐπεὶ ἔδει ποτὲ τοῦτ' ἀνοίγνυσθαι, ὑπεχώρουν μὲν οἱ φυσικοὶ καὶ γεώδεις περὶ τῶν ὑπερφυῶν στοχασμοί, τὰ δ' ἱερὰ τοῖς ἀνθρώποις ἐνεφυτεύετο δόγματα, καὶ ταῦτα τοῖς ἔργοις τῶν δοξαζόντων σύμφωνα ἦν. Καὶ ἡ μὲν τῶν δαιμόνων οὐκέτ' ἦν ἰσχὺς οὐδαμοῦ· τὸ δὲ τοῦ ταύτην καταλύσαντος ὄνομα Ἰησοῦ κατ' αὐτῶν τε καὶ τῶν ἀρρωστημάτων ἐκράτει πάντων τῆς φύσεως καὶ ἡ ἐνδυναστεύουσα τοῖς ἀνθρώποις ἐκ μακροῦ φιλία τῶν προσύλων τούτων ἐλύετο, καὶ ἡ πρὸς τὸν οὐρανὸν φέρουσα τῶν ἐπὶ τὸν Θεὸν ἀνιόντων ἔγεμεν ὁσημέραι, μυρίων ἐξ ἁπάσης τῆς οἰκουμένης, τῶν μὲν ἀπὸ
f. 21 τῆς ὑπὲρ Χριστοῦ πάλης, | τῶν δ' ἀπὸ τῆς ἐμπόνου τῶν ἐκείνου νόμων μελέτης ἀναλυόντων μετὰ πολλῶν τῆς μελλούσης εὐζωΐας καὶ φανερῶν ἐλπίδων καὶ προοιμίων. Καὶ ἠλέγχετο μὲν τὸ μαχόμενον ἅπαν τῇ βελτίστῃ ταύτῃ καινοτομίᾳ μάτην ἐπιχειροῦν· ἡ δὲ τοῦ Χριστοῦ δύναμις ἐν τῇ φυσικῇ τῶν αὐτῷ πιστευόντων ἀσθενείᾳ θαυμασίως ἐτελειοῦτο. Καὶ ἡ μὲν φύσις τοῖς τέρασιν ἐξηλέγχετο δυνάμει μείζονι νικωμένη· ὁ δὲ φυσικὸς ὑπεχώρει λόγος τοῖς κατὰ φύσιν ἀπιθάνοις, πειστικῆς τινος χάριτος θεόθεν συνεγχεομένης εἰς τὰς τῶν ἀνθρώπων ψυχάς.

Τοιούτων αἱ ἱεραὶ βίβλοι διηγημάτων καὶ δογμάτων ἀνάμεστοι, μηδὲ τῆς ἐν τῷ λόγῳ χάριτος ἀμοιροῦσαι τούτων αἱ πλείους, καὶ τὸ μὲν δηλητηριῶδες Ἀριστοτέλους καὶ Πλάτωνος διαπεφευγυῖαι, τὸ δὲ τέρπον ἀνεπαχθῶς τε καὶ ἀκινδύνως τοῖς μεταχειρίζουσιν οὐχ ἧττον ἐκείνων ἀποδιδοῦσαι. Ὧν τοῖς Πατράσιν ὥσπερ τισὶ καὶ ὑποδείγμασι χρώμεθα, τῶν

---

16 *οἷ*: *οὗ* **A**

ἀγαθῶν ἐκείνων τῆς οἰκονομίας ἐγγυτέρω γεγενημένοις, ὅτε δὴ καὶ πιθανότητος μέν τι προσῆν ἔτι τοῖς Πλάτωνος μύθοις, εἰ δὲ βούλει, καὶ τῶν αὐτοῦ πάντων ὁμιλητῶν μετ' Ἀριστοτέλους, ἐκ τῆς σαπρᾶς ἐκείνης καὶ σκιώδους σεμνότητος· αὐτοὶ δὲ τῷ φωτὶ τῆς κατὰ Χριστὸν ἀληθείας, ὑπερνικῶντι καὶ σβεννύντι τὴν δεισιδαιμονίαν ἐκείνην καὶ ὑπερορίζοντι, μὴ ταῖς ἐκ τῶν πραγμάτων μόνον ἀνάγκαις καὶ ταῖς ἄνωθεν κατοχαῖς, ἀλλὰ καὶ λογισμῶν κρίσει δεῖν ᾤοντο σῴζεσθαι τεθειμένοι. Καὶ ὡς παραδείγμασιν οὖν αὐτοῖς κεχρημένοι καὶ κανόσιν ἀδιαψεύστοις τῶν σωφρονεστέρων περὶ τῆς ἡμετέρας εὐζωΐας ἐλπίδων, οὐκ ἂν Ἀριστοτέλους καὶ Πλάτωνος ὑπεραλγοῖμεν ὑπ' ἀλλήλων ἀναιρουμένων· χαίροιμεν δ' ἂν καὶ τῆς ἐς τὰ κρείττω τῶν μαθημάτων ἀμβλύτητος σφίσιν ὑπὸ τῶν ἐκ Χριστοῦ φωτισθέντων ἐλεγχομένης. Καίτοι καὶ συγγνώμην αὐτοῖς τινα νεμόντων ἀκήκοα λόγων ἱερωτέρων ἐγώ. Ἀλλ' εἴ τινες νῦν τὰ σαπρὰ Ἑλλήνων ἀνανεοῖεν ληρήματα, τούτους φασὶν ἐν ἀσυγγνώστῳ καλινδεῖσθαι | τῷ f. 21v ψεύδει. Μετὰ γὰρ τὴν λαμπρὰν τῆς μοναρχίας ἀπόδειξιν, ἣν ἐκεῖνοι μέν, ταῖς ἐπεισαγωγαῖς τῶν ψευδωνύμων ἀναιροῦντες θεῶν, τοῖς λόγοις μόνοις ἐτίμων, ὁ δὲ τοῦ Θεοῦ συμφυὴς καὶ οὐσιώδης Λόγος, μετὰ τῶν ἀνθρώπων γεγενημένος, ἀναμφισβητήτως καὶ καθαρῶς πιστεύειν ἐδίδαξε, ποῦ νῦν ὅσιον αὖθις θεοποιεῖν καὶ τὴν ἀλόγιστον ἐκείνην θεοποιΐαν ἀναζωπυρεῖν ἀπεσβεσμένην πειρᾶσθαι, καὶ θεῶν τινων ἀναγνωρισμοὺς ἐκ φιλοσοφίας ὑπὲρ τὴν ποιητῶν διάστροφον γνώμην καὶ ἁγιστείας εὐσταλεῖς, ὡς αὐτοί φασι, καὶ νόμους ἠθῶν καὶ διαίτης ὑφ' ἡγεμόνι Ζωροάστρῃ καὶ Πλάτωνι καὶ τοῖς ἐκ Στοᾶς, καὶ τοιαύτην τινὰ λόγων ὁμίχλην αὖθις συνάγειν; ἧς ταῖς τῆς ἱερᾶς διδασκαλίας ἀκτῖσι θείως ἐσκεδασμένης, πρὸς τὰς τῆς ὑπερφυοῦς ἀληθείας αὐγὰς ἡ τῶν ἀνθρώπων φύσις ἀνέβλεψεν. Ἐκεῖνα μὲν οὖν εἰ συμβαίη μοι ἐς χεῖρας πάντα ἐλθεῖν, φλυαρίαν ὄντα δείξω μακράν, καὶ πολλοὶ δείξουσιν· ἀλλὰ γένοιτο κἀμοὶ τοῦτον ἐνστήσασθαι τὸν ἀγῶνα, καὶ μὴ πῦρ, ἀλλὰ λόγους μᾶλλον ἀληθείας ἐπαφεῖναι τοῖς γράμμασιν, ὡς τοῖς γράψασι μᾶλλον πρέποντος τοῦ πυρός. Εἰ δ' ἄλλο τι περὶ ἡμῶν δοκοίη τῷ κρείττονι, ἥ γε πρόθεσις πρὸς εὐσέβειαν ἐξαρκέσει. Ὅτι δὲ μὴ συκοφαντῶ τετολμηκέναι τὰ τοιαῦτά τινας, καί τινας ἄλλους χαίρειν αὐτοῖς, νῦν μὲν αὐτοί τε συνοίδασι καὶ πολλοὶ μετ' αὐτῶν· δείξει δὲ καὶ πᾶσιν ὁ χρόνος ὁ φανερῶν τὰ τέως κρυπτόμενα.

Ἀλλὰ σύ γε οὐ σμικρῶς ἡμᾶς εὔφρανας, τὸν μὲν τῶν Ἑλλήνων ἐκθεὶς λῆρον, οὐδ' ἴσως παρέργως, ὡς ἄν, εἴ τινες αὐτὸν ἀγνοοῦντες ὑπ' ἐνίων ἐξαπατῶντο, μάθοιέν τε καὶ καταγνοῖεν· ἀπὸ τῆς αὐτῆς δὲ ὁρμωμένους, ὡς ἔφησθα, καὶ Λατίνους αὐτοῖς ὑποθέσεως ἐν τῷ παρ' αὐτῶν πεμφθέντι σοι γράμματι δείξας ἢ μάτην Ἑλλήνων κατηγορεῖν, ἢ τοῖς αὐτοῖς ἐνεσχημένους καὶ σφᾶς ἀγνοεῖν. Οὐ γὰρ ἔτι λοιπὸν χώρα τοῖς τὴν | σὴν ψυχὴν f. 22 διαβάλλουσι καὶ φρονεῖν σε ἰσχυριζομένοις ὧν δὴ καὶ προδήλως φαίνῃ

καταφρονῶν· οὐδὲ πιστεύσει τις αὐτοῖς τῶν εἰδότων ταῦτα δὴ τὰ πρὸς Λατίνους σοι γεγραμμένα. Καὶ ἔγωγε, νὴ τὴν ἱερὰν ἀλήθειαν, ἐδόκουν δὴ καὶ Πλάτωνος ἀκούειν αὐτοῦ καὶ Ἀριστοτέλους πολλά τε μεμφομένων καὶ βοώντων ὑπὸ σοῦ τὰ μέγιστα ἠδικῆσθαι, μαθόντος μὲν αὐτῶν τὰ σεμνά, ἔπειτα ἐξορχησαμένου· ὃ δὴ καὶ τοῖς ὑπὸ τῆς ἀληθείας πεφωτισμένοις πᾶσιν ἡμῖν ἐμέμψαντ' ἄν, εἰ παρῆσαν. Μᾶλλον δ' οἳ μὲν κἂν ἐπῄνεσαν ἡμᾶς οὕτω τἀκείνων φαυλίζοντας, πείρᾳ μεμαθηκότες, ὡς οὐδὲν αὐτοὺς ὤνησεν ἡ πρὸς τὴν θείαν φύσιν παρανομία, οὐδὲ τῆς θεοποιΐας εὐτυχῶς ἐκείνης ἀπήλλαξαν· οἳ δὲ ζηλωταὶ νῦν ἐκείνων ὑπ' ἀπειρίας ἐγένοντ' ἄν σοι καὶ πολλῷ χαλεπώτεροι, εἴπερ οἷόν τ' ἦν, ἀπορρίψαντας τὴν ὡς ἐπὶ φαυλοτάτοις πάντως αἰδῶ, παρρησίᾳ σου καταβοᾶν ὡς ἠδικηκότος. Οὐ γὰρ μικρὸν ἡ σὴ ψῆφος δύναται, πρὸς μὲν τὴν τῆς ἀληθείας κατασκευὴν αὐτῆς τῆς ἀληθείας καὶ τῶν τούτης ἔργων ἀρκούντων, καὶ τοῦ πλήθους τῶν ἐκείνῃ μετὰ λόγου τε καὶ ἀρετῆς τεθειμένων, ὧν εἴ τις ὑπερορῶν ἑαυτῷ πρὸ ἐκείνων θέλει πιστεύειν, τὰ τῶν μαινομένων ὅγε τοιοῦτος δικαίως ἂν νομίζοιτο πάσχειν· τοῦ δὲ τὸ ψεῦδος ἀναβιώσκεσθαι τολμῶν, συμπατεῖσθαί τε καὶ συμπνίγεσθαι δι' ἐκείνου μάλιστά γε συμβησομένου καλῶς, ὃν οὐδὲν λέληθεν ἐφ' οἷς ἐκεῖνο πεφρονηκὸς αὐθαδίζεται. Ἀλλὰ σύ γε, ὥσπερ ἐπισκηπτόμενος, τιμᾶν μὲν φήσεις αὐτοῖς καὶ Ἀριστοτέλη, ἐν οἷς ἂν δέοι, καὶ Πλάτωνα, καταγινώσκειν δ' αὐτῶν, οὔ τι καὶ παρὰ νόμον φθέγγονται· τοῦτο δ' ἐν τοῖς καιρίοις ἑάλωσαν πεπονθότες.

Ἢ πῶς ἂν ἔχοι λόγον ἢ τὴν οὐσίαν τοῦ Θεοῦ μὴ διακρίνειν τῆς f. 22v ἐνεργείας οὐδ' ὁπωσοῦν ἀληθῶς, ἐξ | αὐτῆς τοῦ πράγματος διενηνοχότος τῆς φύσεως, καὶ τὸ τί ἦν εἶναι διάφορον ἔχοντος καὶ ἐν αὐτῷ τῷ Θεῷ, εἴ γε μέλλοι τις μὴ εἰκῇ ταῦτα ψοφεῖν τὰ ὀνόματα, καὶ μήτε τῆς, ὡς ἂν ἐκεῖνοι φαῖεν, ἑνότητος αὐτῶν, μήτε τῆς διακρίσεως εἰς οὐδὲν ἀπολαύειν· ἢ παῖδας μέν τινας τοῦ Θεοῦ λέγειν ἐκ τῆς οὐσίας αὐτοῦ προηγμένους, εἴπερ δὴ καὶ τῆς ἐνεργείας, τῆς αὐτῆς ἂν οὔσης τῇ φύσει καθάπαξ, εἶτα μὴ δεῖν τὸν Θεὸν ἀξιοῦν τοὺς αὐτοὺς τῇ φύσει, ἀλλ' ἑτέρας ἅπαντας οὐσίας καὶ πολὺ ὑποδεεστέρας προάγειν; Ἢ γὰρ ἐχρῆν μηδένα ἐκ τῆς οὐσίας τοῦ Θεοῦ, ταὐτὸν δ' εἰπεῖν τῆς ἐνεργείας κατ' αὐτούς, προαχθῆναι λέγειν, ἀλλ' ἄπαιδα εἶναι καθάπαξ τὸν Θεὸν καὶ ἄγονον· καίτοι οὕτω αὐτὸς μὲν μάλιστα ἂν εἷς ἦν καὶ ἓν ἄτομον, ὥς φασιν, ὃ πολὺ βέλτιον ἂν εἴη τοῦ ἐς πολλὰ τὴν θεότητα κατατέμνειν· ἡ δὲ κτίσις οὐκ ἂν ἐγίνετο ἐκ Θεοῦ, ἀλλ' ἢ ἐκ ταὐτομάτου γ' ἂν ἦν, ἢ οὐδ' ἂν ἦν ὅλως· οὐχ ὅτι μόνον οὐκ ἂν οἷόν τ' ἦν, μὴ ὄντων τῶν συνδημιουργούντων τε αὐτὴν καὶ συνεπιτροπευόντων παίδων ἐκείνου (δέοι γὰρ ἂν αὐτοῖς καὶ ἄμφω ὑπάρχειν); ἀλλὰ τῷ καὶ τὴν ἐνέργειαν αὐτοῦ ἄγονον εἶναι, τὴν αὐτὴν οὖσαν τῇ οὐσίᾳ

---

10 *οἷόν τε* A 19 *ἐπισκεπτόμενος* A

καθάπαξ. Ἢ τοίνυν οὕτω νομοθετεῖν αὐτοὺς ἔδει, ἢ ἐκ τῆς οὐσίας τοῦ Θεοῦ λέγοντας γεγεννῆσθαι παῖδάς τινας καὶ πολλούς γε, καὶ τῆς αὐτῆς οὐσίας ἀξιοῦν εἶναι, καὶ πάντας ὁμοουσίους καὶ ἴσον δυναμένους ἁπλῶς τε κἀν τῷ παντὶ τῷδε καὶ τοῖς αὐτοῦ μέρεσι. Καίτοι οὕτω ἢ αὐτοὺς ἔδει μόνον αὖ εἶναι, καὶ τῶν δημιουργημάτων οὐδέν· οὐ γὰρ ἂν ἔμελλεν ὁ Θεὸς δήπου ἕτερ' ἄττα προάγειν τῇ ἐνεργείᾳ, ἵνα μὴ κἀκεῖνα θεοὶ εἶεν, τῇ αὐτῇ δήπου προηγμένα ἀρχῇ, τῆς αὐτῆς ἂν οὔσης ἐνεργείας τε καὶ οὐσίας καθάπαξ· ἢ καὶ τὰ ὄντα πάντα θεοὺς εἶναι, εἴθ' ὁμοίως ἐκ Θεοῦ τῇ οὐσίᾳ γεγενημένα, εἴτε καὶ ἐκ τῶν τοῦ Θεοῦ παίδων, ὡς αὐτοὶ ἐξ ἐκείνου τυγχάνουσι προηγμένοι. Οὐδεὶς γὰρ ἂν λόγος δοθείη ἀνθρώπινος τοῦ ἢ τὸν Θεὸν ἐκ τῆς οὐσίας μὲν αὐτοῦ προάγειν, εἴτουν | τῆς ἐνεργείας, f. 23 πάντα τὰ ὄντα, μὴ εἶναι δὲ πάντα θεούς, εἴπερ ἔνια αὐτῶν θεοί εἰσι διὰ τοῦτ' αὐτὸ τὸ ἐκ τῆς οὐσίας αὐτοῦ προελθεῖν, ἢ τοὺς Θεοῦ παῖδας, ἐκ τῆς οὐσίας αὐτοῦ προεληλυθότας, μὴ θεοὺς προάγειν, ἅττ' ἂν ἐκ τῆς σφῶν οὐσίας προάγοιεν. Τὸ δ' ἐκ τῆς οὐσίας τοῦ Θεοῦ προελθεῖν τινα μὴ τὴν οὐσίαν ἔχοντα τοῦ Θεοῦ ἐπίσης φαῦλόν ἐστι τῷ καὶ πάντα τὰ ἐκ τοῦ Θεοῦ προεληλυθότα ὁπωσοῦν τῆς αὐτοῦ μετειληφέναι οὐσίας· ὡς γὰρ ἐκεῖ ἴσα τῷ Θεῷ ἔσται ἃ δεῖ αὐτοῦ πάμπολυ ἕτερα εἶναι καὶ μηδὲ ξυμβεβλῆσθαι ἄξια, οὕτω κἀνταῦθα ἔσται ἀνόμοια ἃ δέοι γ' ἂν μηδὲν διενηνοχέναι. Εἰ δὲ καὶ γόνιμος ὅλως ὢν καὶ παραγωγὸς πλειόνων, τὰ μὲν ἕτερα αὐτοῦ ὑποστήσει (τὸ δ' ὅπως ἐκ τῆς οὐσίας αὐτοῦ γινόμενα τοιαῦτ' ἂν εἴη, ῄρηται πρότερον), ἐν ἑαυτῷ δὲ καὶ τῇ οἰκείᾳ ἑνότητι ἄνευ τινὸς προόδου μενεῖ, καὶ εἷς ἔσται, ὥσπερ ἓν ἁπλῶς ἄτομον, καὶ ὥσπερ τις μονώτης ὡς ἀληθῶς, πῶς οὐ καὶ πολὺ βελτίω αὐτοῦ ἔσται τὰ ἔργα; Τούτων γὰρ ἔνια οὐ κατ' ἐνέργειαν μόνον, ἀλλὰ δὴ καὶ τῇ οὐσίᾳ τινῶν αἴτια γίνονται, καὶ οὐ τέχνῃ μόνον ποιοῦσιν, ἀλλὰ καὶ φύσει προάγουσιν. Οἷς πολύ γ' ἂν εἴη βέλτιον τοῦ εἴδους μεταδοῦναι τῆς φύσεως, καὶ ἐλάττοσιν, ἢ ὅμοια τῇ βουλήσει πάμπολλα παραγαγεῖν οὐκ ἐπὶ τῇ τοῦ εἴδους διαμονῇ μόνον, ἀλλὰ καὶ ἁπλῶς. Καὶ βέλτιον μὲν ἔχειν τῶν κατὰ φύσιν μόνον προαγόντων τὰ πρὸς τούτῳ ἔτι καὶ κατὰ τέχνην ποιοῦντα πᾶς τις ἂν φαίη.

Εἰ δ' οἷόν τ' ἦν καὶ ἄλλως διελομένους ὡς ἐν ὑποθέσει σκοπεῖν, τῶν καὶ φύσει καὶ τέχνῃ γινομένων αἰτίων τινῶν ἧττον ἂν ἐβίω εὐδαιμόνως τὰ τέχνῃ μόνον ποιοῦντα. Καὶ νῦν ἐν ἀνθρώποις πολλῷ τις ἥδιον βιοῖ καὶ εὐδαιμονέστερον ἐκ τοῦ δύο καὶ τρεῖς παῖδας γεγεννηκέναι τῇ φύσει ὁμοίους ἢ ἐκ τοῦ πολλάκις τοσαύτας κλίνας πεποιηκέναι, ἢ ὅ τι ἄν τις φαίη τῶν τέχνῃ γινομένων, ἃ τῇ μὲν φύσει ἀνόμοια, τῷ δὲ προαιρετῷ ἔνδον εἴδει ἀμηγέπη ὡμοιωμένα. Καὶ εἰ μὴ αἱ διὰ τὴν παιδοτροφίαν φροντίδες, τῷ θεωρεῖν προσιστάμεναι, ἀγόνους βούλεσθαι εἶναι τοὺς | πάνυ f. 23v

27 *ἐλάττωσιν* A 34 *γεγενηκέναι* A

τοι ἐρῶντας τοῦ θεωρεῖν ἔπειθον, ἅμα δὲ καὶ ὅσα ἄλλα συνέζευκται τῇ παιδοκομίᾳ πρότερόν τε καὶ ὕστερον δυσχερῆ, κἂν ἀθλιώτατος ἦν ὁ τοῦτο φεύγων διὰ τὸ οἴεσθαι ἀρκεῖν ἂν αὐτῷ πρὸς εὐδαιμονίαν τὸ προαγαγεῖν τι τῶν τεχνητῶν, καὶ ἀληθοῦς ἡδονῆς ἀνεπίστροφος, ὅπου γε καὶ ταῦτα ἕνεκά τε τοῦ ἀνθρώπου ἴσμεν γινόμενα καὶ διὰ τὴν χρείαν τιμώμενα, οὐ δι' ἑαυτά. Ὅσῳ τοίνυν βελτίων ἄνθρωπος κλίνης ἢ σκίμποδος, τοσούτῳ βέλτιον ἂν εἴη ἄνθρωπον γεννᾶν ἤ τι ἐκείνων δημιουργεῖν. Καὶ ὅσῳ τιμιώτερον οὗ ἕνεκά τι παρῆκται, τούτου, ἢ αὖ τοῦ παρηγμένου ἐκείνου ἕνεκα αἴτιον εἶναι, τοσούτῳ καὶ ἄνθρωπον γεννᾶν ἢ οἰκίαν ποιεῖν ἀνθρώπῳ πέφυκε τιμιώτερον, εἴ τις ἔμελλεν αὐτὰ τῆς ἀληθοῦς ἀξίας, ἀλλὰ μὴ χρείας τινὸς ὠνεῖσθαί τε καὶ ἀντικαταλλάττεσθαι. Ἀλλ' ἐκεῖνοι μηδέν τι βουλόμενοι προάγειν ἐξ αὑτοῦ τὸν Θεὸν καθ' ὁμοιότητα φύσεως, ἀλλὰ μόνον τὰ ἕτερα ἑαυτοῦ, ἄγονον ἀτεχνῶς αὐτὸν ἀποφαίνουσι καὶ τῷ καλλίστῳ τῆς προαγωγῆς χωλεύοντα μέρει· οἷς δὴ καὶ τὸ εὔδαιμον αὐτοῦ καὶ μακάριον συνεξαμαυροῦσι. Πῶς γὰρ ἂν εἴη μακαριότητος ἐν ἀκρότητι τεταγμένος, εἰ μὴ αὐτάρκη ζωὴν ἔχοι, ἐν αὑτῷ τε καὶ πρὸς αὑτὸν καὶ αὑτοῦ ἕνεκα ἐνεργῶν, ἀλλὰ τῶν πολὺ χειρόνων αὐτοῦ δέοιτο, εἴτε ἔκ τινος χρόνου γεγενημένων, ὡς ὁ ἱερὸς διδάσκει λόγος, εἴτε καὶ ἐκ τοῦ παντὸς αἰῶνος, ὡς ἐκεῖνοι ἐβούλοντο, ὡς ἂν αὐτά τε καὶ περὶ αὐτὰ ἐνεργῶν, καὶ πρὸς ἑαυτὸν ταῦτ' ἐπιστρέφων, οὕτως ἐνεργὸν ἔχοι καὶ τὴν οὐσίαν, καὶ τῶν χειρόνων αὐτοῦ ἠρτημένον εἴη τὸ μακάριον αὐτῷ καὶ ἡ τελειότης; Δεῖ γὰρ τὸν Θεὸν τοιούτων ὄντων τῶν αὐτοῦ δημιουργημάτων πρότερον εἶναι τῇ φύσει, ὡς γοῦν οὗ τι ἴχνος ἐστί, τοῦτο τοῦ ἴχνους πρότερον εἶναι δέον τῇ φύσει· τοῦ γὰρ Θεοῦ ὥσπερ ἴχνη τὰ ὄντα λέγουσιν. Ἐν δὴ αὐτῷ τῷ προτέρῳ ἀνόητόν τε ἔσται τὸ θεῖον καὶ ἀνέραστον, κατ' αὐτούς, ὅλως δ' εἰπεῖν, οὐδ' ὁπωστιοῦν ἐνεργόν. Οὐ γὰρ ἀρκεῖ τὸ ὡς αὐτίκα μάλα ἐσόμενα προγινώσκειν τὰ ὄντα, οὔθ' ἡ τοῦ κόσμου ἰδέα πρὸ τοῦ κόσμου γεγενημένη· καὶ ταύτην γὰρ τοῦ Θεοῦ ὑποδεεστέραν τιθεῖσιν οἱ λέγοντες,
f. 24 ἅτε μηδὲ ταύτης ἐκ τῆς ἀνάγ|κης γεγενημένης τῆς φύσεως. Ἤτοι νῦν μόνος ὁ Θεὸς ἑαυτὸν οὐ νοήσει, νοῦς ὤν, ἢ τῷ τὰ ἄλλα νοεῖν· ὧν τί γένοιτ' ἂν ἀτοπώτερον, εἰ δὴ ταῦτα μὲν ἀνακόλουθα, ὁ δὲ Θεός ὄν ἐστι καὶ ἀγαθόν τε καὶ ἀληθὲς ἐν τῷ ἐσχάτῳ καὶ ἀκραιφνεῖ τῆς τε οὐσίας καὶ ἀγαθότητος καὶ ἀληθείας; Ταῦτα γὰρ καὶ αὐτῶν Ἑλλήνων οἱ δοκιμώτεροι ἠξίωσαν ἀντιστρέφειν. Καὶ ὁ ἱερὸς δὲ λόγος αὐτὸν μὲν εἶναι τὸν Θεὸν τὴν ἀλήθειαν ἀξιοῖ, οὐδένα δὲ ἀγαθόν, εἰ μὴ ἕνα τὸν Θεόν, εἶναι, καὶ αὐτὸν ὑπάρχειν τὰ ὄντα γε καὶ τὸ ὄν, καὶ νοῦν δὲ τὸν ἄριστόν τε καὶ φρονιμώτατον, οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ Ἑλλήνων οἱ αὐτοὶ οὗτοι λέγουσιν.

---

8 ἢ αὐτοῦ τοῦ παρ. A 21 εἴη: ἡ, A

Ἑαυτῷ μὲν ἄρα καὶ οὐδενὸς ἄλλου ἕνεκα ὁ Θεὸς ἂν εἴη, ὂν τυγχάνον τὸ πρῶνον καὶ μάλιστά γε καὶ κυριώτατον. Νοῦς δὲ ὤν, νοήσειεν ἂν δήπου καὶ ἑαυτόν, εἴ γε δεῖ τἀληθὲς μὲν νοεῖν αὐτόν, αὐτὸς δέ ἐστι τοῦτο. Καὶ ἐρασθείη δ' ἂν τἀγαθοῦ· οὐ γὰρ δὴ μόνος ὁ ἀγαθὸς ἔσται μὴ χαίρων τῷ ἀγαθῷ. Ἐρασθήσεται δ' ἑαυτοῦ, εἴ γε δεῖ μὲν αὐτὸν τῷ ἀρίστῳ χαίρειν καὶ ἀπολαύειν αὐτοῦ, αὐτὸς δέ ἐστι τἀγαθόν. Αὐτὸ μὲν δὴ τὸ νοητόν, ᾧ νοεῖ ἑαυτόν, καὶ ἡ νόησις, ὁ θεῖος πέφηνε Λόγος, ὁμοιότης αὐτοῦ καὶ ἰδέα τις σύμφυτος ὢν καὶ ἀλήθειά γε αὐτή, οὐδ' ἐν τῷ Θεῷ μόνον καὶ Θεὸς αὐτός, ἀλλὰ δὴ καὶ πρὸς τὸν Θεόν, ὡς τὰ λόγια βούλεται. Αὐτὸς δέ γε ὁ ἔρως, ᾧ πρὸς ἑαυτὸν ἀντέστραπται ὁ Θεὸς καὶ ἐρᾷ ἑαυτοῦ τἀγαθοῦ ὄντος, τὸ θεῖον πέφηνε Πνεῦμα, ἀγαθὸν ὂν καὶ ἅγιον, καὶ ἀγαθότης αὐτή, καὶ ἁγιότης αὐτή, καὶ ἁγιασμὸς αὐτὸς κατὰ φύσιν. Καὶ οὕτως ἐν ἑαυτῷ τρισσῶς ὑφέστηκεν ὁ Θεός, καὶ τρεῖς ὑποστάσεις εἰσὶν ἐν αὐτῷ, ἐν ἄκρᾳ ἑνότητι φύσεως. Οὐ γὰρ δήπου τὸν θεῖον Λόγον, ὅς γε τῶν θείων νοημάτων ἄβυσσός ἐστι πάντων, δέοι γ' ἂν μὴ ὑφεστῶτα εἶναι Θεόν. Ἢ πῶς ἂν ἦν ἰδέα μὲν ἀληθὴς τοῦ Θεοῦ, ὡς φυσική τις ὁμοιότης αὐτοῦ καὶ εἰκὼν καὶ χαρακτὴρ καὶ ἀπαύγασμα ἔμφυτον, ἰδέα δ' αὖ, ὡς παράδειγμά τι ὑπερφυὲς τῶν πρὸς τὴν ὁμοιότητα τῆς τοῦ γεννῶντος βουλήσεως καὶ ἑαυτοῦ, Θεοῦ | τῇ φύσει ὄντος, πεποιημένων, εἰ μὴ ὑφεστήκει Θεὸς νοητὸς f. 24v
πρὸς τὸν αὐτὸν μὲν τῇ φύσει Θεόν, νοοῦντα μέντοι γε σχετικῶς, ἀντιτεταγμένος; Ἦν δ' ἂν καὶ χεῖρον μὲν τοῦ θείου νοῦ τὸ σύμφυτον ἐκείνου καὶ ἴσον ὁμοίωμα, μὴ καὶ τῷ ὑφεστάναι ὡμοιωμένον· τῶν δὲ τοῦ Θεοῦ ἔργων πολὺ ἐλάττων ἡ ἐν τῷ Θεῷ ἰδέα τε καὶ ὁ λόγος, ὑφεστώτων ἐκείνων, αὐτὴ μὴ ὑφεστηκυῖα, καίτοι πᾶσιν ἀπειράκις ἀπείρως ὑπερκειμένη. Ἀλλὰ δὴ καὶ τοῦ ἐν ἡμῖν λόγου τί ἂν εἶχε πλέον ὁ θεῖος, τό γε εἰς τὴν φύσιν ἧκον τοῦ λόγου, φημὶ δὴ τὸ ἐν τῷ νῷ συνειλῆφθαι ὡς εἶδός τι τῷ τε νοητῷ πως καὶ τῷ νοοῦντι ὡμοιωμένον; Οὐ γὰρ ὑπόστασις χωρὶς ὁ ἐν ἡμῖν πέφυκε λόγος, ἀλλ' ἐν ὑποστάσει μᾶλλόν ἐστι τῇ τοῦ νοῦ, ὑπαρκτικῶς ἐκείνου διακρινόμενος· οὐ γὰρ ἁπλῶς ἀλλ' ᾗ νοητός ἐστι. Τὸν δὲ θεῖον ἄρα Λόγον ἐχρῆν τῇ μὲν ταυτότητι τῆς θεότητος διὰ τὴν ἁπλότητα τῆς θείας φύσεως κεκοσμῆσθαι, τῇ δὲ τῆς ὑποστάσεως ἰδιότητι τοῦ νενοηκότος ἄξιον εἶναι, καὶ ὡς ἐκεῖνος νοῶν ἐστιν ἀληθῶς, οὕτως αὐτὸν κυρίως εἶναι νοούμενον. Ὁ δ' αὐτός ἐστι καὶ περὶ τοῦ θείου Πνεύματος λόγος, εἴ τις βούλοιτο τὰ πρότερον εἰρημένα καὶ αὐτῷ ἐφαρμόζειν κατὰ τὰ περὶ αὐτοῦ παραδεδομένα, τὴν ἐν τοῖς προσώποις σῴζων διαφοράν. Ἅμα δὲ καὶ τὸ μὴ δεῖν ἐπὶ πλείους ἐκτείνεσθαι τὰς θείας ὑποστάσεις δῆλόν ἐστι τοῖς εὐλόγως τε ἅμα καὶ εὐσεβῶς σκοπουμένοις. Οὐδὲν γὰρ ὅ τι τῶν περὶ Θεοῦ λεγομένων οὐκ ἂν εἰς τὰς ὑποστάσεις ταύτας ἀνενεχθείη καλῶς καὶ

---

27 χωριστὴ M 29 ἀλλ' ἢ M

τὰς προόδους αὐτῶν, εἴτ' ἀγαθότης εἴη γε τοῦτο, εἴτε σοφία, εἴτ' ἰσχύς, εἴθ' ὅ τι ἂν φαίη τις τῶν τοιούτων. Ὥστε μὴ δεῖν ἂν ὑπ' ἀνάγκης οὐδεμιᾶς πλειόνων εἶναι τὴν ἐνδοτέραν καὶ φυσικὴν γονιμότητα, ἢ ὅσας ἴσμεν τε καὶ πιστεύομεν ὑποστάσεις, προακτικήν· μήτε καὶ τὸν θεῖον Λόγον γεννᾶν δεῖν ἢ προβάλλειν, νοοῦντά γε καὶ αὐτόν, καὶ ἐρῶντα αὐτοῦ τε καὶ τοῦ γεγεννηκότος καὶ τοῦ συμφυοῦς Πνεύματος· ἢ τὸ Πνεῦμα προβάλλειν τε καὶ γεννᾶν νοήσεως εἵνεκα καὶ ἀγάπης, ἃ δεῖ καὶ τῷδε προσεῖναι. Νοεῖ f. 25 γὰρ τούτοιν ἑκάτερον καὶ ἐρᾷ | ᾗ προϊόν ἐστιν ἐκ τοῦ Θεοῦ, καὶ οὑτωσὶ προϊόν, ἀλλ' οὐχ ὡς ὁ Θεὸς καὶ Πατήρ, οὗ προεληλύθατον ἄμφω, καὶ ᾗ λαμβάνον ἐστὶ καὶ μετ' ἄλλου λαμβάνον, οὐχ ὡσαύτως γε τὸ αὐτό, ἀλλ' οὐχ ᾗ δυνάμενον ἑτέρῳ γε κοινωνεῖν, ὃ ταὐτὸν ἂν εἴη τῷ κοινωνεῖν ἐν τοῖς θείοις τῷ Πατρὶ προσὸν ἐξ ἀνάγκης. Τῷ γὰρ προῆχθαι καὶ τρόπον οὐ τὸν αὐτόν, εἰ καὶ συμφυῶς, τῇ μὲν τοῦ προηχότος αὐτά, τῇ δ' ἀλλήλων, διακρίνεσθον μόνῳ. Καὶ τοίνυν τούτου μόνου φυλαττομένου, τὴν ἐν τοῖς ἄλλοις δεῖ κοινωνίαν καὶ σκοπεῖν καὶ τιθέναι· φυλάττοιτο δ' ἄν, ἀγόνου καὶ τῆς νοήσεως καὶ τῆς ἀγάπης προσόντων, ὡς Θεῷ μὲν νοητῷ καὶ γεννητῷ γε, τῷ Λόγῳ, Θεῷ δὲ ἐρωμένῳ καὶ προβαλλομένῳ, τῷ Πνεύματι· ὡς εἶναι μὲν τὴν τούτων ἀρχὴν νοοῦντα αὐτὸν καὶ ἐρῶντα αὐτόν, ὃ ταὐτόν ἐστι τῷ μόνον εἶναι καὶ νοοῦντα καὶ ἐρῶντα γονίμως (τὸ γὰρ κυρίως ἴσον ἐκεῖ τῷ ἅπαξ δύνασθαι πάντες ἠξίωσαν)· τοῖν δὲ νόησιν μὲν αὐτὴν εἶναι καὶ νοητὸν αὐτὸ θάτερον, τὸν τοῦ Θεοῦ δήπου Λόγον, ἔρωτα δ' αὐτὸν καὶ ἐραστὸν αὐτὸ τὸ Πνεῦμα εἶναι τὸ ἅγιον· ὃ ταὐτὸν ἂν εἴη τῷ νοεῖν ἀγόνως γε καὶ ἐρᾶν. Καὶ ὥσπερ ὁ Θεὸς καὶ Πατὴρ νοεῖταί γε ὑπ' ἀμφοῖν καὶ ἐρᾶται ὁμοίως, ἀλλ' οὐ προάγεται ὑπ' ἀμφοῖν, οὕτω καὶ ταῦτα νοεῖν μὲν καὶ ἐρᾶν ἀλλήλων καὶ τοῦ Πατρός, μηδὲ τὸν Πατέρα ἀντιπροάγειν, μήθ' ὑπ' ἀλλήλων προάγεσθαι· τῆς δὲ θείας φύσεως ἐν ἅπασιν οὔσης τῆς νοουμένης τε καὶ ἀγαπωμένης, αὐτῆς τε καὶ τοῦ νοεῖν ἢ ἐρᾶν ἑνὸς ὄντοιν ἐκεῖ πράγματος, εἰ καὶ τρόπον ἕτερον, ἀληθείᾳ καὶ πράγματι καὶ μὴ κατ' ἐπίνοιαν μόνην, ὡς ἐλήρουν τινές, ἐστὸν διενηνοχότε, ἕνα τῇ φύσει νοῦν καὶ Θεὸν ἕνα τὰς τρεῖς ὑποστάσεις εἶναί τε καὶ τοῖς εὖ φρονοῦσι πιστεύεσθαι, τοῦ τὴν νόησιν ἐκεῖ καὶ τὸν ἔρωτα τῷ γονίμῳ τε καὶ ἀγόνῳ διενηνοχέναι τό τε μόνως αἴτιον καὶ τὰ μόνως αἰτιατὰ συνιστῶντος μόνον, ὧν ταῖς ἀληθέσιν ἀναφοραῖς τε καὶ ἰδιότησιν ἐξ ἀνάγκης τὰς τρεῖς ὑποστάσεις ἕπεσθαι δεῖ.

Ἀξιόπιστος δ' ὑπὲρ ἡμᾶς καὶ τὸν ἡμέτερον λόγον ὁ τοῦ Θεοῦ Λόγος αὐτός, ἑαυτῷ τε καὶ τῷ θείῳ Πνεύματι μαρτυρῶν, ὡς ἐκ Θεοῦ προηγ- f. 25v μένοις τε καθ' ὑπόστασιν καὶ ἐν αὐτῷ κατὰ φύσιν | οὐδὲν ἧττον οὖσι καὶ ἐν ἀλλήλοις. Δήλη δὲ καὶ ἡ ἱερὰ τῶν Ἰουδαίων θεολογία τὴν ἐς ὕστερον ἀναλάμπειν μέλλουσαν περὶ τῶν θείων ἀλήθειαν προδιατυποῦσα καὶ προανακηρύττουσα ἐν τῷ τῷ μὲν Λόγῳ Κυρίου τὴν τῶν ὄντων σύμπηξίν τε

καὶ σύστασιν ἀφορίζειν, τῷ δὲ τοῦ στόματος αὐτοῦ Πνεύματι μεταφορικῶς τὴν συντήρησιν αὐτῶν καὶ τὴν ἐν τῷ εἶναι διαμονήν· καὶ τῷ μὲν τὸ εἶναι, τῷ δὲ τὸ εὖ ἔχειν ἐπιγράφειν τῶν ὄντων, ὅσον γε εἰς τὴν προσωπικὴν αὐτῶν ἐστιν ἰδιότητα (ᾗ γὰρ Θεός ἐστιν εἷς, ἔργα αὐτοῦ εἰσι πάντα, ὅσα τό τε εἶναι καὶ τὸ εὖ εἶναι τῶν ὄντων συνείληφε)· καὶ τὸν μὲν Λόγον τῆς τῶν ὄντων ἀληθείας τιθέναι ποιητικόν, ἐφόσον ἐξομοιωτικός ἐστιν αὐτῶν πρὸς τὴν ἰδέαν τῆς θείας βουλήσεως, τὸ δὲ Πνεῦμα ἐπιστρεπτικὸν αὐτῶν πρὸς τἀγαθόν, οὗ δεῖ ἕκαστα οἰκείως τῇ σφῶν φύσει ἐρᾶν τε καὶ ἐπεκτείνεσθαι κατὰ φύσιν. Ἄμφω δὲ τῆς θείας ἂν εἴη καὶ μεγίστης δυνάμεως, ὡς ἄνευ Θεοῦ οὔτ' εἶναι, οὔτ' ἀληθὲς εἶναι, οὔτε πρὸς τὸν Θεὸν ἐπεστράφθαι δυναμένου του τῶν ὄντων καὶ ὁτουοῦν.

Ἀλλὰ δὴ καὶ τῶν τὰ Ἑλλήνων τετιμηκότων ἔνιοι τἀγαθόν τε καὶ νοῦν καὶ ψυχὴν τὰς ἀρχικὰς ὑποστάσεις εἰρηκότες εἶναι, καὶ τρεῖς αὐτὰς συνεκτικὰς τῶν ὄντων αἰτίας, καὶ τριπλῆν δὲ θεῶν σύνταξιν, τί γε ἄλλο ἢ τῇ παρ' ἡμῶν πρεσβευομένῃ Τριάδι συμφθέγγονται, τῷ τρόπῳ διενηνοχότες τῆς κατὰ Χριστὸν ἀληθείας, ὡς ἄρα γε καὶ εἰκὸς ἦν; Ἔδει γὰρ τὴν μὲν ἀκρίβειαν τοῦ οὐρανίου δόγματος δι' αὐτῆς ἀνακαλυφθῆναι τῆς ἀληθείας· τὰς δὲ μαρτυρίας αὐτῇ, διὰ τὴν τῶν ἀνθρώπων ἀσθένειαν καὶ φιλονεικίαν, τοῦτο μὲν παρὰ τῆς ἀτελεστέρας καὶ εἰσαγωγικῆς, ὡς ἂν φαῖμεν, θεολογίας, τοῦτο δὲ καὶ παρὰ τῆς ἀλλοτρίας πάντῃ καὶ νόθου θεοποιΐας παρίστασθαι, εἴ τις ἀκριβῶς προσέχειν ἐθέλοι, ἅμα καὶ δῶρόν τι ἐκ Θεοῦ τοῦτο προσειληφώς. Ἐῶ δ' ὅσα, τὴν Τριάδα ἐξαίροντες, Ἑλλήνων παῖδες καλοῦσιν εὐβουλίαν καὶ φρόνησιν καὶ εὐσέβειαν καὶ ἁρμονίαν γε καὶ ὁμόνοιαν καὶ ἀρετὴν καὶ τελείωσιν καὶ πάντα δὴ τὰ τῶν ὀνομάτων σεμνότατα, ὡς ἔν τε ἀριθμοῖς καὶ μεγέθεσι καὶ τῇ τοῦ παντὸς τοῦδε φύσει διατείνουσαν θαυμασίως μετὰ πολλῆς τῆς ἰσχύος τε καὶ τοῦ κάλλους· οὐκ ἂν οὕτω γε πάντα διειληφυῖαν, εἰ μὴ τῇ πάντων αἰτίᾳ σύμφυτος οὖσα, ὡς πρέπει | f. 26 δήπου τῷ ἐσχάτῳ τῶν νῶν τε καὶ νοητῶν, ἐκεῖθεν καὶ τὰ αὐτῆς ἔργα ἀναλόγῳ τινὶ ὁμοιότητι ἐκόσμει συγκαθιεῖσα, ἵνα δὴ ὡς τοῦ εἶναι τὰ τῇδε μετέχει ἐκ τοῦ Θεοῦ, οὕτω καὶ ἁρμονίας γε καὶ τελειότητος καὶ καλοῦ παντὸς διὰ τὴν ἐν αὐτοῖς εἰκόνα τῆς ὑπερφυοῦς Τριάδος ἀπολελαυκότα, ἄριστά τε ἔχοι καὶ ὁμοιότατα τῷ πεποιηκότι, ὡς ἐγχωρεῖ.

Καὶ τῇ μὲν κατὰ Χριστὸν θεολογίᾳ τοιαῦτα· τῇ δὲ τῶν Ἑλλήνων, ἐρεῖς, οὐδὲν ὑγιές, οὐδὲν σεμνόν, ἄνθρωποι, πρόσεστι. Τῷ μὲν γὰρ τῶν θεοτήτων πλήθει καὶ τῶν θεῶν εἰς οὐδὲν ἐχρήσαντο δέον, τῷ μὲν δοκεῖν ὑπερκαθίσαντες τὸν ἕνα Θεόν, ἔργῳ δὲ μερίτας αὐτῷ καὶ κοινωνοὺς τοσούτους ἀνταναστήσαντες τῆς τε δυνάμεως συμπάσης καὶ τῆς ἀρχῆς, καὶ τῷ

---

11 *τοῦ τῶν* A 32 *ἔχει* A

τὴν σεμνοτάτην προσηγορίαν εἰς βαθμοὺς τοσούτους κατενεγκεῖν τῷ πρώτῳ τοὺς μετ' ἐκεῖνον πάντας συναδικήσαντες καὶ ἐς τὴν φύσιν αὐτὴν ἐξυβρίσαντες, ἣν τῇ προσηγορίᾳ ταύτῃ τιμῶσι. Πῶς γὰρ θεοὶ οἱ πεπερασμένην ἔχοντες δύναμιν, ἄλλου μετ' ἄλλον τεταγμένου τῇ φύσει μέχρι καὶ τοῦ ἐσχάτου, ὃν τελευταία τις θεότης ἐκόσμησε, καὶ ἄλλο ἄλλου ἐγκεχειρισμένου πρὸς τὴν τοῦ παντὸς τοῦδε σύστασιν ἔργον κατὰ τὴν ἀναλογίαν τῆς φύσεως, ὡς μὴ τῷ μείζονι μόνον, ἀλλὰ καὶ ἀλλήλοις ὑπουργεῖν τοὺς θεοὺς αὐτοῖς; Καὶ εἰ μὴ μιᾷ δυνάμει ποικίλως ἐπὶ πάντα ἐκτεινομένῃ παρήγαγεν ὁ Θεός, εἷς μὲν ὤν, ἀναφοραῖς δέ τισιν ἀναγκαίαις καὶ οὐδὲν εἰς τὴν κατ' οὐσίαν ἑνότητα ζημιούσαις ἐν αὐτῷ διακεκριμένος, ἀλλὰ πολλὰς δυνάμεις πρὸς ἕκαστα διανενεμημένας ζητοῦντες, ταύτας δὴ καὶ θεοὺς ὀνομάζειν προαχθησόμεθα, μηδ' ὀνομάζειν μόνον, ἀλλὰ καὶ σέβειν, ἅτε φύσεις τινὰς παρὰ τὸν Θεὸν ὑφεστώσας, καὶ τὸ ἐκείνου ἔργον ποιούσας, καὶ κυβερνώσας τόδε τὸ πᾶν, πῶς τοὺς θεοὺς τούτους διάφορα δυναμένους καὶ μείζω τε καὶ ἐλάττω, μιᾷ δυνάμει ποικίλως ἐπὶ πάντας ἐκτεινομένῃ παρήγαγεν; Ὁμοίως γὰρ ἂν προαγοίμεθα καὶ θεοὺς ἑτέρους ζητεῖν τῶν τοῖς Ἕλλησι γνωριμωτέρων προτέρους τε καὶ αἰτίους, καὶ πρὸ ἐκείνων ἄλλους τῷ αὐτῷ λόγῳ, καὶ τοῦτο ἐπ' ἄπειρον, συγχωρούσης ἡμῖν τῆς f. 26v ἀπείρου κατὰ τὴν φύσιν ὑπεροχῆς τοῦ Θεοῦ | πρὸς τὰ τούτου ἔργα πρὸ τῶν ληφθέντων ἀεὶ λαμβάνειν ἑτέρους διὰ τὸ μὴ δεῖν, φασίν, ἀμέσως ποτὲ τὸν Θεὸν ἐπὶ τὴν δημιουργίαν ἀφικνεῖσθαι τῶν ὑποδεεστέρων, εἰ μὴ διά τινος βελτίονος φύσεως, καὶ οὕτως ἀπείρους ἀνάγκη σφίσι γίνεσθαι τοὺς θεούς, οὓς ἀδικοῦσιν ἀριθμῷ τινι περιγράφοντες. Καίτοι καὶ εὐλογώτερον ἂν ἦν ἀπείρους τούτους τιθέναι τοῖς ἅπαξ τὴν θείαν φύσιν εἰς πλείους καταμερίσασιν, ὡς ἂν αὐτῇ πανταχόθεν προσήκοι τὸ ἄπειρον, εἰ μή τινος ἀσθενείας ἔνδειξιν φαῖεν εἶναι τὸ πλῆθος. Οὕτω δὲ κἂν ἑαυτοῖς πολεμοῖεν, ὡς ἡμῖν δήπου πρότερον εἴρηται. Οὐ γὰρ ἔδει πλείους τιθέναι θεούς, ἀσθένειαν τῇ θείᾳ φύσει προσάπτοντας. Ὥστ' ἀμφοτέρωθεν αὐτοὺς ἁμαρτάνειν, ἢ ἐν ἀριθμῷ τινι θέντας οὓς ἐχρῆν ἀπείρους εἶναι καὶ πλήθει, ἢ ἀσθενεῖς ἀποφαίνοντας, ὡς ἀπείρῳ τινὶ διαφορᾷ τῆς θείας ἰσχύος τε καὶ ἀξίας ἀπορραπίζοντας τῶν θεῶν τοὺς ὑποδεεστέρους· οὐδὲν γὰρ ἂν εἴη καὶ τὸ Ἀπόλλωνος ἀξίωμα, μὴ ὅτι γε τὸ Ἑρμοῦ καὶ τῶν ὑπ' αὐτοῦ ἔτι, τοσούτων πρὸ αὐτῶν θεῶν ὄντων ὑψηλοτέρων, δι' ὧν ἐπ' αὐτοὺς ἡ θεότης βαθμῷ τινι κατελήλυθεν. Τὸ δ' αὐτῶν εἵνεκα τῶν θεῶν καὶ τὰ ὑπ' αὐτῶν κινούμενα σώματα θεοποιεῖν πῶς οὐκ ἀνόσιον; Ταῦτα γὰρ μεγέθους μὲν εἵνεκα καὶ ἰσχύος καὶ κάλλους καὶ διαρκείας δέοι γ' ἂν καὶ πάνυ θαυμάζειν. Δεῖ μέντοι γε τὸ ἐπ' αὐτοῖς θαῦμα πέμπειν εὐθὺς ἐπὶ τὸν δημιουργόν, ὥσπερ οἰκοδομήματος καλλίστου νοῦν ἔχοντας θεατάς, οὕτω καὶ ἡμᾶς, αὐτὰ μὲν ἀγαμένους, ᾗ εἰσιν ἔργα Θεοῦ τοιαῦτα, πρὸ δ' αὐτῶν τὴν τέχνην καὶ τὸν τεχνίτην ἐκπληττομένους καὶ αἰδουμένους

καὶ σέβοντας. Ὡς οὖν οὐδ' οἰκίαν τινὰ ἄνθρωπον νοῦν ἔχων ἄν τις εἴποι, ὅτι ἀνθρώπου ἔργον ἄριστά γε εἰργασμένου ἐστίν, εἰ οὕτως καὶ τύχοι ἔχουσα, οὕτως οὐδὲ τὸν ἥλιον καὶ τὴν σελήνην θεοὺς προσαγορεύειν ἔδει καὶ προσκυνεῖν, ἐνορῶντας ὅτι Θεοῦ εἰσιν ἔργα, αὐτά τε ἐφ' ἑαυτῶν οὕτω καλά, | καὶ τῷ παντὶ τῷδε κόσμος, καὶ τοῖς ὑποδεεστέροις πᾶσιν f. 27 ὠφέλιμα. Ἢ ἐπὶ πάντα γ' ἂν ἔδει τὸ τοιοῦτο σέβας ἐκτείνειν, ἅ τι θαύματος ἄξιον ἔχουσι καὶ ἃ θεόθεν εἰσίν. Οὐδὲν δέ ἐστιν ἔργον Θεοῦ, κἂν τὸ σμικρότατον ᾖ, ὃ μὴ θαυμάσειεν ἄν τις ἐκτόπως. Καὶ πολὺ μεῖζόν ἐστιν ἐν τοῖς ἐλαχίστοις τὸ θαῦμα, τοῦ Θεοῦ σφίσιν, ἀντὶ τῶν ἐκ τοῦ μεγέθους ἐλαττωμάτων, σοφίαν τινὰ καὶ μεθόδους ξένας ἐγκατοικίσαντος εἰς ἔνδειξιν τῆς δυνάμεως.

Διὸ καὶ τοὺς πολλοὺς ἡ τῶν σοφωτέρων σφήλασα περιεργία, ἣν ἐκεῖνοι περὶ τὰ μείζω τῶν ἐν τῷ κόσμῳ φαινομένων ἔπαθον τεθηπότες αὐτά, καὶ ταῦτα δὴ προήγαγε θεοποιεῖν τε καὶ σέβειν· εὐλόγως μὲν οὐδετέρων πεποιηκότων, τῶν δὲ πολλῶν εὐλογώτερον, ὅτι γε, δέον δόξαν τοῖς ἡγεμόσιν αὐτῶν τὸ θεῖον σέβας ἐπὶ τὰ ἔργα τοῦ Θεοῦ καταφέρειν, τῆς τοιαύτης αὐτοὶ τιμῆς οὐδενὶ τῶν ἔργων ἐφθόνησαν, ἅτε πᾶσιν ἐξαιρέτου τινὸς τῆς τοῦ Θεοῦ σοφίας ἐμφαινομένης, καὶ πρὸς μεῖζον θαῦμα δυναμένων ἐνάγειν τῶν δοκούντων ἠλαττῶσθαι ποσότητι, καὶ μηδενὸς αὐτῶν ὄντος ᾧ μὴ τὸ αἰτιῶδές τε ὁπηοῦν ἔνεστι καὶ ὠφέλιμον. Τί δὲ ἡ πατουμένη Δημήτηρ, καὶ ὁ σβεννύμενος Ἥφαιστος, καὶ ὁ πικρὸς καὶ φθαρτικὸς Ποσειδῶν; Τί δὲ τὸ ἄρρεν ἐν τοῖς θεοῖς καὶ θῆλυ; Τί δὲ τὸ τοὺς μὲν ἐφεστάναι τοῖς ἀγαθοῖς, τοὺς δὲ τοῖς χείροσι τῶν ἔν τε τῇ φύσει καὶ ὑπ' αὐτῶν ἀνθρώπων γενομένων; Καὶ ἀνθρώπους δέ τινας ἀποθεοῦσι, καὶ ἄλλους αὖθις καταστερίζουσι, καὶ οὐδὲν ὅ τι οὐ πλάττουσι τῶν ἀτόπων, ὥσπερ ἐξεπίτηδες τὴν τελειότητα καὶ ἁπλότητα καὶ τὸ ἀνενδεὲς τοῦ Θεοῦ καὶ τὴν ἀπειρίαν καὶ τὴν ἀπάθειαν καὶ τὸ παντοδύναμον καὶ τὴν πρόνοιαν ἐξελαύνειν βουλόμενοι. Δι' ὧν εἰς τοιαῦτα κατασπῶσιν αἴσχη καὶ πάθη, πολὺ ἀπᾴδοντα τῆς βελτίστης καὶ σεμνοτάτης προσηγορίας τε καὶ τοῦ πράγματος. Καίτοι χωριστὰς μὲν οὐσίας τιθέναι τινὰς εὔλογόν ἐστι πάνυ, ἀλλ' οὐχὶ καὶ τῶν ὄντων δημι|ουργοὺς οὐδενὶ τρόπῳ, οὔτε συμμεριζομένας τὴν τοῦ παντὸς ἀρχὴν τῷ Θεῷ, ἀρκεῖν ἡγουμένους τῆς πρώτης αἰτίας τὴν δύναμιν δι' ἀπειρίαν πρὸς πάντα ἐκτεινομένην τὰς τῶν ὄντων f. 27v φύσεις παράγειν. Καὶ διακονεῖσθαι μέντοι τὰς χωριστὰς οὐσίας ἐκείνας τῇ τοῦ Θεοῦ περὶ ἡμᾶς προνοίᾳ πιστεύομεν, ἀλλ' οὐχ οἷον Ἕλληνες ἔπλαττον· καὶ δαίμονας αὖ εἶναί τινας βλαπτικοὺς ὑπὸ φθόνου καὶ ἐπιχαιρεκακίας, πλάνης καὶ μυρίων δεινῶν ἀνθρώποις προξένους, ὅσοι μάλιστα δι' ἀναγωγίαν εὐχείρωτοί εἰσι ταῖς ἐξ ἐκείνων ἐπιβουλαῖς, οὐ τοιούτους τὴν ἀρχὴν καὶ γεγονότας ὑπὸ Θεοῦ, ἀλλ' ὑπὸ τόλμης καὶ αὐθαδίας καὶ

39 *αὐθαδείας* A

χείρονι προαιρέσει ἐπὶ τὰ τοιαῦτα ἀποκλίναντας καὶ ὑπὸ Θεοῦ ἐγκαταλειφθέντας ἴσμεν τε καὶ ἀποστρεφόμεθα οὕτως ἔχοντας, καὶ ταῖς τῶν ἀγαθῶν τοῦ Θεοῦ διακόνων ἐπιστασίαις ἀπαθεῖς διατηρούμεθα ὑπ' αὐτῶν· θεότητος δέ τι αὐτοῖς μετεῖναι πῶς ἂν φαῖμεν, οἱ μηδὲ τοῖς ἀγαθοῖς τοῦτο διδόντες; Καὶ μακαρίους μέν τινας ἐξ ἀνθρώπων γίνεσθαι τῶν ἀναγκαίων ἐστίν, ἀλλὰ μακαρίους ἀνθρώπους. Καὶ δι' ἄλλων μὲν ἄλλα κυβερνᾶσθαι τῶν ὄντων, τό γε εἰς τὴν ἐκπλήρωσιν ἧκον τῆς ἐκ Θεοῦ προνοίας καὶ κυβερνήσεως, ἀληθές ἐστιν. Ἔδει γάρ τι καὶ αὐτοῖς τοῖς κυβερνωμένοις εἶναι καλὸν ἐν τῷ λυσιτελές τι καὶ τούτων ἕκαστον εἶναι· οὕτω γὰρ ἂν καὶ ἡ τοῦ μόνου κυβερνήτου τῶν ὄντων ἐξουσία λαμπρότερον διαφαίνοιτο, πολλῶν τε διακονουμένων αὐτῇ καὶ πάντων εὐτάκτως, ᾗ ἄλλο ἄλλου ἤρτηται θαυμασίως, ὥσπερ ἐν τῇ τάξει τῆς φύσεως, οὕτω δὴ καὶ τῆς λειτουργίας· ὅσον δ' εἰς τὸν τῆς κυβερνήσεως ἥκει λόγον, ἀμέσως πάντα ἐκ Θεοῦ κυβερνᾶσθαι πιστεύομεν ὑπὸ τῆς θείας σοφίας τε καὶ δυνάμεως· ἐφαρμόττουσι γὰρ ἐν τῷ λόγῳ τῆς ἀπειρίας μέχρι καὶ τῶν ἐσχάτων ἐκτεινομένῳ. Οὐδὲ γὰρ οἷόν τ' ἦν δι' αὑτοῦ μὲν κατασκευάσαι τὸν κόσμον, μὴ διοικεῖν δὲ τοῦτον δι' αὑτοῦ τὸν Θεὸν μηδ' ἐξ αὑτοῦ τὸν τῆς τάξεως λογισμὸν ἐπιτεθεῖσθαί τε τὴν ἀρχὴν τοῖς ὑπ' αὐτοῦ γεγονόσι καὶ νῦν ἐπιτίθεσθαι, εἰ μὴ δι' ἔνδειαν ἰσχύος ἢ λόγου· ὧν ἄρα καὶ τῶν τοιούτων οὐδὲν ἁρμόττει
f. 28 Θεῷ· οὔτε λόγον ἂν | ἔχοι δυνάμενον καὶ εἰδότα καταφρονεῖν, ἐλαττοῦσθαί τι τῇ τῶν μερικῶν τούτων καὶ ταπεινῶν προνοίᾳ νομίζοντα. Εἰ γὰρ μηδ' ἐν αὐτοῖς ἐνεργῶν ἔσται τι χείρων, ἐνεργεῖ δὲ δήπου πάντα ἐν πᾶσιν, ἅτ' ἐξ αὐτοῦ πᾶσιν ἐπιρρεούσης οἰκείως τῆς τοῦ δύνασθαι πρὸς τὸ πράττειν προσαγωγῆς, σχολῇ γε τὴν ἀξίαν αὐτοῦ λυμανεῖται τὸ τῆς ἐν σφίσιν εὐταξίας φροντίζειν, ὅπερ οὐχ ἧττόν γε τοῦ προτέρου τὴν ὑπερκειμένην ἂν δεῖξαι δύναμιν.

Ταυτά τε τοίνυν εἴποις ἂν πρὸς αὐτούς, ἀνδρῶν ἄριστε, καὶ ἄλλα πολὺ μὲν τούτων βελτίω, τῷ δὲ σκοπῷ παραπλήσια, δεικνὺς ὁπόσον τι τὸ διάφορον τῆς Ἑλληνικῆς δεισιδαιμονίας καὶ τῆς ἡμετέρας θεολογίας· καὶ πρὸς τούτοις, ὡς οὐδὲ δεῖ τῆς Ἐκκλησίας ἄγνοιάν τινα καταγινώσκειν αὐτούς, εἰ τὸ Ἑλληνικὸν ἀξίωμα μὴ προσήκατο. Ἄνευ γὰρ τοῦ μείζονι ἀξιώματι πειθομένην αὐτὴν δεῖν ἂν τούτου τε καὶ παντὸς ἄλλου καταφρονεῖν, πολλὰ πολλάκις ἐν τοῖς κατὰ τῶν αἱρετικῶν ἀγῶσιν ἐξεῦρεν, οἷς οὐκ ἀνάγκη διά γε ταύτην τὴν πρότασιν ἢ τὸν Υἱὸν τοῦ Θεοῦ ἑτέρας οὐσίας παρὰ τὸν Πατέρα τιθέναι, ἢ τὸ Πνεῦμα τὸ ἅγιον· πάντες γὰρ οἱ ἐξ Ἀρείου, τὰ Ἑλλήνων δήπου νενοσηκότες, τῇ ἐκείνων ταύτῃ προτάσει ἀρχῇ τινι τοῦ κατὰ τῶν θείων ὑποστάσεων ἐκέχρηντο ψεύδους· εὑροῦσα δέ, καὶ πᾶσιν

3 *ἀπ' αὐτῶν* M 4 *δὲ τὸ* A 14 *ὑπὸ* om A 15 *ἐκτεινομένων* A
18 *ἐπιτίθεσθαι*: *ἔτι τίθεσθαι* A

ἔδειξε φανερῶς, καὶ ψῆφον τοιαύτην ἤνεγκε. Καὶ Θεὸς ἄνωθεν ἐμαρτύρει τῇ ψήφῳ, πολλὰ ἐκφαίνων σημεῖα τοῦ θεοστυγεῖς γεγονέναι τοὺς ἀντὶ τοῦ τῆς Ἐκκλησίας ἀξιώματος τῷ Ἑλληνικῷ φιλονείκως ἰσχυριζομένους καὶ μὴ ἀφισταμένους αὐτοῦ μετὰ τὴν τῆς Ἐκκλησίας ἐν τοῖς βελτίοσί τε καὶ ἀκριβεστέροις ὁμολογίαν. Τὸ μὲν γὰρ δι' αὐτὸ ὂν διαφέρειν μέν που τοῦ δι' ἐκεῖνό γε ὄντος, ἀλλ' οὐ δήπου καὶ φύσει διαφέρειν ἀνάγκη. Ἢ γὰρ ἂν καὶ τὸ ἔκ τινος ὂν ἅπαν διενηνόχει τοῦ ἐξ οὗ ἐστι φύσει. Ἔστι δέ τι καὶ δι' ἕτερον, φύσει ταὐτὸν τῷ δι' ὅ ἐστιν. Ὁ γὰρ Πέτρος διὰ τὸν Ζεβεδαῖον μὲν ἔστι, φύσει δὲ οὐ διενηνόχατον. Εἰ δ' ὁ Ζεβεδαῖος δι' ἕτερον ἔστι καὶ αὐτός, πρός γε τὸν λόγον οὐ διαφέρει· οὐ γὰρ ᾗ | δι' ἕτερον f. 28v
ἔστιν ὁ Ζεβεδαῖος, ταύτῃ γε ἐξ αὐτοῦ Πέτρος ἔστιν· ἅμα τε γὰρ ἂν ἦν Ζεβεδαῖος ἐκ τοῦ αὐτοῦ πατρός, καὶ Πέτρος ἐκ Ζεβεδαίου. Ἀλλ' ὑποτεθέντος καὶ μὴ παρ' ἄλλου εἶναι τὸν Ζεβεδαῖον, εἰ προάγοι Πέτρον ὡς νῦν τῇ αὐτοῦ φύσει, τὸν αὐτὸν ἂν τῇ αὐτοῦ φύσει προενέγκαι τοῦτον. Οὐκ ἀδύνατος δ' ἡ ὑπόθεσις· ἡ γὰρ ἱερὰ διδασκαλία πρῶτόν τινα ἄνθρωπον γεγονέναι βούλεται. Εἰ δὲ κἀκεῖνος διὰ τὸν Θεόν, οὐκ ἐνταῦθα δεῖ τοῦτό γε σκοπεῖν· οὐ γὰρ ὁμοειδὴς ἡ αἰτία. Ἐπὶ δὲ τοῦ Θεοῦ καὶ παντάπασιν ἀληθής ἐστι, δι' οὐδὲν ἕτερον ὄντος, ἀλλὰ πάνυ δι' ἑαυτόν. Εἰ γοῦν οὐδέν τι κωλύει ἄτομόν τι ἐξ ἑτέρου γεγενημένον καὶ αὐτὸ ἄλλο προαγαγεῖν κατὰ τὸ τῆς φύσεως εἶδος, τί κωλύει τὸν Θεὸν καὶ ἡμᾶς οἴεσθαι ἄτομόν τι προαγαγεῖν ἐξ ἑαυτοῦ τῷ εἴδει τῆς φύσεως; Εἰ γὰρ μηδὲ τὸν Ζεβεδαῖον ἂν ἐκώλυσεν, εἴπερ οἷόν τ' ἦν αὐτὸν πρῶτον ἄνθρωπον γεγονέναι, τὸν Πέτρον προαγαγεῖν τοῦτ' αὐτὸ τὸ ἐκ μηδενὸς γεγενῆσθαι, ἕως τοιοῦτός γε ἦν καὶ τοιαῦτα ἠδύνατο, πῶς ἂν τὸ ἐκ μηδενὸς εἶναι κωλύσειε τὸν Θεὸν προάγειν τι ἐξ ἑαυτοῦ, ἕως ἂν ᾖ παντοδύναμος καὶ φύσει τε καὶ βουλήσει τελεώτατός τε καὶ ἄριστος; Εἴη μὲν οὖν καὶ τοῦτο τοῦ πάντα δύνασθαι τὸν Θεόν, τὸ δύνασθαι γεννῆσαι ἑαυτῷ ἴσον Υἱόν· καὶ ἀδυναμίας ἂν ἦν αὖ τὸ μὴ δύνασθαι.

Οὕτως οὖν οὔτ' ἀνάγκη τὸ δι' ἕτερον ὂν ἅπαν τοῦ δι' ὅ ἐστι φύσει διακεκρῖσθαι, οὐ μᾶλλον ἢ ἀνάγκη μηδέν τι εἶναι ὁπωσοῦν ἐκ τοῦ μηδαμόθεν ὄντος μηδ' ὁπωσοῦν, οὔτ' ἀνάγκη τὸν Υἱὸν τοῦ Θεοῦ ἕτερον εἶναι τοῦ γεγεννηκότος τῇ φύσει, ᾗ δὴ ἐβούλοντο οἱ περὶ τὸν Ἄρειον, καὶ εἰ μὴ τοιοῦτος εἴη, μηδ' ἂν αὐτὸν εἶναι ὅλως ἐκ τοῦ Θεοῦ, ὡς τὸ Ἑλληνικὸν καὶ ἐκείνων ἀπαιτεῖν ἐδόκει ἀξίωμα. Ὅλως δέ, εἰ μὲν τὸ ἐκ μηδενός, ἀλλ' ἀγέννητόν τε καὶ ἀναίτιον ὄν, αὐτὸ μόνον ἔδει εἶναι, καὶ ὡς αὐτὸ μὴ ἔστιν ἔκ τινος οὐδενὶ τρόπῳ, οὐδ' ἄλλο τι ἐξ αὐτοῦ τρόπῳ μηδενὶ προεληλυθέναι, οὐδ' οἱ ψευδώνυμοι ἐκεῖνοι θεοὶ καὶ Θεοῦ | παῖδες, οὐδ' ἄλλο f. 29
τι τῶν ὄντων ἐγίνετ' ἂν ἐξ αὐτοῦ. Εἰ δὲ τοῦτό γε οὐκ ἀνάγκη· πολλὰ γὰρ ὑπὸ τοῦ ἀγεννήτου παρήχθη καὶ γέγονεν ὁπωσοῦν· τίς ἡ ἀνάγκη τὸ ἀγέννητον μὴ καὶ συνωνύμως γεννᾶν; Οὐ γὰρ δὴ ἀνόμοια μὲν δυνήσεται,

ὅμοια δὲ γεννᾶν μὴ δυνήσεται, ὃ δὴ ἔφθη ἐληλεγμένον, ὡς ἂν τινος τῶν γονίμων νόθα μὲν οἵου τε ὄντος γεννᾶν, γνήσια δὲ προάγειν οὐ δυναμένου. Οὐδὲ κατὰ μὲν τὴν βούλησιν ἀρχή τινων, κατὰ δὲ τὴν φύσιν οὐδενὸς ἔσται· οὐ γὰρ τῶν αὐτῶν γε κατ' ἄμφω, οἷς τὸ τί ἐστιν οὐ ταὐτόν· οὐδὲ τῇ μὲν ἔσται γόνιμος, τῇ δὲ ἄγονος. Οὐδ' εἰ τὴν μὲν φύσιν τὴν αὐτὴν ἔχοι τῇ ἐνεργείᾳ καθάπαξ, ἔσται τινῶν αἴτιος καὶ κατὰ τὴν φύσιν τῶν αὐτῶν, ἃ καὶ τῇ ἐνεργείᾳ προάγοι, καὶ οὐδὲν ἐντεῦθεν ἕψεται τῷ καὶ φύσει εἶναι προαγωγόν. Εἰ δὲ διενηνέχθαι πως ἀληθῶς ἐν αὐτῷ φύσις καὶ οὐσία δεικνύοιτο, τῇ ἐνεργείᾳ προάξει καὶ οὐ τῇ φύσει. Οὐδὲ τὰ μὲν ἄλλα ποιήσει νοῶν, ἑαυτὸν δὲ οὐ νοήσει ποιεῖν τὰ ἄλλα δυνάμενον, ἵνα μὴ τὸ συλληφθὲν ἐν αὐτῷ νόημα καὶ Λόγος ᾖ τοῦ Θεοῦ καὶ εἰκὼν αὐτοῦ ἔμφυτος. Οὐδὲ τὰ μὲν ἕτερα τοῦ Θεοῦ, διὰ τὸ αὐτὸν ἐκ μηδενὸς εἶναι, ἐξ αὐτοῦ ἔσται, ὁ δὲ Λόγος αὐτοῦ διὰ τοῦτ' αὐτὸ αὖ οὐκ ἔσται, καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Ἕως δ' ἂν οὐδεμία ἀνάγκη ᾖ τὸν Θεὸν ἄγονον εἶναι διὰ τὸ εἶναι ἀγέννητον, ἢ μηδέν τι εἶναι δι' αὐτὸν διὰ τὸ αὐτὸν εἶναι δι' ἑαυτόν, οὐδεμίαν ἰσχὺν ἡ τῶν Ἑλλήνων καὶ τῶν Ἀρειανῶν ἕξει πρότασις· ἀλλ' ἔσται μὲν τὸ δι' αὐτὸ ὂν καὶ τὸ δι' ἕτερον οὐ ταὐτόν πως· διοίσουσι δὲ οὐ τῇ αὐτῇ γε πάντως διαφορᾷ, ἀλλ' ἀριθμῷ μέν, ἐάν τι διὰ τὴν αὐτοῦ φύσιν ᾖ ἐξ αὐτοῦ, καὶ εἴδει δὲ καὶ οὐσίᾳ, ἐὰν διὰ τὴν βούλησιν. Καὶ δυνάμεων διαφορὰ οὐχ ἡ μεγίστη ὁμοίως ἐν ἅπασιν, ἀλλ' ἂν μέν τι ἀγέννητον ὂν καὶ φύσει δὴ καὶ βουλήσει ἄριστόν γε καὶ τελεώτατον δημιουργήσῃ θελῆσαν, ὡς τὰ τέχνῃ ποιοῦντα, καὶ δυνάμει δὴ μάλιστά γε διοίσει τῶν ὑπ' αὐτοῦ γεγονότων τῇ φυσικῇ· μᾶλλον δ' αὐτὰ ἐκείνου διοίσουσι· φυσικῇ δὲ προόδῳ ἐξ αὐτοῦ τινων προεληλυθότων, τῷ ἀγεννήτῳ
f. 29v μόνον καὶ τῷ ἐξ ἀγεννήτου εἶναι καὶ ὅλως | τῇ κατ' ἀριθμὸν διαφορᾷ χωρισθήσονται, τῆς φύσεως τῆς αὐτῆς οὔσης καθάπαξ, καὶ οὕτω μᾶλλον τῆς αὐτῆς ἢ ἐν Ζεβεδαίῳ καὶ Πέτρῳ, ὅσῳ ἐκεῖ μὲν διὰ τὴν ὕλην ἀριθμῷ διενηνόχει τὸ εἶδος τῆς φύσεως ἐν ἀμφοῖν· ἐνταῦθα δὲ διὰ τὴν ἀϋλίαν τε καὶ τὴν ἀπειρίαν, ἀριθμῷ μία ἡ φύσις, ταὐτὸν δ' εἰπεῖν ἡ θεότης, ἔν τε τῷ δι' αὐτὸ ὄντι καὶ τοῖς ἐξ αὐτοῦ τῇδε προηγμένοις πέφυκεν οὖσα. Καὶ εἴ γε δεῖ μᾶλλον ἐξακριβοῦν, ἁπλῶς μὲν ἔστι δι' αὐτὸν ὁ Θεός, καὶ δι' οὐδὲν ἄλλο· οὐ δὴ ἡ κτίσις μεγίστῃ δυνάμεων ἐκρίθη διαφορᾷ, ὡς αὐτοί φασι, δι' ἄλλο γεγονυῖά τε καὶ οὖσα, δηλονότι διὰ Θεόν. Ὁ δὲ θεῖος Λόγος οὐ δι' ἄλλο ἐστίν, οὔτε τὸ Πνεῦμα, οὔτε τῷ δι' ἄλλο καὶ τῷ δι' αὐτὸ αὐτά τε καὶ ὁ προαγαγὼν Θεὸς διενήνοχε· πῶς γὰρ τὰ τὴν αὐτὴν ἀριθμῷ φύσιν ἔχοντα; ἀλλὰ τῷ δι' αὐτὸν μᾶλλον καὶ τῷ δι' ἕτερον, ὡς ἂν ἡ διαφορὰ πρὸς τὰς ὑποστάσεις αὐτάς, μὴ πρὸς τὴν φύσιν ἀνιέναι τῳ δόξειεν. Ἐν οἷς δέ ἐστιν ἡ κατὰ φύσιν ἑνότης οὕτω λαμπρῶς, τὸ δι' αὐτὸν

---

22 *ποιοῦντα*: *ποιούμενα* M

τε εἶναι καὶ δι' ἐκεῖνον οὐδεμίαν διαφορὰν εἰσάγει δυνάμεων· ἢ διαφορὰν μὲν καὶ μεγάλην δήπου ποιεῖ, ὅτι ταύτῃ μόνον διενηνοχότα, τὴν διάκρισιν ἀνεπίμικτον σῴζουσι, καὶ ὥσπερ οὐκ ἂν αὐτά γε τὴν τοῦ δι' αὐτὸν ὄντος ἰδιότητα μεταλάβοι, οὕτως οὐδ' ἂν αὐτό ποτε πρὸς τὴν τῶν αἰτιατῶν μετασταίη· διαφορὰν δὲ ἀτομικὴν καὶ προσωπικὴν ἢ τὴν τῆς φύσεως οὐκ ἂν δύναιτο βλάπτειν ἑνότητα, οὔτε τοῦ Πατρὸς τὰ ἐξ αὐτοῦ τε καὶ ἐν αὐτῷ χείρω ποιεῖν ἔν τινι τῶν ἐς τὴν οὐσίαν ἡκόντων καὶ ἀσθενέστερα. Εἰ γὰρ τῷ μὴ δύνασθαι εἰς τὰς ἀλλήλων ἰδιότητας μετελθεῖν καὶ φύσει διοίσουσιν, οὐδὲν μᾶλλον αὐτὰ τοῦ Πατρὸς ἐλάττω ἔσται τῇ φύσει, ὅτι μὴ καὶ Πατήρ ἐστιν ἑκάτερον, καίτοι γε ὅπερ ὁ Πατὴρ ὄντα, ἢ καὶ ὁ Πατὴρ αὐτὸ τοῦτο πείσεται τῷ μηδ' αὐτὸς δύνασθαι εἶναι αὐτά, καίτοι γε ὅπερ αὐτὰ ὤν· ἀλλ' οὔτε ἧττόν τι ἕξει δυνάμεως ἐν αὐτοῖς οὐδὲν διὰ τὴν τοιαύτην ἀμεταβλησίαν, οὔτε βέλτιον ἔσται ἐς οὐσίαν, ἢ χεῖρον· δυνάμεως γὰρ μᾶλλον ἢ ἀσθενείας τὸ τοιοῦτον ἂν εἴη. Καὶ ταύτῃ γε ὁμοιότερα ἂν εἶεν τῷ προηχότι κατά τε φύσιν καὶ δύναμιν ἢ εἰ οἷόν τε ἦν αὐτὰ καὶ ἐς τὴν αὐτοῦ ἰδιότητα μεταπίπτειν, ἐκείνου ἀμεταπτώτως | f. 30 πρὸς τὰς αὐτῶν ἔχοντος. Οὐ γὰρ δὴ ἐκεῖνος μὲν ἐπὶ τὸ χεῖρον, αὐτὰ δὲ ἐπὶ τὸ ἄμεινον ἤχθη ἄν, εἴπερ τὸ προῆχθαι ἐκ τοῦ Θεοῦ συμφυῶς τοῦ προαγαγεῖν Θεὸν οὐδέν τι ἧττον εἰς δόξαν, καὶ εἴπερ ἀνάγκη ἐν τῇ θεότητι τὸ μέν τι εἶναι προάγον, τὰ δὲ προϊόντα, καὶ τὸν ἕνα Θεὸν ἐν ἑαυτῷ καὶ πρὸς ἑαυτὸν τοιάνδε τινὰ διάκρισιν ἴσχειν, οἵαν εἰπόντες ἔφθημεν.

Ταῦτα μὲν οὖν ποτε πρὸς τοὺς ἀπορήσοντας καὶ πλείω τούτων ἐρεῖς. Νῦν δ' ἡ τῶν Ἑλλήνων θεολογία, τοιαύτη γε οὖσα, καλῶς καὶ σοὶ πέπαισται· οὗ μάλιστα ἢ τοῦ πρὸς Λατίνους ἀγῶνος νῦν τε οἶδά σοι χάριν καὶ ἀεὶ εἴσομαι. Καὶ Λατῖνοι δ' αὐτοὶ χάριν ἄν σοι δικαίως εἰδεῖεν, τηλικαῦτα ὠφελεῖσθαι τοῖς καλοῖς ἐκείνοις λόγοις δυνάμενοι, καὶ τοῦ ἀξιώματος ἐκείνου καταφρονοῖεν, δι' ὃ καὶ κινδυνεύσαι τις ἂν Ἀρειανικήν τινα καὶ Ἑλληνικὴν θεολογίαν ἐκ μακρᾶς ἀποδημίας κομίζειν, ἀφελῶς αὐτῷ τεθειμένος. Εἰ δὲ μήτ' ὠφελοῖντο καὶ καταμέμφοιντο, αὐτοὶ τοῦ τῇ προτάσει συμβαίνοντος ἀπολαυόντων, ἐφ' ᾗ νῦν τὴν τοῦ δόγματος ἰσχὺν ἱδρῦσαι πᾶσαν πειρᾶσθαι σφᾶς ἔφησθα· πολλοῖς γὰρ ἄλλοις αὐτὸ πρότερον ὑπερείδειν ἠγωνισμένοι, πολὺ ἀφαυροτέροις αὐτοῦ γε τοῦ ζητουμένου, ἐπείπερ, ὡς ἔοικεν, εὗρον ἐκεῖνα περιφανῶς ἐξεληλεγμένα, σοφόν τι τοῦτο ᾤοντο νῦν ἐξευρηκέναι, ᾧ καὶ ἤλπισαν ἡμᾶς ἀπαγαγεῖν σοφισάμενοι. Ἢ πῶς οὐκ ἐκεῖνα πείσονται ἅπαντα, τοῦτο δὴ ὡς ἀναγκαῖον τιθέντες; Οὐ γὰρ μᾶλλον δεῖ προβολέα καὶ τὸν Υἱὸν αὐτοὺς λέγειν τοῦ Πνεύματος διὰ τὸ δεῖν ἂν αὐτὸν τῷ Πατρὶ κοινωνεῖν τῆς τοῦ προβάλλειν δυνάμεως,

---

15 *καὶ εἰς* M 27 *κινδυνεύσῃ* A 31 *ἱδρῦσαν* A 32 *ἠγωνισμένους* A
34 *ὡς* avant *ᾤοντο* add A

ἢ μηδὲ τὸν Πατέρα προβολέα εἶναι ἢ γεννήτορα, μήτε Υἱὸν εἶναί τινα τοῦ Θεοῦ καὶ Πνεῦμα ἅγιον διὰ τὸ δεῖν ἂν αὐτά, εἴγε εἶεν, καὶ ἐλάττω εἶναι τῇ φύσει, οὔτε γεννητικὰ ἄλλων ὄντα, οὔτε προβλητικά· ἢ ἕως ἂν ἐκείνῳ μὲν τιθεῖντο τῷ ἀξιώματι, πιστεύωσι δ' εἰς Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα ἅγιον, καταδεεστέρας θεότητος τὸν Υἱὸν καὶ τὸ Πνεῦμα ὁμολογεῖν ὡς δυνάμει δὴ ἐλαττούμενα τοῦ Πατρός, ἐκείνου ἀγεννήτου ὄντος, αὐτὰ f. 30v προηγμένα τε ὑπ' αὐτοῦ | καὶ μηδὲν ἄλλο προάγοντα. Καὶ ἡμεῖς μὲν ᾠόμεθα πρότερον αὐτοὺς μόνῳ τῷ Πνεύματι ἐνοχλεῖν, δυνάμεώς τινος εἴργοντας τῆς προβλητικῆς, ἣν κοινὴν Πατρί τε καὶ Υἱῷ γεγονέναι μόνοις νομοθετοῦσιν. Οἳ δέ σοι καὶ ἀπ' αὐτοῦ τοῦ θείου Λόγου τὸ δεινὸν ἀρχόμενοι πράττειν ἐδείχθησαν, εἰ δὲ καὶ μὴ αὐτοί, ἀλλ' ὅ γε λόγος αὐτῶν ταῦτα ποιῶν. Ὃ δὲ αὐτῶν ἐστι θαυμαστότερον, ὅτι συναισθόμενοι ἐπὶ τοιαῦτα σφῶν αὐτῶν φερομένων, πολύ τι δὴ ἑτέρᾳ χείρονι μηχανῇ καὶ πρὸς τὸ αὐτὸ φερούσῃ θᾶττον δεινὸν πειρῶνται ἀποφυγεῖν ἄν· τὰς γὰρ πατρικὰς δυνάμεις, ὡς αὐτοί φασι, καὶ ἀμφοῖν τοῖς ἐξ αὐτοῦ προϊοῦσιν ἄμφω τιθέντες εἶναι κοινάς, εἶτ' ἐν μὲν τῷ Υἱῷ τὴν ἑτέραν ἄνευ ἐνεργείας μένειν ἐῶσιν, ἐν δὲ τῷ Πνεύματι μηδετέραν ἀξιοῦσιν ἐνεργὸν γίνεσθαι· τὸ μὲν καὶ ἐνεργοὺς ταύτας τιθέναι εἰδότες ὡς πολὺ ἀπάξει χριστιανισμοῦ τοὺς τιθέντας ἄν, ὃ κἄν, εἰ ἐλπὶς ἦν λήσειν πράττοντας, ἔπραξαν, οὐκ αὐτοί γε οὕτω καὶ πιστεύοντες, ἀλλὰ πλείστου καὶ τοῦ παντὸς ποιούμενοι τὸ πρὸς τὴν αὐτῶν ἑλεῖν ἡμᾶς ἕνωσιν· ἀλλὰ τούτου οὐδὲν ἂν ἦν ἐναργέστερον ἀτόπημα· τὸ δ' ἐκ δυνάμεων διδομένων τε καὶ αὖθις ἀφαιρουμένων, ἢ ἐπὶ ὑφέσει μείζονι διδομένων, τὸν Υἱὸν τοῦ Θεοῦ προβολέα τοῦ Πνεύματος ἀνίστασθαι ὑπ' αὐτῶν δυνάμει αὖ ἐπὶ τὸ ἐνεργεῖν διδομένῃ, ὅσῳ οὔτ' εὔλογόν ἐστι καὶ πόρρω τῶν ἱερῶν, ἀγνοήσειν προσδοκῶντες ἡμᾶς, καὶ οὕτω δὴ κελεύουσιν αὐτοῖς ἕψεσθαι· ὥσπερ οἷόν τε ὂν ἢ εἶναί τι ἐν τῷ Θεῷ εἰκῇ, ὃ μηδὲ τῇ φύσει καὶ τοῖς αὐτῆς ἔργοις δοῖεν ἄν, ἢ δύναμίν τινα τελειότητα εἶναι ὁτουοῦν, ἂν μὴ συνῇ ποτε αὐτῇ καὶ ἐνέργειά τις ἡ οἰκεία, ἢ τὸν Θεὸν δύναμίν τινα ἐνεργείας ἔχειν χωρὶς τῶν συνεπομένων τῷ πεφυκέναι αὐτόν, οὐ τῷ βούλεσθαι, ἢ ὅσα ἄλλα τῇ ἀρχῇ τοῦ δόγματος αὐτῶν τῇδε φαῦλα ἀκολουθεῖ. Ταῦτά τε τοίνυν λέλυκας αὐτῶν ἱκανῶς, καὶ λόγῳ τὴν πάτριον ἡμῖν δόξαν ἀπέδειξας· ᾧ μάλιστα ἔγωγε χαίρω τῶν πρὸς Λατίνους λέγεσθαι δυναμένων. Οὐ γὰρ οἷόν τε πάντων ὁμοῦ τῶν χειρόνων αὐτοὺς χαίρειν ἀπηλλαγμένους, ἐφ' ἃ ἡ θέσις f. 31 αὐτῶν ἧδε φέρει· ἀλλ' ἀνάγκη ἑνί τῳ τούτων | ἐνεσχῆσθαι αὐτοὺς τῇ ὁδῷ τοῦ τοιοῦδε λόγου, ὃ προσήκοι γ' ἂν τῷ θεμελίῳ τῆς δόξης, ὃν ἐκ πάντων ἂν ἕλοιντο.

Τάξιν δὲ δεῖν μέν τινα εἶναι ἐν τῇ μακαρίᾳ Τριάδι, δι' ἣν καὶ τὸν

---

10 *νομοθετοῦσιν*: *νοθετοῦσιν* A   18 *ἐνεργοὺς* M   27 *τοῖς αὐτοῖς* A

Υἱὸν προηριθμῆσθαι τοῦ Πνεύματος συγχωρεῖς· πολλὴ γὰρ ἀνάγκη· οἵαν δὲ Λατῖνοι τιθεῖσιν, ἀπαξιοῖς. Τῇ μὲν γὰρ ἐκείνων πολλὰ τὰ ἄδοξα ἕπεσθαι· ὡς δ' ἡμεῖς τὰ θεῖα πρόσωπά φαμεν συντετάχθαι, ᾗ δὴ καὶ ὑπὸ τῶν λογίων συντέτακται, μηδὲν ἀπᾷδον συμβαίνειν· οὐ γὰρ τὸ ἡμέτερον καὶ τῇ παραδόσει τοῦ σωτηρίου βαπτίσματος ἧττον συνᾴδει, ὥσπερ τὰ ἄλλα πάντα ὀρθῶς ἔχει, ἢ τὸ ἐκείνων ἔοικεν αὐτῇ συμφωνεῖν, ἄλλως δὴ ἐξημαρτημένον. Καὶ ὡς μὲν πέμπων τὸ Πνεῦμα τὸ ἅγιον ὁ Υἱὸς καὶ ἀξίωμά τι δι' αὐτὸ ἔχων, οὐκ ἂν πιθανῶς δόξειεν αὐτοῦ προτετάχθαι τοῖς τὰ τοιαῦτα ἐξακριβοῦσιν, εἰ καὶ τὴν σὴν σοφίαν οὐκ οἶδ' ὅπως τοῦτο διέλαθε· λαβὴν γάρ τινα οὐ μικρὰν τοῖς ἐναντίοις ὁ λόγος παρέξει. Ἢ γὰρ τῆς αὐτῆς οὔσης πέμψεώς τε καὶ ἐκπορεύσεως, ὡς αὐτοῖς δοκεῖ, ἕξουσι τὸ προκείμενον· ἢ διαφερουσῶν, ὡς ἡμεῖς γε οἰόμεθα, ἄτοποι αὐτοῖς δόξομεν· ἢ δυνάμει ἀϊδίῳ μέν, ἀλλὰ κοινῇ τῆς Τριάδος, ἢ ἔργῳ τῆς δυνάμεως ταύτης ἐγχρόνῳ ἀΐδιον τάξιν προσώπου θείου πρὸς πρόσωπον θεῖον ἀξιοῦντες κατασκευάζειν. Ἐκεῖθεν μὲν οὖν οὐδαμῶς, ἄλλοις δὲ τρόποις τὴν τῆς τάξεως ἀνάγκην λαμβάνομεν ἡμεῖς τε αὐτοὶ καὶ οἱ πρὸ ἡμῶν πάντες, οἷς οὔτε ταῖς τῆς πίστεως ἀρχαῖς, οὔτε τοῖς διδασκάλοις τῆς Ἐκκλησίας συμβαίνει τι οὐ συνῳδόν, ὥσπερ τῇ παρὰ Λατίνοις ἐμβάθμῳ τοῦ θείου ἐπιπλοκῇ.

Ἀλλὰ περὶ μὲν τούτου ἐς τοσοῦτον· οὐ γὰρ ὁ πρὸς Λατίνους νῦν λόγος ἡμῖν· περὶ ὧν τῆς ἀληθείας ἐνδεέστερον ἀποφαίνονται, προὔργου ἐστίν. Ὡς δὲ πολὺ ῥᾷον τοῖς ἡμετέροις ἢ Λατίνοις αὐτοῖς τοὺς Πατέρας ἀλλήλοις συνῳδοὺς ἀποφαίνειν τῇ γε τοῦ Πνεύματος ὁμωνυμίᾳ καὶ τῷ διττῷ τῶν λεγομένων προόδων αὐτοῦ, καὶ τῇ τῆς προόδου αὖ καὶ τοῦ προϊέναι, οὐδὲν ἂν τούτου ἀληθέστερον γένοιτο, ὅπου γε | καὶ Λατίνοις f. 31ᵛ αὐτοῖς ταῦτα δοκεῖ. Διὸ δὴ καὶ θαυμάζειν αὐτῶν ἄξιον, ὅτι τὰς ἀληθεστάτας τῆς τῶν διδασκάλων συμφωνίας παριέντες μεθόδους, ἐπ' ἄλλας ἀνηκούστους ἐκτρέπονται, μεταπτώσεις τινὰς τῶν προσωπικῶν ἰδιοτήτων καὶ κοινωνίας τῶν ἀκοινωνήτων ἐπινοοῦντες, καὶ τοιαῦτα ἄττα ἐπισυνείροντες, ἃ πόρρω τῶν κοινῶν εἰσι θέσεων. Πολὺ δ' ἂν ῥᾷον ἀντὶ τούτων ἦν, ἐπὶ τὰ καὶ σφίσιν αὐτοῖς ὡμολογημένα τραπομένοις, ἀνεπαχθῶς τῇ διπλῇ ἐκλήψει τῶν ὁμωνυμούντων ἐκείνων διαλλάττειν τε τοὺς Πατέρας καὶ λύειν τὴν ἀμφισβήτησιν· καὶ Αὐγουστίνῳ δὲ καὶ Κυρίλλῳ τοῖς μακαρίοις οὐκ ἂν οὕτω λυπηρῶς τῆς καινοτομίας τὴν αἰτίαν ἐπέγραφον.

Ἐκεῖνοι δὲ λέγουσι μὲν ἐκ Πατρὸς καὶ Υἱοῦ προϊέναι τὸ Πνεῦμα πλειστάκις· ἀλλ' ἅτερος μὲν τὸ μὲν ἐκπορεύεσθαι ἀντὶ τοῦ ὑφεστάναι παρειληφώς, μετὰ πάντων δὴ τῶν ἀπὸ τῆς Ἀσίας Πατέρων (ἐπὶ γὰρ τοῦ Πνεύματος οὐκ ἔσθ' ὅτε οὐχ οὕτω φαίνονται κεχρημένοι τῇδε τῇ λέξει), μυριάκις μὲν ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι λέγει, καὶ ἐκ τοῦ Υἱοῦ δὲ οὐδ' ἅπαξ· τῷ δὲ προϊέναι ποῦ μὲν ἐπὶ τῆς πρὸς τὴν κτίσιν ἀποστολῆς,

ποῦ δ' ἀντὶ τῆς ὑπάρξεως κεχρημένος, ὅμως οὐδαμοῦ φαίνεται προϊέναι λέγων ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα, ἂν μὴ καὶ κτιστός τις ὅρος προσκείμενος ᾖ, ὃ δεῖν φασιν οἱ Πατέρες σημεῖον ἡμᾶς ποιεῖσθαι τοῦ περὶ τῆς πέμψεως λέγειν αὐτούς, αὐτοὶ τῶν ἰδίων ἐξηγηταὶ γινόμενοι λόγων, ὡς ἂν μὴ σοφιζομένοις τισὶν ἐξῇ καὶ ἐπ' αὐτοὺς καταφεύγειν. Καίτοι ἄλλοθι μὲν τῇ ἐν ταῖς Γραφαῖς ὁμωνυμίᾳ χρῶνται Λατῖνοι, καὶ οὐ περιορῶσιν· ἄλλως γὰρ οὐκ ἂν δύναιντο νοεῖν αὐτὰς ὑγιῶς· χρωμένοις δ' ἐνταῦθα καὶ ἡμῖν ἐγκαλοῦσιν, ὡς δὴ σοφιστικὰς τὰς Γραφὰς ἀποφαίνουσι καὶ τοὺς διδασκάλους· ὥσπερ ἀγνοοῦντες ὅτι τὸ μὲν ἐξελεῖν τοῦ λόγου τὰ τοιαῦτα παγχάλεπον ἦν καὶ τοῖς πρώτοις· συμπεραίνουσι δ' ἡμῖν ἀπ' αὐτῶν μέσων, οἷ μὲν ἂν συμπεραίνοιτο αὐτοῖς τε ἀληθεύειν καὶ τοῖς πρῶτον εἰρηκόσι συνᾴδειν συμβαίνει· ψευδῆ δὲ καὶ οἷα τοὺς ἀπὸ ταύτης ἐπ' ἐκείνην μεταf. 32 πηδῶντας σημασίαν καὶ τὴν φύσιν εἰκός, | ἡμῖν μὲν σοφισταῖς εἶναί τε καὶ δοκεῖν τῷ ὄντι περίεστι· κοινωνεῖν δὲ τοῦ ἐγκλήματος οὐκ ἀνάγκη τοὺς ἡγεμόνας τῶν λέξεων, οἷς πειρώμεθα συμφωνεῖν· διώριζον γὰρ ἐκεῖνοι καλῶς ταῖς χρείαις τῶν λόγων ἑκάστοτε οἰκείως, τὰ αὐτὰ οὐχ ὡσαύτως ὀνόματα ἐφαρμόζοντες.

Καὶ Κύριλλος μὲν οὕτως· Αὐγουστῖνος δὲ οὐδὲ δυοῖν λέξεσιν ἐμφαίνειν ἔχει τὸ διττὸν τῶν προόδων γλώττης στενότητι, ἀλλ' ἄν τε τὴν τοῦ Πνεύματος ὕπαρξιν, ἄν τε τὴν ἐνέργειαν καὶ τὴν χάριν σημαίνειν ἄλλοθι βουληθῇ, αὐτὸς μὲν ἑνὶ ῥήματι τῷ προϊέναι ἢ προχωρεῖν καὶ πρὸς ἄμφω τὰς ἐννοίας ἐχρήσατο· τοῖς δ' εὐγνωμόνως ἀκουσομένοις πρὸς τὴν τῶν λόγων χρείαν διαιρεῖν καταλείπει. Οὐδὲ γὰρ αὐτὸς λέγει τά γε τοιαῦτα πόρρω τῶν διπλῶν ἐκείνων ἐμφάσεων, ὧν αἳ μὲν πρὸς τὴν τοῦ Πνεύματος ὕπαρξιν, αἳ δὲ πρὸς τὴν πέμψιν τὸ τῆς προόδου ῥῆμα συνέλκουσι. Καὶ θαυμαστὸν οὐδέν, ὅπου καὶ τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι Κύριλλος ἔφη που, ἀντὶ τοῦ γεννᾶσθαι τὸ ῥῆμα παρειληφώς· ὅθεν εἰ καὶ τοῦ Αὐγουστίνου τὴν λέξιν εἰς τὸ ἐκπορεύεσθαι ἑρμηνεύσει τις ὑπὸ Λατίνων βεβιασμένος, οὐδ' οὕτως ἀνάγκη τὸ Πνεῦμα διὰ τὴν Αὐγουστίνου λέξιν ὑφίστασθαι καὶ ἐξ Υἱοῦ. Πολὺ γὰρ οἰκειότερον ἐπὶ τῆς λοιπῆς προόδου μεταφέρειν τὴν λέξιν, καὶ ἀμφοῖν τῷ Πνεύματι πρεπουσῶν (καὶ ἀϊδίως γὰρ ἐκ τοῦ Πατρὸς πνεῖται καθ' ὑπόστασιν, ἐκ τοῦ Πατρὸς τὸ εἶναι λαμβάνον, καὶ ἐκ Πατρὸς καὶ Υἱοῦ τοῖς πιστοῖς πνεῖται, τουτέστι κατὰ τὰς πνευματικὰς ἐνεργείας δίδοται καὶ μετέχεται), ἢ πρὸς τὴν γέννησιν ἕλκειν, ἧς οὐδαμῶς τῷ Πνεύματι μέτεστιν· ὃ τῷ Κυρίλλῳ γενναίως πάνυ τετόλμηται, ὁλοσχερέστερον εὐσεβῶς ἐκλαμβανομένῳ τὴν λέξιν, ὅτε δὴ καὶ μόνον τὴν ὁμωνυμίαν τοῦ ἐκπορεύεσθαι τῇ τοῦ Πνεύματος ὁμωνυμίᾳ συνῆψεν ἄν τις εὐλόγως ἐν τοῖς περὶ τοῦ Πνεύματος λόγοις, εἰ τὰ τῶν ἐκ τῆς ἑσπέρας Πατέρων οὕτω πρὸς

---

14 *τῷ ὄντι* : *τωόντι* **A**

βίαν ἡρμήνευτο, κανόνι τῷ τοῦ Κυρίλλου χρώμενος τρόπῳ, ὃν ἅπαξ ἐκαινοτόμησεν, ἐπὶ δυοῖν ὑποστάσεων καὶ εἴδει διαφερουσῶν προόδων τῷ ἐκπορεύεσθαι κεχρημένος. | Καίτοι γε ἐπὶ μὲν τῶν ἄλλων ἁπάντων, εἰ τὸ f. 32v προϊέναι ὁμώνυμον οὐδὲν κωλύει καὶ τὸ ἐκπορεύεσθαι τοιοῦτον εἶναι, ἐπὶ δ' ἄρα τῆς ἱερᾶς θεολογίας τῷ μὲν ἐκπορεύεσθαι μόνην τὴν ὕπαρξιν εὑρίσκομεν τοῦ Πνεύματος πάντας δηλοῦντας, τῷ δὲ προϊέναι καταχεχρημένους ἐπὶ ταύτης τε καὶ τῆς πέμψεως, ὧν τῷ τύπῳ καὶ ἡμᾶς ἕπεσθαι δίκαιόν ἐστι.

Τὸ δὲ τὸν μὲν Υἱὸν συναίτιον λέγειν, τὸν δὲ Πατέρα ἀρχοειδῆ αἰτίαν καλεῖν, καλῶς ποιῶν οὐκ ἐπῄνεσας· ἄνευ γὰρ τοῦ τὸ συναίτιον διαιρεῖν, αὐτοὶ δὴ μίαν ἀρχὴν τὰς ὑποστάσεις ἄμφω καλοῦσιν, ὥστε λοιπόν ἐστιν αὐτοὺς ἀντιφάσκειν, εἰ καὶ οἷόν τε ἦν μίαν ἀρχὴν εἶναι τὰ μὴ καθ' ὅ εἰσιν ἕν, ἀλλ' ἢ δύο μᾶλλον, προαγοντ' ἄν, εἴπερ προῆγεν, ποῦ τὴν τοῦ συναιτίου λέξιν εὗρον κειμένην ἐπὶ τῶν θείων; ἀλλ' οὐχὶ μᾶλλον καὶ ταύτην καινοτομοῦσι. Ποῦ τὸ ἀρχοειδῶς εὕρηταί τις λέγων τῶν μακαρίων; Ἀλλ' ἀρχικῶς μᾶλλον ἐκ τοῦ Πατρὸς φαῖεν τὸ Πνεῦμα προϊέναι τινές, ὡς ἂν ἐκφήνωσιν ἐκ τοῦ Υἱοῦ τοῦτο μὴ ἀρχικῶς προϊέναι, ἀλλὰ μᾶλλον πεμπτικῶς τε καὶ μεταδοτικῶς, οἵῳ κἂν ἑαυτοῦ προελθεῖν ῥηθείη γε τρόπῳ, καὶ ἑαυτοῦ δῶρον ὄν, καὶ τῇ τοῦ ἐπιρρήματος τοῦδε προσθήκῃ τὸ κατὰ τὴν λέξιν ἀδιόριστον τοῦ προϊέναι καὶ τῆς προόδου διορίσαντες ἐξιάσωνται. Οὐ γὰρ βραχεῖαν ᾔδεσαν τὴν διαφοράν, ἢ ὡς ἐξ ἀρχῆς τῆς ὑποστάσεως αὐτοῦ τί ποθεν προελθεῖν τῶν θείων προσώπων, τουτέστιν ἐκ τῆς γονίμου καὶ ἀγεννήτου τούτων αἰτίας, ἢ πρὸς τὴν τῆς κτίσεως εὐεργεσίαν ὁρμηθῆναί ποθεν κατὰ τὴν ἐνέργειαν, τουτέστιν ἐκ τῆς ὁμοίου τῶν τριῶν προσώπων θελήσεως· ἢ τὸν Υἱὸν ἦν ἀνάγκη γεννᾶσθαι πεμπόμενον ἐκ τοῦ Πνεύματος· προϊέναι δ' οὕτως ἐκεῖθεν αὐτὸν καὶ ἡ Γραφὴ καὶ πάντες οἱ Πατέρες συμφθέγγονται. Καὶ εὐλόγως. Ἔπεμψε γὰρ εἰς τὴν σάρκα καὶ τὴν ἐν ταύτῃ φανέρωσιν τὸν Υἱὸν τοῦ Θεοῦ οὐχ ὁ Πατὴρ μόνον, ἀλλὰ δὴ καὶ τὸ Πνεῦμα, συνευδοκῆσαν σφίσιν τὴν οἰκονομίαν f. 33 ἐκείνην, | ὡς δὴ ἓν ἔργον αὐτὴν τῆς Τριάδος συμπάσης ἐν τῷ τοῦ Υἱοῦ συγκαταπραξαμένης προσώπῳ. Ὡς δὲ καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀρχὴν μὲν ἔχει τὸν Πατέρα μόνον περιφανῶς, πρὸς δὲ τὴν κτίσιν ἀεὶ καὶ ἐκ τοῦ θείου πέμπεται Λόγου, ὡς οὐχ οἷόν τε καλῶς τε καὶ εὖ ἔχειν αὐτήν ποτε μὴ τῷ θείῳ Πνεύματι κυβερνωμένην· καὶ ποτὲ μὲν ἀμυδρότερον, ἄλλοτε δ' ἦν πληρέστερόν τε καὶ φανερώτερον, οὐ μᾶλλον αὐτὸ πέμποντος τοῦ Υἱοῦ ἢ καὶ ὑφ' αὐτοῦ τε πεμπόμενον, ἅτε κοινὴν τὴν τοῦ Πνεύματος χάριν καὶ τῶν τριῶν προσώπων συναφιέντων· ἧς διδομένης τε καὶ ὑπὸ τῶν ἁγίων λαμβανομένης, καὶ δι' αὐτῆς πρὸς τὴν τοῦ Θεοῦ κοινωνίαν ἀναλαμβανομένων τῶν ἀνθρώπων, ὡς ἔξεστιν, αὐτὸ τὸ Πνεῦμα πέμπεσθαι

12 *προήγοντ'* M 24 *καὶ* avant *τὸν* add A

λέγεται. Τὸ δὲ ἀρχοειδῆ μὲν τὸν Πατέρα λέγειν αἰτίαν τοῦ Πνεύματος, τὸν δὲ Υἱὸν συναίτιον, συμφωνεῖτον μὲν αὐτοῖς, ἀλλ' ἐπί γε τῷ χείρονι· τὰ γὰρ συναίτια πάντα πρὸς τὰ ἀρχοειδῶς ποιοῦντα ὀργανικῶν αἰτίων ἔχουσι τάξιν, καὶ ταῦτα μόνα τῇ τῶν συναιτίων λέξει καλῶς οἱ περὶ τούτων εὖ εἰδότες προσαγορεύουσιν. Διὸ καὶ τῆς Ἀρειανικῆς οὐκ ἀπᾴδειν δόξης εἰδότες τὸ τὸν Υἱὸν συναίτιον τῷ Πατρὶ τῶν κτισμάτων καλεῖν, ἐφείσαντό γε καλεῖν οὕτως οἱ θεολόγοι, εἰ μή πού τις πρὸς ἀνάγκην λόγων τινὰ κατεχρήσατο, ἀλλὰ μᾶλλον αἴτιον ἓν καὶ μίαν ἀρχὴν ἄμφω τε καὶ τὴν Τριάδα ὅλην καλοῦσιν, ὡς, ᾗ εἰσιν ἄμφω τε καὶ πάντα Θεὸς εἷς, ταύτῃ ἀπ' αὐτῶν τῆς κτίσεως γενομένης· μήτε γὰρ οἷόν τε εἶναι ὑπάρχειν τι Πατρὶ καὶ Υἱῷ, ὃ μὴ καὶ τῷ Πνεύματι πρόσεστι, μήτε, εἴ τι μὴ ἐφαρμόττοι τῷ Πνεύματι δι' ὁτιοῦν, τοῦτ' ἂν ἐγχωρεῖν, τῷ Πατρί γε προσόν, καὶ ἐς τὸν Υἱὸν κοινωνικῶς διαβαίνειν.

Πάντα μὲν οὖν ἐκεῖνα σοφῶς τε καὶ ἀληθῶς εἴρηκας, ὡς ἂν μὴ καθ' ἕκαστον ἐπαναλαμβάνων, περιττόν τι δόξαιμι πράττειν. Ὧν δὲ μάλιστα
f. 33v χάριν ἔχω σου τῇ σοφίᾳ μεγίστην, ἐρῶ, τούτων ἕνεκα | καὶ ἐπιστεῖλαί σοι ταῦτα βαλόμενος κατὰ νοῦν. Ἐν τῇ πόλει ταύτῃ δυσί τισι λόγοις τοὺς ἁπλουστέρους ταράττουσι καὶ κλονοῦσιν οἱ τῆς πρὸς Λατίνους μεταθέσεως προϊστάμενοι. Καλῶ δὲ οὕτω καὶ τοὺς λανθάνοντας πάντας· οὗτοι γὰρ καὶ τῶν φανερωτάτων οἱ χείρους εἰσί. Καὶ πρῶτα μὲν οὐδὲν δεινόν φασι Λατίνοις ἡμᾶς ἑνοῦσθαι κατὰ τὴν δόξαν· εἰ γὰρ καὶ ἀσύνηθές τι τὸ σφίσι λεγόμενον, ἀλλ' ἀληθὲς εἶναι δύναται, μηδενὸς ἐντεῦθεν ἀτόπου συμβαίνοντος, καὶ Λατίνους, μηδὲν τοιοῦτον ἕπεσθαι πεπεισμένους, οὕτω χαίρειν ὡς ἀληθευούσῃ τῇ δόξῃ. Καὶ εἴ γε βούλοισθε, φησίν, ἀναστάντες ἐκκηρύξουσι φανερῶς τοὺς τοῖς ἀτόποις ἐκείνοις δόγμασί ποτε τεθειμένους, καὶ καθ' ἑαυτῶν, εἰ τιθέμενοι κρύπτοιντο, τὴν τοιαύτην δήπου φέροντες ψῆφον· καὶ ὡς οὐδενὶ συγχωροῦσι τῶν ἐκ τῆς δόξης ταύτης ὑποπτευομένων δεινῶν, καὶ λόγοις καὶ γράμμασι καὶ πᾶσι τρόποις ἔσονται ἔξαρνοι. Καὶ οἴονται Λατίνους ἱκανόν τι δώσειν ἡμῖν τοῦτο διδόντας· καὶ αὐτοὶ μετ' ἐκείνων ἑνωθήσεσθαι φρονίμως ἐλπίζουσιν, οὕτως ἑνούμενοι· καὶ πολλοῖς, ὅπερ εἶπον, τῶν ἀμαθῶν δοκοῦσί τι λέγειν οἱ πλείους τῶν ταῦτ' ἀξιούντων, οὐδὲν ἐκείνων ὄντες σοφώτεροι. Ἡμεῖς δὲ μετὰ πολλῶν ἄλλων τὰ τοιαῦτα εἰδότων· ἔτι γὰρ ἡ πόλις πεπαιδευμένους τρέφει τινάς· πολλάκις αὐτῶν τὴν πλάνην ἐλέγξαντες, ἔτι δὲ καὶ τὴν κακουργίαν ἐνίων, ἐδόξαμεν ἐπαχθεῖς· καὶ δοκοῦμεν ἔτι φιλονεικίας χάριν κενῆς τὴν μετὰ Λατίνων ἕνωσιν εἴργειν. Καίτοι τί ἂν γένοιτο τούτου σαφέστερόν τε καὶ δικαιότερον, ὅτι τὴν ἐξ ἀρχῆς ὑπόθεσιν αὐτοὺς ἀνατίθεσθαι δεῖ μᾶλλον, ὡς ἔφησθα, καὶ περὶ τῶν ἀτόπων ἐκείνων οὔτ' αὐτοὺς δεήσει πράγματ' ἔχειν ἐξαρνουμένους αὐτά, οὔθ' ἡμᾶς αὐτοῖς ἐγκαλεῖν ὡς ἐκείνοις ἐνεχομένοις. Ἕως δ' ἂν τὴν τῶν ἀτόπων ἀρχὴν ἐκείνων διαφυλάττωσιν ἐν ταῖς γνώμαις τε καὶ τοῖς λόγοις, οὐδ' ἂν

ἐκεῖνα μυριάκις ἀρνήσαιντο, λέγειν τι δόξουσι· καίτοι τὸ μὲν ἐξελεῖν τῆς κοινῆς ὁμολογίας τὴν λέξιν ἐκείνην, τὴν τὰς Ἐκκλησίας | οὕτω ταράξασαν, f. 34 ἢ νοῦν αὐτῇ τὸν ἀληθῆ τε καὶ πᾶσι γνώριμον δεδωκότας ἐν τῇ φωνῇ μόνῃ καταλιπεῖν τὴν διαφοράν, περὶ ἧς οὐδ' ἂν εἷς νοῦν ἔχων ἠμφισβήτει λοιπόν (περὶ δὲ τῶν ἄλλων διαφορῶν ἄλλος ἂν εἴη λόγος), ῥᾷστον ἂν εἴη θελήσασι, καὶ ἅμα τὸ σεμνὸν προσέσται τῷ πράγματι. Τὸ δὲ τοσούτων τῶν ἐντεῦθεν ἑπομένων ἀδόξων ἐξάρνους γίνεσθαι βουλομένους, δοκεῖν μὲν ὡς ἐπὶ τοῖς αἰσχίστοις ἐγκαλουμένους ἀπολογεῖσθαι, κινδυνεύειν δὲ καὶ ἄλλοις τισὶ λανθάνειν ἐνεχομένους (τῷ γὰρ ψεύδει παντὶ πλείω τὰ ἄτοπα ἕπεται· καὶ ὥρισται μὲν ἁπανταχοῦ τἀληθές, τὸ δὲ ψεῦδος πολὺ πλείους ἐκφύει τὰς κεφαλὰς τῶν περὶ τῆς ὕδρας μυθευομένων· καὶ εἰκός ἐστι διὰ τοῦτο καὶ ἄλλο τι συνεζεῦχθαι τῇ θέσει ταύτῃ δεινὸν πρὸς τούτοις δὴ τοῖς μέχρι τοῦ παρόντος ἐξητασμένοις), πολλὴν ἑκατέροις ἔχει δυσχέρειαν.

Εἶτ' οὐδ' ἔξεστιν ἡμῖν περὶ τῶν τῆς Ἐκκλησίας δογμάτων μὴ τῷ τῆς Ἐκκλησίας ἕπεσθαι τύπῳ, ὃς τοσούτων ἐτῶν ἐν τοῖς αὐτῆς προστάταις ἐκράτησεν, εἰ καὶ οἷόν τ' ἦν ἐξαπατηθέντα δι' ἀμαθίαν προσέσθαι τινὰ τὴν ἀρχὴν τοῦ φανερωτάτου ψεύδους, κηρύττοντα, ὅτι τῷ συνεζευγμένῳ ψεύδει μεθ' ἡμῶν φησι πολεμεῖν. Οἱ γὰρ ἐν ταῖς οἰκουμενικαῖς συνόδοις Πατέρες (καὶ μηδεὶς θορυβείσθω τῇ λέξει τε καὶ τῷ παραδείγματι) τοιαῦτ' ἄττα τοὺς ἐν ἑκάσταις αἱρετικοὺς τερατευομένους ἀπεωθοῦντο· ὀλίγαι γὰρ τῶν αἱρέσεων αὐτόθεν ἐπολέμουν τῇ πίστει καὶ τοῖς ταύτης ἄρθροις ἐμάχοντο, ἀλλὰ περιόδῳ τινὶ κατὰ τῆς ἀληθείας αἱ πλείους ὡπλίζοντο, καὶ ἔδει ταύτας μάλιστα εὐλαβεῖσθαι, ὡς ὑπὸ τούτων ἂν τῶν ἁπλουστέρων μᾶλλον βλαφθησομένων. Οὕτως οὖν οἱ μὲν περὶ τὸν Εὐτυχέα πάντων τῶν ἑπομένων σφίσιν ἀτόπων ἐγίνοντο ἔξαρνοι· οὔτε γὰρ πάθος προσάπτειν τῇ θεότητι τοῦ ἡμετέρου Δεσπότου Χριστοῦ, οὔτε κατὰ φαντασίαν ἄνθρωπον αὐτὸν γεγονέναι, οὔτε τι τῶν τοιούτων ὡμολόγουν φρονεῖν, ἀλλὰ τὰς | δύο φύσεις εἰς μίαν ἐν τῷ Χριστῷ συνεληλυθέναι f. 34v νομίζειν ἰσχυρίζοντο μόνον, καὶ λόγους τινὰς εὐπρεπεῖς τισι δοκοῦντας τῆς δόξης ταύτης ἐκόμιζον· ἐκεῖνα δὲ πάντα καὶ τοὺς ἐκείνοις ποτὲ τεθειμένους τῶν δυσσεβεστάτων εἶναι νομίζειν ἐβόων. Οἱ δὲ περὶ τὸν Πύρρον ὁμοίως ἠρνοῦντο μὲν τὴν μίαν φύσιν καὶ τὴν ἐνέργειαν ἐν Χριστῷ, θέλησιν μέντοι μίαν τιθέντες, οὐδὲν ἡγοῦντο λέγειν δεινόν, ἅτε τῆς κατ' ἄνθρωπον θελήσεως τῇ θείᾳ καθαρῶς ὑποτεταγμένης ἐν τῷ ἡμετέρῳ δεσπότῃ· καὶ ἐδόκουν δὴ πολλοῖς προσδεκτέοι ταῦτα τε λέγοντες καὶ βοῶντες μηδενὶ τῶν ἐπαγομένων συγχωρεῖν σφίσιν ἀτόπων. Ἀλλ' οἱ σοφοὶ Πατέρες ἐκεῖνοι τὴν θέσιν μᾶλλον ἐκέλευον ἀπορρίπτειν, καὶ ἀρνεῖσθαι μὲν τὴν μίαν φύσιν

17 ἐξαπατηθέντας A 36 τε om M

τοὺς δεινοτέρους ἐκείνους τῆς οἰκονομίας ἐχθρούς, δύο δὲ τιθέναι θελήσεις τοὺς ὑστέρους ἀντὶ μιᾶς ἐν τῷ τῆς ἀνθρωπίνης σωτηρίας καθηγεμόνι Χριστῷ, εἴγε μέλλοιεν μὴ πόρρω τῶν ἱερῶν ἐξελαύνεσθαι, ὥσπερ δὴ καὶ ἠλαύνοντο τῇ κρίσει τῆς Ἐκκλησίας οὐ πεπεισμένοι.

Καὶ ἡμᾶς οὖν τοῖς Πατράσιν ἐκείνοις ἕπεσθαι χρή, καὶ μὴ καινοτομίαν λύειν καινοτομίᾳ χείρονι βούλεσθαι, μᾶλλον δὲ βεβαιοῦν τὴν ἑτέρων καινοτομίαν ἐν προσχήματι λύσεως, καὶ συγκαινοτομεῖν αὐτοῖς τοὺς τοσοῦτον χρόνον εὐλόγως ὑπὲρ τῶν πατρίων ἀνθεστῶτας αὐτῇ· εἰ μή τις φαίη καὶ τὴν Ἐκκλησίαν πολλάκις ἐξαμαρτεῖν, οὕτω γε κρίνασαν· οὗ τί ἂν εὐσεβέσιν ἀκοαῖς ἀπηχέστερον ἐμπέσοι ῥῆμά ποτε; Οὕτω δὲ καὶ αὐτοὶ Λατῖνοι τὴν ἡμετέραν ἀνάπτυξιν (ἥδ' ἐστί, τὸ μὴ καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι εἴτ' οὖν ὑφίστασθαι) οὐ προσίενται, καίτοι ἡμῶν μὲν τὴν Ἀρειανὴν καὶ Νεστοριανὴν αἵρεσιν ἔν τε τῇ καθ' ἑκάστην ὁμολογίᾳ καὶ πᾶσι τρόποις ἐξαρνουμένων, ἃς ἡμῖν ἐπισείουσιν. Αὐτῆς δὲ οὔσης ἀσφαλεστάτης, ὅτι τε γνωριμωτάτη καὶ ὅτι δέει μὲν τῶν ἀπειλῶν τῆς τρίτης συνόδου, αἰδοῖ δὲ τῶν μετ' ἐκείνην τεττάρων, αἳ τοὺς τῆς τρίτης f. 35 | νόμους ᾐδέσθησαν, οὐ καὶ τῷ συμβόλῳ γε αὐτὴν ἐνεθέμεθα. Πολλῷ δ' ἂν δικαιότερον συμφωνοῖεν ἡμῖν αὐτοὶ τὴν ἀπόφασιν διὰ τὰς ἡμετέρας ἀρνήσεις, ἤ, ὡς ἡμῖν ἐξαρκοῦν ἐκεῖνα σφᾶς ἐξαρνεῖσθαι, πρὸς τὴν κατάφασιν βιάζοιντ' ἂν τὴν αὐτῶν, ταῖς τε ἀρχαῖς οὐ πάνυ συνῳδὸν ταῖς κοιναῖς καὶ οὗπερ οὐκ ἦν θέμις προστεθειμένην. Ἡμεῖς τε τῇ Λατίνων ἂν τεθειμένοι δόξῃ ἁπλῶς, χεῖρον ἂν αὐτῶν ἁμαρτάνοιμεν. Αὐτοὶ μὲν γὰρ καὶ οἰόμενοι μηδὲν τῶν φαύλων ταύτῃ ἀκολουθεῖν, οὐκ ἂν ἑκόντες εἶεν οἵους ἡ θέσις ποιεῖ. Ἡμεῖς δέ, ὡς ἂν βεβαίως ἡγοίμεθα ἕν τι ἐκ πλειόνων συνεζεῦχθαι ταύτῃ κακόν, δεῖ ὡς πᾶσιν ἑκόντας ἐνεχομένους εὐθύνεσθαι, εἴ γε ὡς μηδὲν διαφέρον ὀλιγωροῖμεν. Ὅθεν οὐδὲ νεμεσητέα μᾶλλον ἡμῖν ἂν εἴη Λατίνοις ἢ διδακτέα μέν, εἰ δύναιντο πείθειν· εἰ δ' οὐχ οἷοί τέ ἐσμεν ἐπαΐειν, ἅμα καὶ πλείστοις σοφωτέροις μὲν ἡμῶν, πιθανωτέροις δὲ ἡμῖν Λατίνων, ἑπόμενοι, μετὰ τῆς ἐπὶ τῷ οὐκ εὐπαρακολουθήτῳ συγγνώμης, καὶ τῆς εὐλαβοῦς ἀσφαλείας ἐπαινετέα, ἕως μὴ βούλωνται τῇ μόνῃ δικαιοτάτῃ ὁδῷ τὸ ἐκκλησιαστικὸν ἐξιᾶσθαι τουτὶ τραῦμα, ὡς αὐτοί γε ὄντες οἱ πλήξαντες. Πειρῶνται μὲν οὖν καὶ τὸν τῶν ἀτόπων ἐκείνων πρὸς τὴν ἐξαρχῆς ὑπόθεσιν σύνδεσμον λύειν· ἀλλὰ τοσοῦτον λύειν ἀπέχουσιν, ὥστε δι' αὐτά γε φορτικώτεροι τοῖς εἰδόσι δοκοῦσιν, ἀδοξότερα πολλῷ τιθέντες τῶν ἐξ ἀρχῆς, ἵνα μόνον δυνηθῶσι δόξαι τι λέγειν, καὶ ἵνα δόξωσι λύειν οὐ λύοντες. Ἡμεῖς δὲ σὺν τοῖς Πατράσιν ἡμῶν τὴν τῶν ἀτόπων ἐκείνων ἀκολουθίαν ἐκ τῶν τῆς πίστεως ὑποθέσεων δείκνυμεν οὕτως, ὡς ἄν τι δόξειε τῶν ἁπάντων ἑτέρῳ τῳ κατὰ τοὺς τῶν λόγων νόμους ἀκολουθεῖν. Διὸ δὴ καὶ τῶν ἑπομένων οὐχ ἧττον τὴν ἐξαρχῆς ὑπόθεσιν διωθούμεθα, ἴσον δύνασθαι ταύτῃ τε κἀκείνοις

χαίρειν τε καὶ ἀπηχθῆσθαι αὖ πρός τε τὸ μετὰ τῆς ἀληθείας καὶ τοὐναντίον εἶναι νομίζοντες.

Ταῦτα τοίνυν | καὶ πολλάκις εἰπόντες τοῖς ποτε ἡμετέροις καὶ ἐν f. 35v βιβλίοις συνταξάμενοι πολυστίχοις, οὐκ ἔρωτι τοῦ πολλὰ συγγράφειν βιβλία, ζήλῳ δὲ ὠφελείας καὶ πόθῳ τῆς αὐτῶν, ὡς ᾠήθημεν, ὠφελείας, οὐκέτι σωφρονεῖν τοὺς ἄνδρας ἐπείσαμεν. Ἀλλ᾽ ἴσως νῦν αὐτοὺς ἡ σὴ βιάσεται ψῆφος, εἰ μὴ μάτην ταύτην ἀπῄτουν. Τὸ δὲ μὴ ἂν ποθ᾽ ἡμῖν εὐσέβημα ἑνί γε τούτῳ ἀντισωθῆναι τῷ ἀσεβήματι, ὅτι τὸν Θεόν, οἷς ποιοῦμεν, τῆς ἡμῶν αὐτῶν ἀρχῆς ἐξελαύνομεν, οἷς μὲν αἱ ἄλλαι σῴζονται πόλεις, τούτων ἁπάντων ὀλιγωροῦντες, καὶ οἷς τὸ θεῖον εἴωθε χαίρειν τῶν ἀνθρωπίνων ἐπιτηδευμάτων, ἀσκοῦντες τούτων οὐδέν, ἀλλ᾽ ἁγιστείαις μόναις καὶ θυώμασι καὶ φωνῶν ἐπάρσει καὶ σκιαῖς τισι κούφαις θεοσεβείας ἀντὶ τῶν ἔργων, καὶ ὑποκρίσεσι τῶν καλῶν οἰόμενοι τὸν Θεὸν θεραπεύειν· εἶτα καὶ προδοσίᾳ δόξης τινός, ἣν περὶ τοῦ θείου καὶ παρ᾽ αὐτοῦ γε τοῦ θείου λαβόντες ἔχομεν, ὠνούμενοι τὴν ἐκ τῶν ἐχθρῶν σωτηρίαν ἐκ τῶν μήτε δυναμένων μήτε βουλομένων ἴσως ταύτην παρέχειν, ἀλλὰ γράμμασι μόνοις ἀντὶ τῶν ἔργων καὶ κεναῖς ἐλπίσι ψυχαγωγούντων ἡμῶν τὸ μικρόψυχον· εἰ δὲ ἠδύναντο βοηθεῖν καὶ προῃρημένοι, πολὺ μεῖζον δυνησομένης ἐκείνων εἰς τοὐναντίον, φημὶ δὴ τὴν ἡμετέραν, ὅπερ ἀπείη, φθορὰν τῆς ὀλιγωρίας τοῦ θείου· ἧς οὐδὲν ἂν γένοιτο τεκμήριον μεῖζον τοῦ μὴ μόνον τοῖς ἄλλοις, ἀλλὰ καὶ δογμάτων τῶν ἐκεῖθεν ἡμῖν ἡκόντων ἀρνήσει παροξύνειν ἑτοίμους εἶναι. Τοῦτο καὶ Θεοῦ φωνήν τις εἰπών, οὐκ ἂν ἁμάρτοι τῆς ἀληθείας· Θεοῦ γὰρ ὄντως τὰ τοιαῦτα φωναί, προφητῶν ἱεραῖς βίβλοις ἐγκείμενα καὶ εἰς ἔργον ἐνηνεγμένα πολλάκις, οἷα δὴ καὶ προείρητο. Καὶ τὸ εἰκὸς δὲ σφίσι συμμαρτυρεῖ, καὶ τὸ ἀνθρώπινων δίκαιον, τύπος ὂν γε τοῦ θείου, καὶ αἱ κοινῇ τοῖς ἔχουσι νοῦν ἐνοῦσαι δόξαι περὶ τῶν θείων.

Ἡμεῖς δὲ καὶ ὑπὲρ τούτων τοῖς πολλοῖς ἀπηχθήμεθα, τά σά τε δὴ ταῦτα λέγοντες πρὸς αὐτοὺς καὶ πρὸς τούτοις ὡς, εἰ μὲν κατεγνωκότες αὐτῶν τῆς πίστεως, οὕτως ἔχουσι | περὶ τὰ οἰκεῖα ψυχρῶς (ὥστε) καὶ f. 36 συγχωρῆσαί τισιν ἃ μήπω πρότερον ὥρμηνται, οὐχ ἕνεκά γε τῆς παρ᾽ ἐκείνων ἐλπιζομένης συμμαχίας, ἀλλ᾽ εἰ καὶ μηδὲν τοιοῦτον ἐκεῖθεν ἐπήγγελτο, τῆς ἀληθείας αὐτῆς, ἧς οὐδὲν ἀνθρωπίνῳ νῷ τιμιώτερον, τοῦτο βουλευέσθων τε καὶ πραττόντων. Ἐξέστω δ᾽ αὐτοῖς καὶ μετατίθεσθαι φανερῶς πρὸς ἥν ποτε βελτίω πίστιν ἐγνώκεσαν, καὶ θρησκευόντων οὕτως, ὡς ἡ πίστις ἐκείνη βούλεται. Ἄλλαις γὰρ δόξαις περὶ Θεοῦ καὶ τῶν θείων ἄλλοι θρησκείας τρόποι συνᾴδουσι· δεῖ δὲ καὶ δι᾽ ἀμφοῖν εὐσεβεῖν καὶ ταῖς ἔνδον ὑπολήψεσι περὶ τοῦ Θεοῦ κατάλληλον τὴν ἔξω λατρείαν εἰσφέρειν. Καὶ ἣν Ἐκκλησίαν ἡγοῦνται διδάσκαλον ἀληθῆ τῆς προόδου τοῦ Πνεύ-

---

26 (ὥστε) om A

ματος εἶναι, ταύτης καὶ τοῖς ἄλλοις πᾶσι νόμοις ἑπέσθων. Τί γὰρ δεῖ τῆς σκηνῆς αὐτοῖς καὶ τῆς εἰρωνείας; Εἰ δὲ τὴν πάτριον ἐπαινοῦντες εὐσέβειαν καὶ νομίζοντες πάσης ἄλλης εἶναι βεβαιοτέραν, κοσμικοῦ τινος αὐτὴν ἀλλάττονται χρήματος, εἶτα νομίζουσιν εὐσεβεῖν, πῶς οὐ μωρία καὶ γέλως, μᾶλλον δὲ συμφορῶν ἡ μεγίστη τοῦτο τοῖς πάσχουσι; Καὶ τὸ μὲν ἕνα τινὰ τὸ δεινὸν τοῦτο παθεῖν ἀφόρητον ἂν εἴη τοῖς συγγενέσι καὶ οἷς τι μέλει τοῦ πάσχοντος· τὸ δὲ καὶ πλείους οὕτω διεφθορότας φανερῶς τὸν ἰὸν τῆς ἀπιστίας ἐκχεῖν, καὶ ταύτην, ἀξιοῦν σωτηρίαν μόνην εἶναι τοῖς πράγμασι, καὶ δοκεῖν τι λέγειν οὕτως ἐπαχθῆ καὶ ἀλλόκοτα λέγοντας, ποίας δουλείας, πόσων θανάτων οἱ μήπω διεφθορότες οὐκ ἂν ἡγήσαιντο χεῖρον; Τίσι δὲ τῶν ἀνθρώπων οὐκ ὄλεθρος τὸ τοιοῦτον εἶναι δοκεῖ; Καὶ νόμοι κεῖνται πανταχοῦ τοῖς τὰ χείρω προσποιουμένοις, ἐπειδὰν ἁλῶσι τοιοῦτό τι δυσσεβήσαντες. Ὁ δὲ τοῦ Χριστοῦ νόμος ἐν τῇ τῆς γλώττης ὁμολογίᾳ τῆς ἀληθείας καὶ πάσαις ταῖς ἔξωθεν ἐπιδείξεσι τὴν σωτηρίαν τῶν πιστευόντων ἔταξεν εἶναι, ὡς μηδενὸς ἄνευ τῆς τοιαύτης
f. 36v μεθόδου σωθησομένου, κἂν μυριάκις ὑγιαίνοι τὰ ἔνδον. | Ἀλλ' οἱ καλοὶ τῶν προγόνων ἡμῶν ἔκγονοι καὶ τὴν πίστιν ἀξιοῦσι προπίνειν τοῖς ἀγαθόν τι μέλλουσι ποριεῖν, ὑφ' οὗ τοῖς πολεμίοις ἂν ἡ πόλις ἀχείρωτος εἴη· καὶ ἀξιοῦσι δυσσεβεστάτους πάντων ἀνθρώπων εἶναι καὶ γίνεσθαι τοὺς ἐπ' εὐσεβείᾳ πάντα φρονοῦντας, καὶ οὓς πάντες μεθ' ἑαυτοὺς εὐσεβεστάτους εἶναι νομίζουσιν, ἐκ δευτερείων τὰ πρῶτα νέμοντες. Ἢ τίς ἐν Ἰνδοῖς, ἐν Αἰθίοψιν, ἐν Ἀρμενίοις, ἐν Λίβυσιν, ἐν Πέρσαις, ἐν Ἰουδαίοις, ἐν Λατίνοις αὐτοῖς, τοῖς πάντων ἐθνῶν εὐσεβεστέροις ὑπάρχουσι μεθ' ἡμᾶς, τοιοῦτό τι πρόβλημα δοὺς ἐν τῷ συνεδρίῳ, εἰ δέοι τὴν πίστιν ἀλλαττομένους ἢ πλουσιωτέρους γίνεσθαι, ἢ προσλαμβάνειν ἀρχὴν οὐκ οὖσαν, ἢ πολιορκίαν πιέζουσαν ἀπωθεῖσθαι, οὐκ ἂν εὐθὺς ἴδοι καὶ λίθους καὶ πῦρ ἐπ' αὐτὸν ἐνεχθέντα, καὶ πᾶν ὁτιοῦν κτείνειν δυνάμενον, ὥστε καὶ δοκεῖν ἐναγεῖς εἶναι τοὺς μὴ μετασχόντας τοῦ φόνου, κἂν προσήκοντες ὦσι, καὶ τοὺς ἐκγόνους μέχρι πολλῶν γενεῶν οὐδὲν τῶν ἐπιρρήτων σεμνοτέρους εἶναι τοῖς εἰδόσι τὴν πονηρίαν τῆς ῥίζης; Ἢ τί τοὺς ἑαλωκότας μὲν τοῖς ἐχθροῖς, τὴν δὲ πίστιν φυλάττοντας ἐπαινοῦμεν; κἂν τις κτείνοιτο βιασθείς, μάρτυρα τῆς ἀληθείας τοῦτον ἡγούμεθα; Ἐπαινεῖσθαι γὰρ μᾶλλον ἐχρῆν τοὺς τἀκείνων προσποιουμένους, ἢ καὶ καθάπαξ ἀρνουμένους τὴν πίστιν, ὅτι μὴ μόνον τὴν ἐλευθερίαν οὕτως ὠνοῦνται, ἀλλὰ καὶ πρὸς τὰς μεγίστας ἀρχὰς οἱ πλεῖστοι τούτων ἀναλαμβάνονται. Τὸ δ' ἐγγύθεν οὖσαν τὴν ἀγαθὴν τύχην περιορᾶν, πῶς οὐκ ἂν ἦν μωρία σαφής, εἴ γε οἷόν τε ἦν τῇ προσποιήσει τῆς ἀσεβείας ὠφελουμένους οὕτω πάνυ κατὰ τὸν βίον, ἅμα τι καὶ θεοφιλεῖς ὡς πρότερον εἶναι; Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν,

---

9 *ἀπειχθῇ* A 20 *πάντα*: *πάνυ* A

οὔτε τῷ κοινῷ τῶν ἀνθρώπων οὕτω δοκεῖ. Καὶ μηδεὶς οἰέσθω με τῶν τὰ Χριστοῦ σεβομένων ὁποιονοῦν ἐν ἴσῳ τοῖς ἀπίστοις τούτοις τιθέναι· μὴ οὕτω μανείην. Ἀλλὰ τοὺς πονηροὺς ἐκείνους συμβούλους ἐλέγχων ταῦτά φημι· πονηροὶ γάρ εἰσιν ὄντως, δόγμα πονηρὸν εἰς τὸν βίον εἰσάγοντες, ὃ μόνοις ἂν συνήνεγκε δήπου τοῖς ὅπως πρὸς ἡμᾶς μεταθήσονται σκοπουμένοις, οἳ μόνοι τῆς ἀρραγοῦς | ἐχόμεθα πέτρας, καὶ οὓς ὥσπερ f. 37 κανόνας ἑστάναι τοῖς ἄλλοις ἀνθρώποις ἔταξεν ὁ Θεός.

Εἰ δ' ἐν τοῖς ἄλλοις πράγμασιν ὀψὲ καὶ αὐτοὶ τῆς φαύλης ἐπειράθημεν τύχης, τοῦτ' ἄλλος ἂν εἴη λόγος. Οὐδὲ γὰρ οἷόν τ' ἦν ἄλλως τὰ ἡμέτερα ἔχειν, ἐκ πλειόνων ἄνω νενοσηκότα τῶν χρόνων, ἅτε συνεδρίου μὲν ἀληθοῦς οὐδαμῶς παρ' ἡμῖν ὄντος, ἀλλὰ βουλῆς εἰδώλῳ πάντων διῳκημένων· αὐτονομίας δὲ καὶ οἰήσεως, καὶ τοῦ τῶν οἰκείων μὲν ἀμελεῖν, τοῖς δ' ὑπὲρ δύναμιν ἐγχειρεῖν, καὶ τοιούτων τινῶν παθῶν πόρρωθεν ταῖς τῶν ἡγεμόνων ἐνσκηψάντων ψυχαῖς· καὶ τοῖς μὲν δυναμένοις λέγειν τὰ βέλτιστα καὶ ποιεῖν παρρησίας οὐδεμιᾶς δεδομένης, τοῖς δὲ κόλαξι καὶ τετυφωμένοις καὶ πλεονέκταις πάντων ἐπιτετραμμένων καὶ ταῖς ἐκείνων ὁρμαῖς· καὶ τῆς μὲν ἀρετῆς φθονουμένης ἐν τοῖς ἀσκοῦσι, τῆς δὲ πονηρίας τῶν τοῖς ἀγαθοῖς προσηκόντων ἄθλων ἀπολαυούσης· καὶ ὅρκων μὲν πατουμένων, καὶ ὃ χεῖρόν ἐστιν, οὐκ ἔκ τινος ἀνάγκης ἴσως, ἀλλ' ἐκ προθέσεως· ἱερῶν δὲ πιπρασκομένων καὶ πρὸς τὰς τῶν ἀνθρωπείων ψυχῶν προστασίας τῶν ἐχόντων ἁδρὸν διδόναι χρυσίον, οὐ τῶν ὠφελῆσαί τι δυναμένων προσκαλουμένων· νόμων δὲ καὶ δικαίου μέχρι ὀνόματος τιμωμένου, προνοίας δὲ καὶ δίκης τῆς ἐκ Θεοῦ καὶ τῶν τοιούτων λόγων ἄλλως εἶναι δοκούντων· τῶν δὲ τὴν Ἑλληνικὴν ἑαλωκότων νενοσηκέναι δυσσέβειαν ζῆν τε καὶ τιμᾶσθαι καὶ τοὺς συνόντας φθείρειν συγχωρουμένων, δέον τοῖς ἐσχάτοις κατευθύνειν αὐτούς, οὐ πολὺ χεῖρον τὸ καὶ περὶ τῶν ἱερῶν δογμάτων αὐτούς τι λέγειν τολμᾶν, ὥσπερ τοῖς ἀβεβήλοις ὑπ' ἀδείας ἐμπυρριχίζοντας. Οὐδὲ γὰρ ἐκ τῶν οὐρανῶν τινι πιστεύσαιμ' ἂν φάσκοντι, ὡς ἄρα οἷόν τ' ἐστὶ τοιούτους ὄντας τινὰς πειρᾶσθαι τύχης ἀμείνονος. Οὐδ' οἱ τὴν πίστιν ἡμῖν παραδεδωκότες ταύτης ἐχομένους μόνον, τῶν δ' ἄλλων ὀλιγωροῦντας ἡμᾶς σωθήσεσθαί τε καὶ εὐμενοῦς πειράσεσθαι τοῦ θείου προὔλεγόν τε | καὶ f. 37v συνεβούλευον, ἀλλὰ τοὐναντίον δεῖν μὲν καὶ πίστεως ὑγιοῦς καὶ ἠθῶν σπουδαίων μετ' εὐσεβείας τοῖς κἀνταῦθα βέλτιον πράξουσι καὶ μετὰ ταῦτ' εὐδαιμόνως βιωσομένοις· ἐν δὲ τῇ παρούσῃ ζωῇ, καὶ πρὸ τῆς ἐν τοῖς δόγμασιν ἀληθείας, τὴν ἄλλην εὐσέβειαν καὶ δικαιοσύνην μέγα τοῖς αἱρουμένοις εἶναι πρὸς εὐτυχίαν ἐφόδιον, ὡς ἐκείνης τῆς μείζονος ἀρετῆς ἐν τῷ μέλλοντι βίῳ μᾶλλον τῶν καρπῶν τεθειμένων. Εἰ δ' ἡ πίστις ἡμῖν οὐκ ἀρκεῖ πρὸς οὐδετέραν εὐδαιμονίαν ἄνευ τῶν ἄλλων, τί χρὴ προσδοκᾶν

1 *οὔτως* A 31 *πειράσασθαι* A

εἰ καὶ τῶν εἰς ταύτην ἀνηκόντων τινὸς ἔξαρνοι γεγονότες, καὶ Θεῷ καὶ Πατράσι καὶ διδασκάλοις πᾶσι προσκόψαιμεν, ὥσπερ ἐκ πολλῶν ἑνὶ πείσματι τὸ μὴ προσρῆξαι ἂν ταῖς πέτραις πιστεύοντες, εἰ γένοιτό τις τοῦ κλύδωνος ἄνεσις, εἶτα καὶ τοῦτο ταῖς ἑαυτῶν χερσὶ τέμνοντες.

Ἀλλὰ πολλή ἐστιν ἐλπὶς ἐπὶ τῷ καλλίστῳ βασιλεῖ οὐχ ὅσον ἐς θεοσέβειαν ἥκει μόνον, ἀλλὰ δὴ καὶ ἐν ἅπασιν ἀγαθοῖς πολύ τι δι' αὐτοῦ τὰ ἡμέτερα ἐπιδώσειν, ἔμφρονος ἡγεμονίας ὀψὲ νῦν ἀπολαύσαντα. Θεὸς δὲ δοίη καὶ ἔργῳ τῆς ἐλπίδος πεῖραν λαβεῖν. Εἰ δέ τις ἀξιοίη, μετὰ τῆς ἀληθείας ὄντων ἡμῶν, τοὺς μικρόν τι ταύτης ἐκκλίνοντας οὑστινασοῦν ὁμοίως ἡμῖν τῆς μελλούσης ἀξιοῦσθαι ζωῆς ἔκ γε τῆς πίστεως, καὶ διὰ τοῦτο μηδὲν εἶναι δεινὸν τοῖς ἄλλο τι μέλλουσιν ὠφελεῖν πρὸς τὰ χείρω συγκαθιέναι, λήσεται πάντας αἱρετικοὺς ὅ γε τοιοῦτος καὶ τοὺς ἀπίστους ἅπαντας εἰς τὴν οὐράνιον εἰσάγων λῆξιν, τῷ λόγῳ τῆς παρ' ὀλίγον διαφορᾶς οὐ δυνάμενος εἴργειν οὐδένα. Δόξαι γὰρ πᾶσαι περὶ Θεοῦ οὐκ ἀληθεῖς, τῷ παρὰ μικρὸν διενηνοχυῖα τῆς κουφοτέρας ἡ χείρων ἐν ὁτῳοῦν, βαθμῷ τινι καὶ τάξει τῆς ἀληθείας ἀποπεπλάνηνται. Τῶν οὖν τὴν πρώτην τῆς ἀληθείας ἀπόστασιν πεπονθότων εἰσαγομένων εἰς τὴν ζωήν, ὡς αὐτοί φασι, καὶ τοὺς ἴσῳ μέτρῳ ταύτης ἀφεστηκότας εἰσάγεσθαι χρὴ τῷ αὐτῷ δικαίῳ καὶ λόγῳ· καὶ τοῦθ' οὕτω προβαῖνον μερίτας ποιήσει τῆς ζωῆς f. 38 ἐκείνης καὶ τοὺς ἐσχάτως ἄρα πεπλανημένους. Εἰ δὲ | τοῦτο τῶν καθάπαξ ἀδυνάτων ἐστί, καὶ τί περὶ τῶν καὶ μικρὸν τῆς ὀρθῆς πίστεως ἐκκλινόντων ἅπας ἀποφαίνεται νόμος, ἴσμεν καλῶς, σκοπείτωσαν οὗ τὰ τῶν ἐλπίδων σφίσιν ἐστίν, οἱ μικρὸν ἡγούμενοι τὴν τῆς ἀληθείας πρώτην ἀπόπτωσιν, καὶ ταῦθ' ἑκοῦσι γεγενημένην χάριν τοῦ κοσμικοῦ τινος τυχεῖν ἀγαθοῦ, ἢ δεινοῦ τινος ἀπαλλαγῆναι προσκαίρου. Εἰ δὲ τὸ τῆς ἑνώσεως καλὸν ἡμῖν καὶ τοὺς ἐκεῖθεν μισθοὺς προτείνοντες ἡγοῦνταί τι λέγειν, πυνθανέτωσαν αὖ, ὡς ἑνοῦσθαι μὲν τοῖς ἐσχισμένοις συμφέρει· τοιοῦτοι δ' οἱ τῆς κοινῆς ἀπορρηγνύμενοι γνώμης, καὶ τὸ δοκοῦν αὐτοῖς χωρὶς ἡγούμενοι κύριον· τὸ δὲ προσλαμβάνειν τοὺς σχιζομένους, ὅπερ ἂν ἁρμόττοι μᾶλλον ἡμῖν, οὐ τὸ συγχωρεῖν ἐστι ταῖς καινοτομίαις καὶ συγκαταφρονεῖν τῶν ἀρχαίων τοῖς πρώτοις τοῦτο θελήσασιν, ἀλλὰ τὸ πείθειν ἐκείνους ὥσπερ πρότερον σωφρονεῖν, τὴν ἰδιορρυθμίαν καὶ τὴν ἔνστασιν ἀρνουμένους, ᾗ τὸν σύνδεσμον λύουσι. Τὰς δ' ἐλπιζομένας τοῖς ταῦτα λέγουσι βοηθείας εἰδώλων καὶ κούφης σκιᾶς οὐδὲν διαφέρειν οἱ τὰ ἐκεῖθεν εἰδότες ἴσμεν καλῶς· καὶ τοῦτ' ἔστι τὸ δεινότατον, καὶ ὃ λέληθε τοὺς πολλούς, ὅτι πειθομένοις ἡμῖν ἃ συμβουλεύουσιν οὗτοι, ὑποστῆναι μὲν τὴν αἰσχύνην καὶ τὴν ζημίαν ἐν τοῖς καιρίοις, τῶν δὲ μετὰ ταῦτα προσδοκωμένων διαμαρτεῖν ἁπάντων συμβήσεται, καὶ τοὺς πολεμίους προσπαροξῦναι, δι' ὑποψίας ποιουμένους τὴν ἕνωσιν. Ἐχρῆν δὲ τὸ μὲν Λατίνοις ἡνῶσθαι καὶ πᾶσιν ἀνθρώποις τοῖς δικαιοτάτοις τρόποις ζητεῖν, εἰ καὶ γῆς ἁπάσης ἐτυγχάνομεν κύριοι·

τὴν δὲ πρὸς τὸν Θεὸν καὶ τοὺς Πατέρας αἰδὼ μήτε Λατίνων εἵνεκα, μήτε τῶν συγγενῶν αὐτῶν, προδιδόναι, εἰ μέλλοι τις, ἐκείνην τηρῶν, ἀνθρώποις τε πᾶσι καὶ ταῖς σαρξὶ πολεμίως χρῆσθαι ταῖς ἑαυτοῦ.

Ἀλλὰ τούτων οὐδὲν ἔνιοι συνορῶντες, τί μὲν οὐ λέγουσι, τί δ' οὐ | ποιοῦσι τὰς τῶν μετρίων ψυχὰς ταράττειν δυνάμενον; Τῶν δὲ μηδὲν f. 38v διαφέρειν λεγόντων ἅ τε νῦν Λατῖνοί φασι καὶ ἃ τοῖς ἡμετέροις Πατράσι καὶ διδασκάλοις δόξαντα τὴν ἀρχήν, καὶ ἡμῖν ὁμοίως δοκεῖ, περὶ ὧν ἀμφισβητοῦμεν Λατίνοις, ὡς εἴ τις λέγοι μηδὲν διαφέρειν τὴν κατάφασιν εἰπεῖν, ἢ τὴν ἀντικειμένην ἀπόφασιν περὶ ὁτουοῦν, τούτων οὐδὲ φροντίσαι χρή, τοιούτων γε ὄντων. Οἱ δὲ τούτων δεινότεροι βραχέα μὲν τοῦ ἱεροῦ καὶ πανδήμου διδασκαλείου, νόθου δέ τινος ἑτέρας διατριβῆς καὶ οὐδ' ἀνεκτά γε τὰ πλεῖστα πρὸς κατασκευὴν τοῦ δόγματος λέγοντες, θαυμάζειν ποιοῦσιν ἡμᾶς, εἰ καὶ ἡ τῶν Ῥωμαίων Ἐκκλησία, ταῖς ἀρχαῖς ἐκείναις τιθεμένη, συμπεραίνοι τὸ πρόβλημα. Πολὺ γὰρ πλέον ἀμφισβητοῖμεν ἂν αὐτῇ περὶ τῶν ἀρχῶν, ὅσῳ καὶ μείζων σφίσιν ἔνεστι κίνδυνος· τῶν γὰρ χειρίστων οὐδέν τι βελτίους εἰσίν. Ἄλλοις ἐξεύρηνταί τινες ὁδοὶ πρὸς εἰρήνην, ἀρνήσεις ὧν οὐδεὶς ἐγκαλεῖ, καὶ συγχωρήσεις ὧν οὐδεὶς ἀπαιτεῖ, καὶ τοῦ δόγματος βεβαιώσεις ἐν προσχήματι λύσεως, μόλις ἐθνογενεῖς τινας καὶ σκαπανέας καὶ τοκογλύφους ἐξαπατῆσαι δυνάμεναι, ἢ τινας τῶν καὶ πρὸ τούτου συνηρπασμένων (ὀλίγη δὲ καὶ τούτων φροντίς)· ἄλλοι ταῖς ἄλλαις μηχαναῖς ἐκείναις τοὺς ἁπλουστέρους παράγειν πειρώμενοι· οὗτοι δὴ καὶ τῶν φανερῶς ἀνθεστώτων, ὅπερ εἰπὼν ἔφθην, οἱ χείρους.

Τούτοις πᾶσιν, ἄριστε, τὴν σὴν σοφίαν ἀντέταξας, ἀεὶ μὲν οὕτω καὶ πρόσθεν πεποιηκώς, νῦν δ', εἴπερ ποτέ, ἐν καιρῷ καὶ μετὰ πολλοῦ τοῦ περιόντος αὐτῶν καθικόμενος λόγοις ἄρρηκτόν τινα τὴν ἰσχὺν κεκτημένοις, οὐ τῆς ἑνούσης σοι τέχνης μᾶλλον ἢ τῆς τῶν λόγων ὕλης τοῦτο παρασχομένης· ἀληθείας γὰρ ὑπεραγωνιζομένῳ καὶ τοῦ Θεοῦ μένος ἐμπνευσθῆναί τι προσῆκεν ἐκεῖθεν. Ἄλλοι τε οὖν πολλοὶ σοὶ μεγίστην εἴσονται χάριν καὶ δι' ἐμέ, κἀγὼ πρὸ | πάντων ἐν τοῖς τιμίοις ἕξω σε καὶ τὰ σὰ πολλῷ f. 39 πλέον ἢ πρόσθεν, οὐ τῶν ἐν ἀρχῇ μόνον εἰρημένων εἵνεκα, ἀλλ' ὅτι δὴ καὶ τὸ ὑπὲρ Λατίνων ἐκεῖνο βιβλίον ἡμῖν μὲν οὐκ ἐδείκνυον οἱ σοὶ πεπομφότες, τὴν σὴν ὑπὲρ αὐτοῦ ψῆφον ἁρπάσειν πρὶν ἡμῖν ὀφθῆναι νομίζοντες. Εἴτε δὲ καὶ πρότερον, εἴτε καὶ μετὰ ταῦτά τις αὐτῶν ἐδείκνυ γε καὶ ἡμῖν, οὐδεὶς ἂν ἡμῖν ἐγίνετο λόγος περὶ αὐτοῦ τε καὶ πρὸς αὐτό, οὐχ ὑπεροψίᾳ αὐτοῦ τε καὶ τῶν γραψάντων· τοῖς μὲν γὰρ οὐκ ἐξ ἡμῶν γε, τοῦ δόγματος ἡττημένοις, οὐ δέον, ἀλλ' ἐκ Θεοῦ τὴν κρίσιν γίνεσθαι δεῖ· τῷ δ', ὡς ἐν Λατίνων συνηγορίᾳ καί τινος ἀρτιστομίας μετῆν, οὐδὲ καθάπαξ ἦν

16 *Ἀλλ' οἷς* M 20 *ἀλλ' οἱ* M 30 *ἕνεκα* M 34 *οὐχ*: *οὐδ'* A *ὑπεροψίαν* A 37 *οὐδὲ*: *οὐ* A

ἀδιέργαστον· πρὸς τὴν ἐκ Πατέρων ἡμῖν μόνον καθήκουσαν πίστιν καί, ὡς πεπείσμεθα, ἀληθῆ, πλεῖστά που διενήνεκτο· οὕτω γὰρ δεῖ ἔχειν, οἷς τι τῇ δόξῃ Λατίνων ἔνεστι συνῳδόν, οὐδὲ δι' ἄλλο τι. Τῷ δὲ πολλάκις περὶ τῶν τοιούτων καὶ γραφῇ πεφιλοτιμημένοι καὶ λόγων πολὺ βιαιοτέροις ὅπλοις τῶν ἐν γραφῇ κόρον ἤδη λαβεῖν, ἄλλοις ἂν τὸν ἀγῶνα τοῦτον ἐλείπομεν. Ἀλλὰ σύ γε λαβών, οὐκ ἀπηξίωσας αὐτῷ τι καὶ ἀντιγράψαι, πάνυ καλῶς ποιῶν· οὐ γὰρ ὡς ἐκείνῳ μᾶλλον ἀντερῶν ἢ τοῖς πέμψασι χαριούμενος· καὶ τοὺς μὲν δι' ἄγνοιαν προσέξειν ἀντὶ τῶν πατρίων τοῖς ὑπερορίοις κινδυνεύοντας ἀποστήσων, δείξων δὲ τοῖς μήπω καλῶς εἰδόσιν, ὅπως ταῖς χθὲς καὶ πρότριτα καινοτομίαις οὐδ' αὐτὸς τεθειμένος, ἕτοιμος εἴ καὶ συναγορεύειν, ἐπειδάν ποτε δέῃ, τοῖς πρὸς αὐτὰ ἱσταμένοις. Διὸ καὶ πρὸς ἕκαστα μὲν τῶν ἐν τῷ γράμματι οὐκ ἠνέσχου δοῦναι σεαυτὸν οὐδ' ἐλέγξαι· τὸ δὲ βάθρον ἅπαν ὑπορύξαι δεῖν ᾤου· οὕτω γὰρ ἂν καὶ τὴν ἐπιτεθειμένην αὐτῷ τῶν λόγων κατασκευὴν πεσεῖσθαι κατασεισθεῖσαν. Ἅμα δέ τινα καὶ συνηγορίαν τἀληθοῦς τοῖς λόγοις προσέπλεξας, καὶ τοῖς
f. 39v οἰομένοις ἢ λέγειν τι πιθανὸν | τοὺς ἀρνουμένους τὰς ἀτοπίας μενούσας ἐπὶ τῆς θέσεως (καὶ πρὸς ἐκείνας ἀναμφισβητήτως φέρῃ μετὰ τοῦ λόγου), ἢ συνοίσειν τι τοῖς πράγμασι τὰ μὴ κατὰ Θεὸν αὐτοῖς μελετώμενα, νοῦν τινα περὶ ἀμφοτέρων τούτων ἐνέθηκας, εἴ γε βουληθεῖεν λαμβάνειν, οἵτινες ἄν ποτε εἶεν οὗτοι.

Σὺ μὲν οὖν τῷ ἡμετέρῳ δεσπότῃ Χριστῷ μεγίστην ἂν εἰδείης τὴν χάριν. Τὸ μὲν γὰρ σὺν τόκῳ σοι τὰς ἀναρμοστίας ἀντιστρέφειν ἐκείνας ῥᾴδιον ὄν, οὐκ ἂν ἡμέτερον ἦν, ὥς γ' ἐν τῷ νῦν σχήματι· τὸ δὲ καὶ συναγορεύειν ὡς φίλα που λέγοντι ἐκ τῆς κατὰ Χριστόν σοι γέγονεν ἀληθείας, ἣν ἐν τῷδέ σου τῷ συγγράμματι προστησάμενος τοῖς ἐκείνῃ που πλέον συνᾴδουσιν, ἀντὶ Λατίνων συνέστης ἡμῖν, καὶ ἀμφοτέρων τῷ Χριστῷ προσκειμένων. Ἐγὼ δὲ χάριν ὑπὲρ πάντων εἰδὼς αὐτῷ, μισθόν τινα ἐκεῖθεν μενῶ, ὧν τε τῇ σῇ φιλίᾳ προσέκρουσα προφάσει τοῖς ὑπὲρ Ἀριστοτέλους χρησάμενος λόγοις (ἄλλως γὰρ οὐδενί ποτε ἀνθρώπων ἐπαχθὴς ὤφθην λόγῳ τε καὶ ἔργῳ μηδενὸς εἵνεκα), καὶ ὧν ἐν Τιθωνείῳ σύ τε τῷ γήρᾳ οὐ μᾶλλον νεανιεύσασθαι προήχθης ἢ παραφθέγξασθαι· ἀρκεῖ γὰρ οὕτως εἰπεῖν, καὶ σύ γ' ἂν συγγνοίης τοσοῦτον ἀντὶ πολλῶν τῶν πανταχόθεν σῶν λέγοντι. Καὶ εἴπερ οἷόν τε ἦν, εὐξάμην ἂν καὶ μάτην ἠνωχληκέναι σου τῇ φιλίᾳ· σύ τε γὰρ οὐκ ἂν ἦσθα χείρων καὶ ἡμῖν τό γε συνειδέναι καλῶς ὑπ' οὐδεμιᾶς χείρονος κεκινῆσθαι προφάσεως ἐξήρκεσεν ἂν πρὸς τοὺς φιλοσοφίας τε καὶ φιλίας νόμους, ἐπί τε Θεοῦ καὶ πάντων ἀνθρώπων δικαζομένοις. Ἀλλὰ καὶ ταύτην ἡμῶν ἀφείλου, φεῦ! τὴν ἐλπίδα, πρὸς τὰ ἐν τῷ τέλει τοῦ βιβλίου σιωπήσας ἑκών. Οὐ γὰρ ἄν τις πεισθείη

16 *μενούσης ἔτι* A 17 *φέρει* A 18 *συνιδεῖν* A

ῥᾳδίως ἄνευ τῶν ἐπιλόγων μόνων τὸ σύμπαν ἀφῖχθαί σοί Πλάτωνός τε καὶ Ἀριστοτέλους τῶν διαφορῶν πέρι.

Καὶ δεύτερον λόγον ἐνίσταμαι σὺν Θεῷ· ἔγκεινται γὰρ οὐκ ὀλίγοι, καὶ οὐκ ἐάσειν φασὶν ὑπερορᾶν προαιρούμενον· ὅθεν συγγνώσῃ βιαζομένοις, εἰ μὴ πειθοίμεθά σοι κελεύοντι σιωπᾶν, ὀψὲ γοῦν, ὡς μηδὲν ὑγιὲς περὶ ὁτουοῦν λέγειν ἔχοντας. Καὶ σοῦ μὲν καὶ ὧν ἀντιγέγραφας ἥκιστά γε | καθάψομαι, ὡς καὶ ἐν προοιμίοις εἴρηται διά τε τἀκεῖ εἰρημένα καὶ τὸ f. 40 πολὺ μὲν αὐτὰ ἀπέχειν τοῦ, ὡς δὴ βλαφθέντα τι ὑπ' αὐτῶν, τρέψαι με πρὸς ὀργήν· αὐτὸν δ' ὑπὲρ μὲν τῶν Ἀριστοτέλει διαφερόντων κἂν ἀγανακτῆσαί ποτε δικαίως, μὴ ὅτι γε ὑπὲρ τῶν ἀξυμβλήτως μειζόνων· φέρειν δὲ ἀνεξικάκως τὰ πρὸς ἐμὲ οὐδέν τι ἧττον Σωκράτους μεμαθηκέναι, οὐ δὴ οἶσθα ἐκεῖνο τὸ θαυμαζόμενον· ἄλλως τε καὶ μηδὲν εἰδέναι οὐ νῦν πρῶτον σοί γε ἰσχυριζομένῳ, ἀλλ' ἐκ πλείονος ἐμαυτῷ πεπεισμένον, καὶ ὁσημέραι μᾶλλον πειθόμενον. Οὔτε τοίνυν τῶν δευτέρων σοι τούτων ἀγωνισμάτων, ἄλλως τε καὶ ὑπὸ τοιούτῳ ἤθει ἐκδεδομένων καὶ οἷον αὐτὸς τὸ τῶν ἐμῶν λόγων εἶναι διασύρεις, ὡς λέγουσι, λοιπὸν φροντίζειν με δεῖ, οὔτε τοῖς ἐμοῖς ἐκείνοις προὔργου συναγορεῦσαι· δεδρακότα γάρ, ὡς σὺ δηλοῖς ἐπαγωνιζόμενος, καὶ τὴν προτέραν σοι ῥίψαντα συγγραφήν, ὥστε καὶ δεῖσθαι λόγων ἑτέρων πειρωμένων αὐτὴν ἀνεγείρειν, ἅμα δέ τινος καὶ καταφυγῆς ἐς τὸ μηδὲ πάνυ σοι σπουδάσαντι συγγεγράφθαι· πεφροντισμένοι δέ (οὐδ' ἂν ἡμεῖς ἐπήλθομεν δήπου), οὐδεμιᾶς ἂν δέοιντο συμμαχίας, ἡνυσμένου σφίσι καλῶς ὃ προὔθεντο. Ἐξ ὧν δὲ περὶ τοῖν φιλοσόφοιν ἐρῶ, καὶ τούτοις ἀμφοῖν ἅπαν μετὰ σώφρονος εὐφημίας ἀπαντήσεται τὸ προσῆκον.

IV.

Lettre à la princesse du Péloponèse sur le „Traité des lois“ de Gémistos Pléthon (1454-1456).*

† Γενναδίου ταπεινοῦ: Neapol.Ger XXII-1, f.33

ἐπιστολὴ τῇ βασιλίσσῃ περὶ τοῦ βιβλίου τοῦ Γεμιστοῦ.

† Ὑψηλοτάτη καὶ εὐσεβεστάτη δέσποινά μου ἁγία, μεγίστην ἔχω χάριν τῇ βασιλείᾳ σου, ὅτι διακομισθῆναι τὸ βιβλίον τοῦ Γεμιστοῦ ἤτοι

* A = Neapolitanus Gerolam. XXII-1, f. 333, autographe de Scholarios;
L = Edition de Sp. Lambros, *Παλαιολόγεια καὶ Πελοποννησιακά*, t. II, p. 19-23, d'après le manuscrit précédent.

Tit. Le titre *Ἐπιστολὴ ... τοῦ Γεμιστοῦ* se trouve à la table des matières du début sous le n° *ξβ'*, précédé des mots: *Τοῦ ἁγιοτάτου* (sic) *πατριάρχου Γενναδίου*. Ce titre n'est pas autographe.

6 *ἔχειν λέγοντας* A 13 *ἐμαυτὸν* A 17 *συναγορεύσω* A 21 *πεφροντισμένη* A

Πλήθωνος ἐφρόντισας ἡμῖν, πολλάκις γεγραφόσι περὶ αὐτοῦ. Ἐν τέτρασιν οὖν ὥραις σχεδὸν τὴν δύναμιν αὐτοῦ κατανενοηκότες, εἶτά που ῥίψαντες, πρῶτον μὲν ἡγούμεθα δεῖν διὰ βραχέων καὶ τῇ σῇ εὐσεβείᾳ δῆλα ποιῆσαι τὰ περὶ αὐτοῦ, εἶτα σοὶ συμβούλῳ χρησάμενοι τὰ δοκοῦντα ἡμῖν ἐπ' αὐτῷ πρέπειν πράξομεν. Γινώσκοις ἂν τοίνυν, ἀπαθεστάτῳ καὶ ἀκριβεῖ κριτηρίῳ τοῦ παρ' ἡμῖν εὐσεβεστάτου λόγου χρωμένη, ὅτι τῶν πρὸ τῆς θείας οἰκονομίας γενομένων νομοθετῶν τῆς πολυθεΐας καὶ τοῦ χοιρώδους βίου καὶ τῶν μετὰ τὴν θείαν οἰκονομίαν τολμησάντων νόμοις συστήσασθαι ἀπ' ἐναντίας τοῦ ἀληθοῦς νόμου καὶ μόνου πρὸς τὴν ὁδὸν τῆς ζωῆς ὁδηγοῦ, οἷον χρὴ εἶναι τὸν ἀπ' οὐρανῶν ἐλθόντα προνοίᾳ τοῦ ἀγαθοῦ δημιουργοῦ ἡμῶν ἀρίστῃ καὶ τελεωτάτῃ, πάντων οὖν ἐκείνων ἀφρονέστερος οὗτος γέγονε σοφιστής, ὥσπερ οὐ πρεσβυτικοῦ φρονήματος ὢν ἢ συνεστῶτος ὅλως, ἀλλὰ παιδαριώδους ἢ παρατετραμμένου, καὶ τὸ ᾀδόμενον περὶ τῆς ἐν λόγοις δυνάμεως, ὡς ἄρα ἐν ψυχῇ ἀνοήτου αὕτη ὡς μάχαιρά ἐστιν ἐν χειρὶ μαινομένου, τοῦτο καὶ τούτῳ συνέβη. Δύναμιν γὰρ λαβὼν τοῦ συντιθέναι λόγους, καὶ ἴσως οὐκ φαυλοτέρᾳ συνθήκῃ, κατεχρήσατο τῇ δυνάμει πρὸς καταστροφὴν ἑαυτοῦ καί τινων ὁμοίων που, εἰ εὑρίσκοιντο, δι' ἔλλειψιν χάριτος καὶ λογισμοῦ ἔμφρονος καὶ σοφίας ἀληθινῆς καὶ διαλεκτικῆς ἐπιστήμης τὴν πλάνην παθών, κουφότητι δὲ καὶ τῇ εἰρημένῃ δυνάμει καὶ φανερῶσαι οὕτως αὐτὴν προαχθείς. Τοιοῦτος γὰρ ἦν καὶ τοιοῦτος ἐγνωρίζετο τοῖς δυναμένοις κρίνειν. Εἰ γάρ τι καὶ τῆς περὶ σοφίας δεινότητος προσεγένετο αὐτῷ, ὡς εἰκός, ἐν πλείονί τε σπουδῇ καὶ χρόνῳ, ἄχρηστον αὐτῷ πρὸς τὴν τῆς ἀληθείας εὕρεσιν γέγονεν, δουλεῦον μᾶλλον τῇ πονηρᾷ προλήψει αὐτοῦ, ὅ φησιν αὐτὸς περὶ τῶν προκατειλημμένων ταῖς πατρίοις τοῦ γένους δόξαις.

Καὶ οὗτος γάρ, πρὶν τελειωθῆναι τῷ λόγῳ καὶ τῇ παιδεύσει καὶ τῇ τοῦ κρίνειν τὰ τοιαῦτα δυνάμει, μᾶλλον δὲ πρὶν σχεδὸν αὐτῶν ἅψασθαι, τοσοῦτον ἥττητο τῶν ἑλληνικῶν δοξῶν, ὥστε ὀλίγα φροντίσαι μαθεῖν τὸν πάτριον αὐτῷ χριστιανισμόν, εἰ μὴ ὅσον αὐτοῦ καὶ ἰδιώταις δῆλόν ἐστιν. Οὐ γὰρ ἕνεκα τοῦ κατὰ τὴν φωνὴν ἑλληνισμοῦ, ὡς Χριστιανοὶ πάντες, τὰς τῶν Ἑλλήνων ἀνεγίνωσκεν καὶ ἐδιδάσκετο βίβλους ποιητῶν μὲν πρῶτον, ἔπειτα δὲ καὶ φιλοσόφων, ἀλλὰ τοῦ προστεθῆναι αὐταῖς χάριν· διὸ καὶ προσέθετο, καὶ τοῦτ' ἀκριβῶς ᾔδειμεν ἐκ πολλῶν τῶν γνωρισάντων καλῶς ἐν τῇ αὐτοῦ νεότητι. Οὕτω δὲ προκαταληφθέντι πάνυ εἰκός ἐστι διὰ τὴν ἔλλειψιν τῆς ἐκ Θεοῦ χάριτος καὶ ῥοπήν τινα αὐτῷ προσγενέσθαι ἀπὸ δαιμόνων, οἷς προσεστάθη, πρὸς τὸ ἀμεταποιήτως προσκολληθῆναι τῇ πλάνῃ, ὃ καὶ Ἰουλιανῷ καὶ πολλοῖς ἄλλοις ἀποστάταις συνέβη. Τὸ δὲ κεφάλαιον αὐτῷ τῆς ἀποστασίας Ἰουδαῖός τις ὕστερον ἐνειργάσατο, ᾧ

2 *κατανενικηκότες* L 11 *τελειοτάτῃ* L 12 *ὅλως*: *ἄλλως* L 29 *αὐτοῦ*: *αὐτῷ* L

ἐφοίτησεν ὡς εἰδότι τὰ Ἀριστοτέλους ἐξηγεῖσθαι καλῶς. Ὁ δὲ ἦν Ἀβερόη προσεσχηκὼς καὶ τοῖς ἄλλοις ἐκ Περσῶν καὶ Ἀράβων ἐξηγηταῖς τῶν Ἀριστοτελικῶν βίβλων, ἃς Ἰουδαῖοι πρὸς τὴν οἰκείαν γλῶτταν μετήγαγον, Μωσέως δὲ καὶ ὧν Ἰουδαῖοι πιστεύουσιν ἢ θρησκεύουσι δι' αὐτὸν ἥκιστα ἦν φροντίζων. Ἐκεῖνος αὐτῷ καὶ τὰ περὶ Ζωροάστρου καὶ τῶν ἄλλων ἐξέθετο. Ἐκείνῳ δὴ τῷ φαινομένῳ μὲν Ἰουδαίῳ, ἑλληνιστῇ δὲ ἀκριβῶς, οὐ μόνον ὡς διδασκάλῳ πολὺν συνὼν χρόνον, ἀλλὰ καὶ ὑπηρετῶν ἐν οἷς ἔδει καὶ ζωαρκούμενος ὑπ' ἐκείνῳ· τῶν γὰρ τὰ μάλιστα δυναμένων ἦν ἐν τῇ τῶν βαρβάρων τούτων αὐλῇ· Ἐλισσαῖος ὄνομα ἦν αὐτῷ· τοιοῦτος ἀπετελέσθη. Εἶτα πειρώμενος μὲν λανθάνειν, ἀλλ' οὐκ ἠδύνατο, προαγόμενος τοῖς ὁμιληταῖς τὰς δόξας ἐνσπείρειν, ὑπὸ τοῦ εὐσεβεστάστου βασιλέως τότε Μανουὴλ καὶ τῆς Ἐκκλησίας ἀπεπέμφθη τῆς πόλεως, τοῦτο μόνον οὐ καλῶς βουλευσαμένων, ὅτι φεισάμενοι οὐκ ἐνεδείξαντο τοῖς πολλοῖς αὐτόν, οὔτε ἀτίμως ἢ εἰς βάρβαρον ἀπήλαυνον γῆν, οὔτ' ἄλλον τινὰ τρόπον τὴν μέλλουσαν ἀπ' αὐτοῦ βλάβην ἐκώλυσαν.

Τοιαῦτα μὲν ὡς ἐν βραχεῖ τὰ αἴτια τῆς πλάνης ἐκείνῳ. Ἐπεθύμησε δὲ καὶ νομοθέτης γενέσθαι, τινὰς ἐλπίσας αὐτῷ προσθήσεσθαι, καίτοι, εἰ μὲν καινότερα ἐνομοθέτει καὶ μήπω ἐπιδεδειγμένα τῷ ἀνθρωπίνῳ βίῳ, εἶχεν ἄν τι καὶ ἐλπίδος αὐτῷ τὸ τόλμημα, νῦν δὲ τῶν βιβλίων, ἐν οἷς τὰ Ἑλλήνων κατασκευάζονται δόγματα, πλήρης μὲν γῆ πᾶσα καὶ νῆσοι πᾶσαι, ἀλλ' οὐδεὶς αὐτῶν φροντίζει, ὥστε καὶ αὐτοῖς πείθεσθαι οὕτως· ἐξ ὧν αὐτὸς πάνυ ὀλίγιστα εἰληφώς, συνέθετο τὸ βιβλίον. Καὶ ἵνα τοὺς ἄλλους ἐῶμεν, τίς ἀγνοεῖ τὰς Πρόκλου πραγματείας, ἐξ ὧν αὐτὸς τὰ τοιαῦτα ἐσπερμολόγησεν; καίτοι εἰς μὲν Πλωτῖνον καὶ Πορφύριον καὶ Ἰάμβλιχον ἀναφέρει τὴν συγγραφήν, ἀφ' ὧν ὀλίγα ἢ οὐδὲν προσειλήφει, Πρόκλον δὲ τὸν αἰτιώτατον αὐτῷ | τῆς τοιαύτης φρονήσεως σιωπᾷ, οὐδ' ἀνέχεται f. 333 δεικνύναι, ὅτι ἐκ τῶν ἐκείνου βιβλίων μᾶλλον πάντα συνήγαγεν, οἷς οὐδέν ἐστιν ἄλλο πρόθεσις ἢ περὶ πλήθους θεῶν καὶ γενέσεως καὶ τάξεως καὶ διαφορᾶς καὶ ἐνεργείας ἐν τῷ παντὶ τῷδε καὶ ἀνθρωπίνων ψυχῶν καὶ ὅσα περὶ αὐτῶν ἀνήκει σκοπεῖν, καὶ ἄστρων καὶ ὅσα τῇ περὶ αὐτῶν θεωρίᾳ προσήκειν κατὰ τὴν οἰκείαν ᾤετο δόξαν. Οὐ προστίθησι δὲ τοῖς ἄλλοις τὸν Πρόκλον, σοφιζόμενος ἑαυτῷ τὴν δόξαν τοῦ πρῶτον αὐτὸν τὰ τοιαῦτα ἀποτεκεῖν. Ἀλλ' οἱ τὰ Πρόκλου ἐπεληλυθότες καλῶς ἅμα δὲ καὶ κατεγνωκότες ἐπιγινώσκουσι τὴν πηγὴν τῶν Γεμιστοῦ λόγων.

Εἰ τοίνυν τὰ τῶν ἡγεμόνων αὐτοῦ βιβλία σῳζόμενα ἰσχύει τοιοῦτον ἐν ἀνθρώποις οὐδέν, τῷ φωτὶ τοῦ χριστιανικοῦ νόμου καὶ λόγου τῆς γῆς ἁπάσης καταλαμφθείσης, οὐ μόνον ὅσον εἰς τὴν θείαν ἥκει ῥοπήν, ἐξ ἧς

---

2 *Ἀρράβων* A 3 *οὓς* A 17 *τίνας* A 20 *μετασκευάζονται* L 21 *αὐταῖς* A
28 *πρόθεσις*: *προσθεὶς* L *Θεοῦ* L *γενέσεως*: *γνώσεως* L

προδήλως ἡ παγκόσμιος τῶν πολυθέων ἐσβέσθη πλάνη, ἀλλὰ καὶ ὅσον εἰς τὴν ἀνθρωπίνην ἥκει σοφίαν, πολλῶν καὶ ἀληθινῶν φιλοσόφων λόγοις ἀναντιρρήτοις καὶ ἔμφροσι τὴν μὲν πλάνην ἀνατρεψάντων, τὴν δὲ ἐκ Θεοῦ καὶ ἱερὰν μόνην πίστιν ἀποδειξάντων πάνυ καλῶς κἀν ταῖς ἀνθρωπίναις βεβαιωσάντων ψυχαῖς, πόθεν ἐκεῖνος ἤλπισε μόνος ἐνὶ βιβλίῳ τὰ τῶν ἄλλων ἐπιτέμνοντι, μηδὲν δὲ νεώτερον ἐπιδεικνυμένῳ, ὃ τοὺς ἀρχαιοτέρους διέλαθεν, πεῖσαι τοὺς ἀνθρώπους προσέξειν αὐτῷ, εἰ μή τινες εἶεν νηπιώδεις τὴν γνώμην, ἢ τῆς θείας ἔκπτωτοι χάριτος, δι' ἃ κἂν ἀτοπωτέραις προσετέθησαν δόξαις, εἰ δή τις καὶ εἴη ταύτης ἀτοπωτέρα.

Εἰ δὴ τὰ τοιαῦτα οὐκ ἐδύνατο συνορᾶν, οὐκ ἀπᾷδον εἰ καὶ τοιοῦτος ἦν οἷος τοῦ μὲν πατρίου δόγματος ἐκ παίδων ὀλιγωρῆσαι, τῇ δὲ κατασεσηπυίᾳ προσφυῆναι πολυθεΐᾳ. Ἡ δὲ ἀταξία τῶν κεφαλαίων αὐτῷ σκαπανεῖ μᾶλλον ἢ ἀνδρὶ ὁπωσοῦν ἐπιστήμης μετεσχηκότι καὶ νοῦ πρέπουσα. Ἃ δὲ εἰς τὴν πολιτικὴν ὕλην ἢ οἰκονομικὴν ἢ ἠθικὴν ἀνήκοντα νομοθετεῖ, ὅσα μὲν εἰς Ἀριστοτέλη καὶ Πλάτωνα ἔστιν ἀναφέρειν, ἢ καὶ εἰς τὸν ἀληθῆ τοῦ ἡμετέρου Ἰησοῦ νόμον καὶ τῶν αὐτῷ προσκειμένων, ἢ εἰς τὰς βασιλικὰς τῶν χριστιανῶν νομοθεσίας, μᾶλλον ἂν ὠφελοῖντο οἱ ἐν τοῖς ἑκάστων τόποις αὐτὰ μετιόντες καὶ τῷ πρωτοτύπῳ πλάτει αὐτῶν ἐντυγχάνοντες. Αὐτὸς γάρ, σὺν ἀσαφείᾳ ἐπιτεμών, οὐκ ἂν οὐδενὶ ὠφέλιμος εἴη. Ἃ δέ ποι δοκεῖ καὶ παρ' ἑαυτοῦ προστιθέναι, τούτων οὐδὲν ἂν γένοιτο γελοιότερον.

Τὰ δὲ περὶ θυσιῶν καὶ ὕμνων εἰς τοὺς αὐτοῦ θεοὺς καὶ προσρήσεων, τούς γε οὐκ ὄντας, ἃ τὸ τρίτον σχεδὸν τοῦ βιβλίου μέρος ἐστὶν αὐτῷ, οὐδὲ ἐπελθεῖν τινι χριστιανῷ ἀνεκτά, οὐδ' ἐπὶ γέλωτι καὶ καταφρονήσει, ἀλλ' ὅσον μόνον ἐκ τῶν ἐπιγραφῶν τὴν ἀτοπίαν ἐπιγνῶναι τοῦ συγγραφέως καὶ τοῦ βιβλίου τὴν μυσαρίαν. Ἀμέτρως δὲ ἀσεβέστερα, ἅπερ εἰς τοὺς τῇ χριστιανικῇ διδασκαλίᾳ ἑπομένους βλασφημεῖ ἀναιδῶς, σοφιστὰς ὀνομάζων καὶ γόητας καὶ τὰ χριστιανικὰ πάντα ψεύδη τε καὶ σοφίσματα, ὁσάκις ἂν κατὰ τοὺς τῶν δογμάτων γένοιτο τόπους, οἷς τὰ ἡμέτερα καὶ ἀληθῆ ἀντιφθέγγεται.

Τοιοῦτον μὲν ὡς ἐν βραχεῖ τὸ βιβλίον ἐστίν. Ὅθεν εἰ καὶ ἀντιγράφειν αὐτῷ παρεσκευαζόμεθα πρότερον, νῦν γε οὐδεμιᾶς ἀντιλογίας ἡμῖν ἄξιον φαίνεται. Οὐ γὰρ ἀπ' εὐθείας κατὰ τῆς χριστιανικῆς ἀληθείας ἐπιχειρεῖ, ἀλλὰ πλαγίως, τῇ βεβαιώσει, ὡς ἐνόμιζε, τοῦ ἑλληνισμοῦ. Ἀντιλέγειν δὲ τῷ ἑλληνισμῷ περιττόν, πολλῶν μὲν ἁγίων καὶ σοφωτάτων ἐλεγξάντων αὐτὸν ἐγκαίρως ἐκ πολλῆς τῆς περιουσίας, τοῦ Θεοῦ δὲ πρόρριζον αὐτὸν ἐκ πάσης τῆς γῆς ἀνατρέψαντος. Ἀλλὰ γέλωτος μὲν ἄξιόν ἐστι διά τε τὴν ἀσθένειαν αὐτοῦ καὶ ἀσύστατον φλυαρίαν καὶ μάταιον ἐπιχείρησιν,

---

16 Ἰησοῦ : Θεοῦ L   28 ψευδῆ L   29 καὶ om L   τἀληθῆ L

δακρύων δὲ διὰ τὴν τοῦ συγγραψαμένου ψυχήν, ἣν προέδωκε τοῖς δαίμοσι δυστυχῶς, καὶ ταῦτα εὐσεβῶν καὶ ἱερῶν πατέρων καὶ σοφῶν γεγονώς, πυρὶ δὲ προσῆκον, ὡς ἂν μή τινας ἐκστήσειεν ἀνοήτους ἢ ἀμαθεῖς σῳζόμενον, καὶ ἅμα εἰθισμένον τῇ Ἐκκλησίᾳ πόρρωθεν τοιούτοις τοὺς τῶν αἱρετικῶν καὶ μάλιστα ἀποστατῶν πόνους τιμᾶν.

Διὰ τοῦτο δεῖν ἔγνωμεν πρὸς τὴν σὴν βασιλείαν ἀναπέμπειν αὐτό, ἵνα διὰ σοῦ μᾶλλον ἀφανισθείη πυρί, καὶ σὺ τὸν ἐκ τῆς τοιαύτης εὐσεβείας λάβῃς μισθόν, ἡμῶν ἐπὶ τοῦτο προτρεψαμένων. Τὸ δ' αὐτὸ καὶ πολλῶν δυσφημιῶν ἔσται ἀπαλλαγὴ καὶ δικαίων, ἃς προξενήσει τῷ γεγραφότι σῳζόμενον, ὥστ' εἶναι ἂν τὸν ἀφανισμὸν τοῦ βιβλίου καὶ τοῖς ἐκεῖνον πεφιληκόσιν οὐκ ἀηδῆ, κρίνειν ὀρθῶς ἐθέλουσιν:~

Ὁ Κύριος διαφυλάττοι τὴν βασιλείαν σου τῷ ἐλέει αὐτοῦ καὶ τῇ χάριτι:~

V.

Lettre à l'exarque Joseph sur le livre de Gémistos Pléthon et contre le polythéisme païen (après 1456).*

Περὶ τοῦ βιβλίου τοῦ Γεμιστοῦ, καὶ κατὰ τῆς Ἑλληνικῆς πολυθεΐας. Paris. 1289 f. 103

Ἐγράφη ἐν τῷ ὄρει τοῦ Μενοικέως τῷ πρὸς ταῖς Φερραῖς.

Γεννάδιος ὁ Σχολάριος, καὶ τὰ λοιπά, Θεοῦ χάριτι, τῷ τιμιωτάτῳ καὶ πάντα ἀρίστῳ κυρίῳ Ἰωσὴφ τῷ ἐξάρχῳ χαίρειν.

Ἐπαινοῦμέν σου τὴν περὶ τὰ βελτίω σπουδὴν ἀεί, ἣν αὐτός τε οὐδενὸς τῶν ἐνόντων ὀλιγωρῶν καὶ ἄλλοις συμβουλεύων, ἐνδείκνυσαι. Τῷ σαυτοῦ δὴ χρώμενος τρόπῳ, καὶ περὶ τοῦ βιβλίου τοῦ Γεμιστοῦ νῦν ὑπομνῆσαι δεῖν ἡμᾶς ᾤου. Ἦλθε δὲ ἐφ' ἑτοίμοις τοῖς περὶ αὐτὸ πεπραγμένοις ἡμῖν ἡ σὴ συμβουλή. Καὶ οὕτω μέντοι χάριν εἰδότες σοι, ταῦτα δῆλα ποιοῦμεν· ἅμα δὲ καὶ προστίθεμεν ἅπερ ἡμῖν τε πρέπον ἂν εἴη μὴ παρελθεῖν σιωπῇ, σοί τ' οὐκ ἂν ἀηδὴς διατριβὴ γένοιντο. Ἐκεῖνος τοίνυν, ὁποῖος ἦν, ἐκ πολλοῦ δῆλος ἡμῖν ἐγεγόνει, καὶ ὅτι τοιοῦτο βιβλίον ἐν πλείοσι χρόνοις εἶχε συγγεγραφώς, πολλῶν τε ἐξηγουμένων ἀξίων πιστεύεσθαι καὶ ἡμῶν πολλαῖς καὶ φανεραῖς ἀποδείξεσιν ἐν Πελοποννήσῳ μὲν πρῶτον, εἶτ' ἐν

* A = Parisinus 1289, f. 103-113ᵛ, autographe de Scholarios;
B = Parisinus 1294, f. 115-125ᵛ, autographe de Scholarios;
C = Pantocratorinus 127, f. 1-9ʳ, autographe de Scholarios;
M = Migne, Patr. Gr., t. CLX, col. 633-648, qui reproduit l'édition de V. C. Alexandre *op. cit.*, p. 412-441, faite d'après A et B.

Tit. *Πρὸς τὸν αὐτόν, περὶ τοῦ βιβλίου κτλ.* B. *Ἐγράφη — Φερραῖς* om BCM.

22 *Γεννάδιος μοναχὸς ὁ Σχολάριος· τῷ τιμιωτάτῳ κτλ.* C

Ἰταλίᾳ κατειληφότων. Καὶ τοῦτό μοι τῆς ὑπὲρ Ἀριστοτέλους ἀντιγραφῆς ποτε πρὸς τἀκείνου γέγονεν αἴτιον· ἐκεῖνός τε γὰρ θρασύτερον ἐπῄει τῷ Φιλοσόφῳ, πολλὴν εἰδὼς ἐκ τῆς ἐκείνου φιλοσοφίας καὶ ὧν ἀντέστη τῷ Πλάτωνι συνηγορίαν τῇ δόξῃ τῆς ἀληθείας προσγινομένην, καὶ ἡμεῖς, οὐ Πλάτωνι φιλονεικοῦντες, οὐκ Ἀριστοτέλους τι πεφροντικότες ἰδίᾳ, τῷ δὲ σκοπῷ τοῦ Γεμιστοῦ χαλεπαίνοντες, ζήλῳ τῆς πίστεως περιττὸν ἄλλως ἡμῖν εἱλόμεθα πόνον. Ἐβουλόμεθα γὰρ οὕτως ἐνδείκνυσθαι τοῖς ἀγνοοῦσι τὸν ἄνθρωπον, ὡς ἂν μηδεὶς βλαφθείη λοιπὸν ἐξηπατημένος, οἷον οὐκ ὀλίγοι καὶ πρότερον πεπονθότες, ἄλγους ἡμῖν ὑπόθεσις ἐγένοντο χαλεποῦ· ὀνόματα δὲ ἐκείνων λέγειν οὐ χρή. Πρὸς ταῦτα δὲ ἡμᾶς ἀπιδεῖν, πρὸς οὐδεμίαν ἄλλην φιλοτιμίαν, τὰ ἐν ἀρχῇ καὶ τελευτῇ τοῦ βιβλίου δείκνυσιν ἡμῶν πάνυ καλῶς, πολλαχοῦ σῳζομένου, οὐδ' ἀπῳδὰ τοῦ ἡμετέρου τρόπου, σὺν Θεῷ δ' εἰρήσθω, τυγχάνοντα.

Ὁ μὲν οὖν αὖθις ἀντέγραφε, τὸν αὐτὸν πρός τε Ἀριστοτέλη καὶ ἡμᾶς, ἐκείνῳ δῆθεν συνηγοροῦντας, ἀγῶνα πεποιημένος. Ἡμᾶς δὲ ἡ τῆς πατρίδος
f. 103ᵛ ἀντιγράφειν αὖ ἐκώλυε συμφορά, πλὴν ὅσον ἄλλης οὐκ ἀκαίρου τότε | δεδραγμένοι προφάσεως, καθηψάμεθα μὲν τῶν ἀκαιριῶν αὐτοῦ, φειδοῖ τε καὶ ἐμβριθέστερον· Ἀριστοτέλει δὲ καὶ Πλάτωνι λοιπὸν ὁμοίως χαίρειν εἰπόντες, κατὰ τῆς Ἑλληνικῆς δεισιδαιμονίας οὐ φαύλην ὑπεστησάμεθα πραγματείαν, ὡς αὐτοῦ δὴ φανερῶς πρὸς τὸν εὐσεβῆ σκοπὸν ἡμῶν ἀπομαχομένου, καὶ μηκέτ' ἀξιοῦντος δεῖν κρύπτεσθαι· ἣν δὴ καὶ ἐς ὄψιν ἐλθοῦσαν αὐτῷ, πολλά φασι λυπῆσαι τὸν ἄνθρωπον, ἀπεγνωκότα λοιπὸν τοῦ δυνήσεσθαί τι τὴν ἀρίστην νομοθεσίαν αὐτῷ, τῷ βίῳ περιόντων ἂν ἡμῶν, οἳ καὶ πυρὶ καὶ γραφῇ δυναίμεθ' ἂν ἀκυροῦν, ὁποτέρως ἂν δόξειεν· ταυτὶ γὰρ καὶ ἠπειλοῦμεν ἐν τῷ δευτέρῳ τῶν πρὸς αὐτὸν συγγραμμάτων.

Οὕτω μὲν ἡμῖν εἶχε τὰ πρὸς ἐκεῖνον, τὰ μὲν ὑπὲρ τῆς πίστεως καὶ τῆς τῶν ἀδελφῶν ὠφελείας, ἢ μὴ βλάβης, συμβησομένης ἂν φορτικῶς· τὰ δ' ἄλλα, ἀνεπαχθῶς. Ἔνιοι δέ, μήτε τοῖς πράγμασι καὶ τοῖς συνειδόσι τε καὶ συμμαρτυροῦσιν ἡμῖν βουληθέντες προσέχειν, τό θ' ἡμέτερον διαβάλλοντες ἦθος, οὐ τὸ πρὸς ἐκεῖνον μόνον ἐν τοῖς συγγράμμασιν ἐπιδεδειγμένον ἀρκούντως, ἀλλὰ πρὸς πάντας τοὺς ὁπουδήποτε συμβαλόντας ἡμῖν ἐν ὅλῳ τῷ βίῳ, βασκανίᾳ διαβάλλειν ἡμᾶς ἐσυκοφάντουν τὸν ἄνθρωπον. Ἡμεῖς δὲ μαρτυρόμεθά σοι, φίλτατε, τὸν Θεόν, ὃν οὐκ ἔξεστιν οὐδεμιᾷ ἀνάγκῃ ψευδομένους καλεῖν, οὐδενός ποτε ὑπὸ βασκανίας ἐπὶ τὸ χεῖρον κατεψευσάμεθα· πολλοῖς δὲ ἐπὶ τὸ σφίσι βέλτιον, ἄλλῳ δέ τῳ οὐ βλαβερόν, ἐχαρισάμεθά που τῷ ψεύδει ὑπὸ φιλανθρωπίας, ἢ ἐξηπατημένοι· ἐξήλεγχον δὲ αὐτοὶ ψευσαμένους· ἡμεῖς μὲν γὰρ ἀγαθοὺς ἢ φίλους ἐδείκνυμεν αὐτοὺς

---

7 *ἡμῖν* om BCM 10 *οὐ* avant *πρὸς* add M 14 *αὖθις*: *αὐτὸς* M 31 *πρὸς*: *καὶ* M

τοῖς πολλοῖς, καὶ ὡς τοιούτοις ἐχρώμεθα δήπου· αὐτοὶ δὲ τοὐναντίον ἐν τοῖς πράγμασιν ἦσαν.

Τίς δ' ἂν καὶ πρόφασις τοῦ πάθους ἦν ἡμῖν πρὸς τὸν ἄνθρωπον; Ἐξ ἁπάντων γὰρ ὧν ἡμῖν ὁ Θεὸς ἐδεδώκει, κρείττους ἦμεν ἢ ὥστε βασκῆναι ἂν ἐφ' ὁτῳοῦν τῶν ὑπαρχόντων ἐκείνῳ. Μόλις δ' ἂν καὶ φαυλοτάτῃ προαιρέσει προσῆκεν ὑπὲρ εὐσεβείας προσποιούμενον καὶ ἀρετῆς ἐνοχλεῖν μηδὲν ἂν ἀδικοῦντι, ἅμα δὲ καὶ οὐδενὸς ἡττωμένῳ τῶν ὁμοτέχνων, μὴ ὅτι γε τηλικαύτης παρανομίας δίκην ὀφείλειν, ἀλλὰ καὶ τίνος οὐ χείρω κρίνεσθαι τοῖς ἀνθρώποις, ὀψὲ τῆς ἀληθείας φανερουμένης.

| Τοῖς μὲν δὴ τοιούτοις, ὀλίγοι δὲ ἦσαν, οὔτ' ἂν ἐπαινοῦσιν, οὔτε ψέξασι f. 104 προσέχειν δεῖν εἴποι τις ἄν, αὐτοὺς εἰδώς. Ἅμα δὲ τὸ μὲν ἀνθρώπινον τοῦτο παρὰ τῶν φαυλοτέρων δήπου συνέβη· δεῖ γὰρ ἀνίαν τινὰ καὶ θλίψιν ἀνθυπαντᾶν τοῖς ἀγαθόν τι πράττουσιν, εἰ φέρειν εἰδεῖεν, πάνυ πολύ τι λυσιτελοῦσαν. Οἱ δὲ νοῦν ἔχοντες καὶ φίλοι τῆς ἀληθείας καὶ ὧν ἡ κρίσις οὐ περιοπτέα τοῖς γε νοῦν ἔχουσιν οὐ μόνον περὶ τῶν ἄλλων ἔργων ἡμῖν καὶ λόγων ἐς ὅτι πλεῖστον τῆς γῆς λαμπρὰς ἐπήξαντο τὰς ἀνακηρύξεις, ἀλλὰ καὶ τῶν εἰς τὸν Γεμιστὸν φιλαλήθως τε ὁμοῦ καὶ φιλοκοίνως ἐξητασμένων ἐπῄνουν μὲν καὶ χάριν ὡμολόγουν ἀεί, συνήλγουν δὲ μεθ' ἡμῶν τῷ πρεσβύτῃ τῆς ἀκαιρίας, καὶ μεταβαλεῖν ἄν, εἴπερ οἷόν τ' ἦν, εὔχοντο, αὐτοί τε εἰδότες εἶναι τοιοῦτον καὶ ἡμῖν οὐκ ἔχοντες ἀπιστεῖν. Ὁρᾷς, ὦ φίλτατε, πόση τις ἡμῖν ἀπαντᾷ διηνεκῶς ἐξ ἀνθρώπων τῆς ὑπὲρ τῶν κοινῶν ἀγαθῶν προνοίας ἡ χάρις, ὧν κατόπιν ἅπαν ἴδιον ἀεὶ συμφέρον ἐθέμεθα.

Ἀλλ' εἰ Θεὸν ἡμῶν ἐν παντὶ τῷ βίῳ προϊσταμένων ἔπαισαν ἐπὶ κόρης πολλοί, τὸν ἐπὶ τῷ μηδὲν λελαληκέναι φαῦλον δεξάμενον τὴν πληγὴν ἐγγύθεν ἔχομεν συνειδότα, ὃν ὑπέρδικον ἐν τοῖς τοιούτοις ἐλπίζειν ἅμα δὲ καὶ παρήγορον χρή, τοὺς μὴ καθάπαξ εἰκῇ τρέχοντας. Ἐπεὶ δὲ ἔδει πάντα φανεροῦσθαι τῷ χρόνῳ, καὶ ἦν μὲν τὸ βιβλίον τοῦ Γεμιστοῦ τεθνεῶτος παρὰ τοῖς ἄρχουσι τῆς Πελοποννήσου (διττῶν δὲ ὄντων, τοὺς εὐσεβεστέρους τε καὶ μείζους φημί), οὐκ εἶχον δὲ ἀγνοεῖν τῶν ἐν αὐτῷ γεγραμμένων τὴν ἀτοπίαν, ἐβούλοντο μὲν αὐτίκα πέμπειν ἡμῖν, καὶ πολλοῖς ἀπαιτοῦσιν ἐκγράφειν οὐκ ἠξίουν διδόναι· ὑπὸ δὲ τῶν καιρῶν τουτὶ κωλυθέντες, ὑπὸ τῶν αὐτῶν αὐτοὶ καὶ παρ' ἐλπίδας ἡμῖν ἧκον φέροντες, καὶ διπλοῦν ἡμῖν ἤνεγκαν πένθος, τὸ μὲν ἐπ' αὐτοῖς, ἀπονεμένοις τῆς κοινῆς συμφορᾶς, ἐξ ὧν ἄλλοι προπετέστερον βουλευσάμενοι κατεπράξαντο· τὸ δ', ἐπὶ τῷ βιβλίῳ. Εὐθὺς γὰρ ἀναπτυχθέν, τίνος ἡμῖν οὐκ ἀηδέστερον ἔδοξε συναντήματος;

Ἦν μὲν εἰς τρία διῃρημένον. Ἑκάστου δὲ ὑποθέσεις προτεταγμέναι ἦσαν πολλαί, καθάπερ ἐν πίνακι, μηδεμίαν πρὸς ἀλλήλας σῴζουσαι τάξιν·

---

24 *προϊστάμενον* M *κόρρης* M 30 *εὐσεβεστέρους τε καὶ* om C

f. 104v σοφοῦ δὲ | τὸ τάττειν ἐστί. Καὶ ἦν τοῦ μὲν προτέρου τμήματος ὑπόθεσις πρώτη περὶ διαφορᾶς τῶν περὶ τῶν μεγίστων ἀνθρώποις δοξῶν· δευτέρα, περὶ ἡγεμόνων τῶν βελτίστων λόγων· τρίτη, περὶ τοῖν δυοῖν ἐναντίοιν λόγοιν, τοῦ τε Πρωταγορείου καὶ τοῦ Πυρωνείου· τετάρτη, εἰς θεοὺς τοὺς λογίους εὐχή· πέμπτη, κοινὰ περὶ θεῶν δόγματα· ἕκτη, περὶ Διὸς τοῦ βασιλέως· ἑβδόμη, περὶ θεῶν τῶν ὑπερουρανίων· ὀγδόη, περὶ θεῶν τῶν ἐντὸς οὐρανοῦ· ἐνάτη, περὶ τῆς τῶν θεῶν συμπάντων ἀϊδιότητος· δεκάτη, περὶ τῆς Ποσειδῶνός τε καὶ τῶν ἄλλων ὑπερουρανίων θεῶν γενέσεως· ἑνδεκάτη, περὶ τῆς τῶν ἐντὸς οὐρανοῦ τοῦδε ἀθανάτων γενέσεως.

Εἶτα, ἠθικάς, οἰκονομικάς τε καὶ πολιτικὰς ὑποθέσεις συμπλέξας, εἰκοστὴν καὶ μίαν ἐπῆγε περὶ θεῶν θεραπείας. Ἐπὶ ταύτῃ, περὶ ἱερέων καὶ βίου αὐτῶν· ἐφ' ᾗ, περὶ καθαρμῶν. Εἶτα, λογικῇ μᾶλλον ἐπισκέψει προσηκούσας ὑποθέσεις συνάψας, τριακοστὴν καὶ μίαν ἐπῆγε περὶ ὀνομάτων τῶν πρεσβυτάτων θεῶν· αὕτη δὲ ἦν ἡ τελευταία τῶν ὑποθέσεων τοῦ πρώτου βιβλίου.

Ἐφεξῆς δέ γε τῶν τοῦ δευτέρου πρώτη μὲν ἦν περὶ κριτηρίου τοῦ ἐπὶ τὴν τῶν προκειμένων σκέψιν. Δευτέρα δέ, πρόληψις κοινῶν ἐννοιῶν. Τρίτη, ὡς εἰσὶ θεοί. Τετάρτη, περὶ προνοίας θεῶν. Πέμπτη, ὡς οὐ κακῶν οἱ θεοὶ αἴτιοι. Ἕκτη, περὶ εἱμαρμένης. Ἑβδόμη, περὶ πλήθους θεῶν. Ὀγδόη, περὶ διαφορᾶς τῶν τῶν θεῶν γενῶν. Ἐνάτη, περὶ τῆς κατὰ Κούρητας θεοσεβείας. Δεκάτη, περὶ θεῶν τῶν τε ἑπτὰ πρεσβυτάτων καὶ τῶν ἄλλων ὑπερουρανίων. Ἑνδεκάτη, περὶ τῆς τῶν ἐντὸς οὐρανοῦ θεῶν γενέσεως. Εἶτα, περὶ ψυχῆς καὶ ἄστρων καὶ τῆς τῶν ἄστρων ψυχῆς, καὶ περὶ δαιμόνων, ἄλλα τε καὶ ὡς οὐ πονηροί εἰσι, καὶ ἔλεγχον τῶν κατὰ τῶν δαιμόνων διαβολῶν, καὶ περὶ αἰσθήσεων, καὶ περὶ θηρίων καὶ τοιαῦτα προσθείς, εἰκοστὴν καὶ ἑβδόμην ἐπῆγε περὶ τῆς τοῦ παντὸς ἀϊδιότητος· αὕτη δέ, ἡ τελευταία τῶν ὑποθέσεων τοῦ δευτέρου.

Τοῦ τρίτου δὲ ὑποθέσεις πρώτη μὲν ἀνάληψις τοῦ περὶ εἱμαρμένης λόγου. Ταύτῃ δὲ εἵπετο, περὶ ψυχῆς. Εἶτα, περὶ τέλους τοῦ βίου. Εἶτα, περὶ φρονήσεως. Εἶτα, περὶ παίδων ἀγωγῆς. Εἶτα, περὶ τοῦ τῆς πολιτείας σχήματος. Εἶτα, περὶ ἀνδρίας, καὶ ἄλλα ἐφεξῆς τοιαῦτα προσθείς, δεκάτην καὶ τετάρτην ἐπῆγε περὶ τῆς γονέων ἐκγόνοις οὐ μίξεως. Εἶτα, περὶ f. 105 θεῶν γενέσεως. Εἶτα, περὶ τῆς ἀνδρὶ ἑνὶ γυναικῶν πλειόνων | συνοικήσεως. Εἶτα, περὶ τῆς τῶν κοινῶν γυναικῶν χρήσεως. Τούτοις περὶ κρεῶν ἐδωδῆς καὶ τοιαῦτα ἄλλα ἐπαγαγών, εἰκοστὴν καὶ δευτέραν ὑπόθεσιν ποιεῖται περὶ Διός, ὡς οὐδὲ λόγῳ διάκρισίς τίς ἐστιν ἐν αὐτῷ.

Ταύτῃ ἐπισυνάψας ἠθικάς τινας ὑποθέσεις καὶ πολιτείᾳ ἄλλας πρε-

---

4 *Πυρρωνείου* M 7 et 20 *ἐννάτη* M 29 *εἵπετο* om AC, en interligne B 31 *ἀνδρείας* M

πούσας, τριακοστὴν ἐπάγει καὶ δευτέραν περὶ τῶν τῶν θεῶν ὀνομάτων, ἣ τὰ κεφάλαια τῶν ὑποθέσεων καὶ ὁ προὐργιαίτατος τῆς νομοθεσίας ταύτης σκοπὸς συνῆπτο εὐθύς· τριακοστὴ γὰρ καὶ τρίτη ὑπόθεσις ἦν περὶ προσευχῆς. Μετὰ ταύτην, εἰς θεοὺς προσρήσεις. Εἶτα, ὕμνοι ἐς θεούς. Εἶτα, προσρήσεών τε καὶ ὕμνων χρήσεως διάταξις. Εἶτα, τίσι θεῶν τίνα θυτέα. Εἶτα, ἐπὶ τίσι πράξεσι, τίσι τε θεῶν καὶ ὅπως θυτέα. Ἔπειτα, ὅπως ἔχουσι τῶν θυσιῶν μεταληπτέα. Εἶτα, περὶ ἀκριβείας τῶν πρὸς θεούς. Εἶτα, κατὰ τίνων εὐκτέα τοῖς θεοῖς. Ἐπὶ πᾶσι, περὶ μαντειῶν. Ἐπινομὶς δὲ ἦν ἡ τελευταία τῶν ὑποθέσεων, τεσσαρακοστὴ καὶ τρίτη οὖσα, τοῦ τρίτου βιβλίου. Ἑκάστῳ δὲ τῶν βιβλίων ἐπεγέγραπτο· Πλήθωνος νόμων συγγραφῆς βιβλίον πρῶτον, καὶ τοῖς λοιποῖς ἀκολούθως.

Ἀρχὴ δὲ τοῦ παντὸς βιβλίου τοιάδε ἦν· „Τάδε συγγέγραπται περὶ νόμων τε καὶ πολιτείας τῆς ἀρίστης, ᾗ ἂν διανοούμενοι ἄνθρωποι, καὶ ἅττ' ἂν καὶ ἰδίᾳ καὶ κοινῇ μετιόντες τε καὶ ἐπιτηδεύοντες, ὡς δυνατὸν ἀνθρώπῳ κάλλιστά τε καὶ ἄριστα βιῷεν, καὶ ἐς ὅσον οἷόν τε, εὐδαιμονέστατα."

Τοιούτων συμφορῶν πλῆρες τὸ βιβλίον ἀπ' αὐτῶν δὴ πρώτων τῶν ἐπιγραφῶν καὶ ὑποθέσεων γνόντες, ἐβουλόμεθα μὲν εὐθὺς μηδ' ἐπιέναι λοιπόν. Ἐπεὶ δὲ ἦν ἀνάγκη πᾶσα τοιοῦτον ὂν ἀφανίζεσθαι, ἔδοξεν ἡμῖν δίκαιον εἶναι, καθάπερ ἂν παρόντι, τῷ γεγραφότι χαρίσασθαι τὸ μὴ ἐρήμην καταψηφίσασθαι τοῦ βιβλίου, ἀλλὰ τὸν ἐν ἡμῖν ἐκ Θεοῦ λόγον καὶ τὴν τῆς ἀληθείας συνείδησιν δικαστὰς καθίσαι τῇ τε γνώμῃ τοῦ ἀνθρώπου καὶ τῇ σπουδῇ, καὶ οἷ ἂν ἄγοιεν ἕπεσθαι, καὶ ὅπως ἂν ψηφίσαιντο πράττειν. Εἰκὸς γὰρ ἴσως αὐτὸν ἐπιγεγονότα τοῖς ἄλλοις, ὅσοι περὶ τῶν τοιούτων ἐσπουδακότες εἰσίν, ἀμείνω τινὰ τῆς θρησκείας συνηγορίαν εὑρεῖν, καὶ λόγοις | καινοτέροις ὁμοῦ καὶ ἀξιωτέροις ἐντυχόντα πεισθῆναι, οὓς δέοι f. 105▾ γ' ἂν μὴ περιιδεῖν· τοὐλάχιστον γὰρ οὐ πόρρω συγγνώμης ἂν εἴη, λόγοις ἰσχυροτέροις ἐνδούς, οὔπω μὲν ὑπὸ τῶν τῆς Ἐκκλησίας διδασκάλων ἐξητασμένοις, αὐτοῦ δὲ πάνυ κεκρατηκόσιν οὐκ ἔχοντος ἀντιλέγειν. Καίτοι συνῄδειμεν ἐκείνῳ τὴν πονηρὰν ἀπ' ἀρχῆς ὑποστάντι πρόληψιν. Ἀλλ' ἐχρῆν ἀπαθὲς αὐτῷ καθίζειν τὸ δικαστήριον, ἡμᾶς δὲ μὴ διαφυγεῖν ἄν, οὔτ' εἰ τὰ αὐτὰ ᾖ καὶ χείρω τῶν ἄλλοις ἐξευρημένων, οὔτ' εἰ βελτίω τε καὶ καινότερα εἴη, τὰ τὴν ψυχὴν ἐκείνου θηρεύσαντα. Ἱερᾶς μὲν γὰρ θεολογίας, ἧς πλεῖστα ἡμῖν ἐμέλησεν ἐν παντὶ τῷ βίῳ, καὶ προὔργου μηδενὶ ἂν συγχωρῆσαι τῶν νῦν ὄντων ἁπανταχοῦ καὶ ἴσα ἡμῖν εἰδέναι· Ἑλληνικῶν δὲ βιβλίων καὶ λόγων, ἐφ' οὓς ἐκεῖνος ἑαυτὸν ἀναφέρει, μηδὲν ἡμῖν

2 *προὐργιαίτατον* M, qui met en note: Sic codd., non *προὐργιαίτατος* 4 *εἰς θεούς* M 18 *βιβλίον. Ἀπ' αὐτῶν* M *δή*: *δὲ* M 24 *οἷ*: *ᾗ* A 26 *εἰσίν*: *ἦσαν* C 28 *περιδεῖν* B 30 *οὐκ ἂν ἔχοντος* A

περιῶφθαι, ὅτε καὶ καταγινώσκειν αὐτῶν τοιούτων ὄντων, εὐλόγως οἷοί τε ἦμεν, οὐ πρὶν ἐς τὴν τοιαύτην ἕξιν ἐλθεῖν, καὶ ὅτε σοφιζόμενός τις οὐκ ἂν λανθάνειν ἡμᾶς ἠδύνατο.

Ὑπὸ τοιούτων δὴ λογισμῶν, ἐν ὥραις τέτταρσιν ὅλαις, ἐλαχίστῳ μιᾶς ἡμέρας μορίῳ, τὸ βιβλίον ἅπαν ἐπήλθομεν, εἴδομέν τε καλῶς τίσι λόγοις ἐπλήρου τὰς ὑποσχέσεις τῶν ὑποθέσεων. Ἐνταῦθα δὴ πολλοῖς τε καὶ οὐ τοῖς αὐτοῖς περιηγόμεθα πάθεσιν. Κατεγελῶμεν τῆς ἁπλότητος τοῦ ἀνθρώπου. Ἐθρηνοῦμεν τὸν ὄλεθρον αὐτῷ τῆς ψυχῆς. Κατηρώμεθα τῶν πονηρῶν δαιμόνων, ὑφ᾽ ὧν, στερήσει χάριτος οὐρανίου, συνηρπάγη συντεθῆναι τῷ ψεύδει. Κατεγινώσκομεν τῆς τῶν ἀνθρώπων παραφορᾶς, ᾗ τὸν πρόσθεν χρόνον ἐδούλευον. Χάριτας ἀνεπέμπομεν τῷ προῖκα καὶ ὀψὲ τῇ φύσει τῶν ἀνθρώπων τὰς τῆς ἀληθείας πύλας ἀνοίξαντι καὶ θαυμασίοις ὡπλικότι παρασκευαῖς, ὥστε ταύτης ἐπιμελομένους ἐφάπτεσθαι. Ἐδοξάζομεν αὐτόν, ὡς οἷόν τε ἦν, ὅτι καὶ ἡμῖν τὴν χάριν ταύτην ἐφῆκεν. Ὠδυρόμεθα τὴν συμφορὰν τοῦ γένους ἡμῶν, τὴν αἰσχύνην, τὸ ὄνειδος. Ἔδει γὰρ τοῖς ἡμῶν κακοῖς καὶ τοῦτο προσκεῖσθαι, ὅτι τελευταῖον ἑνὶ τὰ τῆς Ἑλληνικῆς παιδείας ὑπελείφθη καλὰ πρεσβύτῃ, καὶ οὗτος ἀπώνατο
f. 106 τῆς περὶ ταῦτα σπουδῆς φρενῶν αἰσχρὰν ἔκστασιν· | οὐ γὰρ ἂν εἶχε σωφρονῶν τοιαῦτα καινοτομεῖν. Ἠλγοῦμεν ἐπὶ τοῖς πόνοις τοῦ γέροντος, οὓς ἀπώλεσε, τὴν περὶ τὴν λέξιν τε καὶ συνθήκην φιλοτιμίαν ὑποθέσεσι φαυλοτάταις συναναλώσας· ὥσπερ εἴ τις ἐν ὕλαις ἀτιμοτέραις, ἢ διαλυομέναις εὐθύς, τὴν περὶ τοὺς ἀνδριάντας αὐτῷ τέχνην ἐπιδεικνύοι, βελτίοσι καὶ προσηκούσαις χρῆσθαι δυναμένοις. Τί δεῖ καταλέγειν ὁπόσα ἡμῖν συνέβαινε πάθη;

Ἐπεὶ δὲ ἔδοξεν ἡμῖν ταῖς ἐπιγραφαῖς τοῦ βιβλίου καὶ τοῖς προοιμίοις δὶς ἐφιστᾶν, ἐνταῦθα δὴ δακρύων τὰς ὄψεις πλησθέντες καὶ βύθιόν τι στενάξαντες (ἐδόξαμεν γὰρ αὐτὸν παρίστασθαι Γεμιστόν, ἢ μᾶλλον, ὡς αὐτός φησι, Πλήθωνα, καὶ μέχρι τοσούτου τὴν περὶ τὸν Ἑλληνισμὸν ἐκτείνας σπουδήν, ὡς ἀκούσαντες αὐτοῦ πολλοὶ διηγοῦνται, ὅτι μὴ μόνον τὴν λέξιν, ἀλλὰ καὶ ψυχὴν τὴν οἰκείαν οὕτω διενοήθη κοσμεῖν· τὸ δ᾽ ὅπως, ἐκεῖνοι μᾶλλον λεγόντων), τότε τοίνυν ὥσπερ παρόντι διαλεγόμενοι, καὶ τὴν συνεγνωσμένην ἡμῖν περὶ τοῦ βιβλίου φέροντες ψῆφον·

Ἄνθρωπε, εἴπομεν, εἷς ἄριστος νόμος, καὶ μία πολιτεία βελτίστη· σὺ δὲ αὐτῶν ἀποστάς, καὶ τοῖς φαυλοτάτοις ἀντὶ τούτων προσθέμενος, εἶτα καὶ νομοθέτης ἐπεθύμησας γενέσθαι; Τίνας ἐλπίσας προσθήσεσθαί σοι; Εἰ μὲν γὰρ καινότερα ἐνομοθέτεις, καὶ μήπω ἐπιδεδειγμένα τῷ ἀνθρωπίνῳ βίῳ, εἶχεν ἄν τί σοι καὶ ἐλπίδος τὸ τόλμημα. Εἰ δὲ τὰ τῶν σῶν ἡγε-

11 *καὶ* om A 12 *θαυμασίαις* M 17 *παιδείας*: *σοφίας* A 18 *ταῦτα*: *τὴν σοφίαν* A, B biffe *τὴν σοφίαν* qu'il remplace par *ταῦτα* 22-23 *βελτίοσι — δυναμένοις* en marge A 23 *δυνάμενος* M

μόνων βιβλία σῳζόμενα πανταχοῦ, τοιοῦτον ἐν ἀνθρώποις οὐδὲν ἰσχύει, τῷ φωτὶ τοῦ χριστιανικοῦ λόγου καὶ νόμου τῆς γῆς ἁπάσης καταλαμφθείσης οὐ μόνον ὅσον εἰς τὴν θείαν ἥκει ῥοπήν, ἐξ ἧς προδήλως ἡ πανταχοῦ τῶν πολυθέων ἐσβέσθη πλάνη, ἀλλὰ καὶ ὅσον εἰς τὴν ἀνθρωπίνην ἥκει σοφίαν, πολλῶν ἀληθινῶν φιλοσόφων λόγοις ἀληθεστάτοις καὶ ἔμφροσι τὴν μὲν πλάνην ἀνατρεψάντων, τὴν δ' ἐκ Θεοῦ καὶ ἱερὰν μόνην ἀλήθειαν ἀποδεδειχότων πάνυ καλῶς, πόθεν ἤλπισας μόνος ἐνὶ βιβλίῳ τὰ τῶν ἄλλων ἐπιτέμνοντι, μηδὲν δὲ νεώτερον ἐπιδεικνυμένῳ ὃ τοὺς ἀρχαίους διέλαθε, πεῖσαι προσέξειν σοι τοὺς ἀνθρώπους; Εἰ δὲ τοῦτό σε τοσοῦτον διέλαθεν, οὐκ ἀπᾷδον εἰ καὶ τοιοῦτος ἦσθα, οἷος τοῦ μὲν πατρίου δόγματος ἐκ παίδων ὀλιγωρῆσαι, | [f. 106v] τῇ δὲ κατασεσηπυίᾳ προσφυῆναι πολυθεΐᾳ. Ὧν δ' εἰς τὴν πολιτικὴν ὕλην ἢ οἰκονομικὴν ἢ ἠθικὴν ἀνηκόντων νομοθετεῖς, ὅσα μὲν εἰς Ἀριστοτέλη καὶ Πλάτωνα ἔστιν ἀναφέρειν, ἢ καὶ ἐς τὸν ἀληθῆ τοῦ ἡμετέρου Ἰησου νόμον, καὶ τῶν αὐτῷ προσκειμένων, ἢ τὰς τῶν εὐσεβῶς βασιλευσάντων νομοθεσίας, μᾶλλον ἂν ὠφελοῖτό τις, ἐν τοῖς ἑκάστων αὐτὰ μετιὼν τόποις καὶ τῷ πρωτοτύπῳ πλάτει αὐτῶν ἐντυγχάνων· αὐτὸς γὰρ σὺν ἀσαφείᾳ ἐπιτεμών, οὐκ ἂν οὐδενὶ ὠφέλιμος εἴης. Ἃ δὲ καὶ οἴκοθεν προστιθέναι δοκεῖς, τούτων οὐδὲν ἂν ἀχρειότερον γένοιτο. Ἁγιστείας δὲ καὶ θρησκείας καὶ τὰ τοιαῦτα, καὶ πολλῷ χεῖρον, εἰ ἐνεργήσειν που τῆς γῆς προσεδόκησας, οὔτε σοφῶν οὐδενός, οὔτε ἰδιωτῶν τινος ἢ βουλησομένου, ἢ δυνησομένου ταύτας μιμεῖσθαι.

Ἀλλὰ τὰς μὲν σὰς περὶ ἧς ἐκ τῶν ἀνθρώπων ἤλπισας εὐφημίας ἐπὶ τοῖς νόμοις τούτοις ἐλπίδας, ἐῶμεν. Τὰς δὲ ποικίλας τῶν ἀνθρώπων ἔν τε δόξαις καὶ βίοις διαφορὰς ἐκτίθης μὲν εὐθύς, ἀληθεύων· πᾶσι γὰρ δῆλα τοῖς καὶ ὁπωσοῦν εἰδόσι ταῦτά ἐστι· προσιστάμενα δέ σου ταῖς πρώταις ὑποθέσεσιν ἀγνοεῖς. Πῶς γὰρ ἂν εἴη κοινὰ τὰ περὶ θεῶν σοι δόγματα, οἷς οὐ πάντες ἄνθρωποι καὶ κατὰ σὲ τίθενται οὐ νῦν μόνον, ἀλλὰ καὶ πάντα τὸν χρόνον; μᾶλλον δὲ νῦν οὐδεὶς αὐτοῖς τίθεται· ἀλλ', ὡς εἰκός, περὶ τὰ ἄλλα διαφωνοῦντες, περὶ ἓν τοῦτο συνᾴδουσιν, ὅτι Θεός ἐστιν εἷς, οὐχ εἷς ἄκρος ἐν ὑποδεεστέρων πλήθει πολλῷ, ἀλλ' ἁπλῶς εἷς τε καὶ μόνος. Ἀλλ' ἵνα δείξῃς σαυτὸν ὑπὸ τῆς τοιαύτης ἐν ἀνθρώποις διαφωνίας εἰς τὴν περὶ τἀληθοῦς καταστῆναι ζήτησιν, οὐκ ἀγαπήσαντα τοῖς ὑπὸ τῶν σῶν προγόνων εὑρημένοις ἢ κεκριμένοις πάνυ καλῶς, τὴν ποικιλίαν τῆς περὶ τὸ τέλος τῶν ἀνθρώπων ὁδοῦ ἐν προοιμίοις εὐθύς, οὐδὲν δέον, ἐξέθου, ἅμα δὲ καὶ τῷ σκοπῷ σου προσεστηκώς, ὡς ἔφθην εἰπών. Καὶ φῂς μὲν καλῶς ἄριστά που δοξάσειν τε καὶ βιώσεσθαι τὸν κρινοῦντα τὸ βέλτιστον περὶ πάντων, ἀλλ' εἴπερ εἰδείη κρίνειν· σὺ δ' οὐκ

7 *ἀλήθειαν*: *πίστιν* A 17 *σὺν ἀσαφείᾳ*: *συναφείᾳ* M 30 *τ' ἄλλα* C

ὀλίγον ἀπέσχες. Διὸ σαυτῷ τὰ ψεύδη πρὸ τῶν ἀληθεστάτων ἔμπεδα ποιησάμενος, καὶ ἀθλιώτατος ἀνθρώπων ὑπῆρξας, καὶ σῇ δήπου κρίσει. f. 107 Ἢ πῶς ἂν | Ζωροάστρῃ φέρων ἔνειμας σεαυτόν, ὃν ὑπὲρ πάντας λέγεις προΐστασθαι, τῶν σοφωτάτων καὶ ἐνθέων ἀποφοιτήσας; Τίς ἀγνοεῖ Ζωροάστρην, ἐς ἀστρονομίαν περιβόητον Πέρσαις, ἐς οὐδὲν ἄλλο γεγενημένον, ὑφ' ἧς δὴ καὶ πεπλάνηται, τὰ δ' ἄλλα τῇ Γενέσει σύμφωνον τὴν προαίρεσιν ἐπιδεδειγμένον; Νίνου γὰρ ἦν υἱός, τὴν οἰκείαν γήμαντος μητέρα Σεμίραμιν· ἀφ' ὧν ἐνομίσθη Πέρσαις μητρογαμεῖν. Τοῦτον ἐγνώρισέ σοι πρόσθεν ἠγνοημένον ὁ τῷ δοκεῖν μὲν Ἰουδαῖος, πολύθεος δὲ Ἑλισσαῖος· ᾧ μέγα δυναμένῳ τότε παρὰ τῇ τῶν βαρβάρων αὐλῇ παρεσιτοῦ τὴν πατρίδα φυγών, ἵνα τὰ καλὰ παρ' ἐκείνου μάθῃς διδάγματα· τοιοῦτος δὲ ὤν, πυρὶ τὴν τελευτὴν εὕρετο, καθὰ δήπου καὶ ὁ ὑμέτερος Ζωροάστρης. Ζωροάστρου μὲν οὖν τουδε, καὶ Μίνωος, καὶ Εὐμόλπου, καὶ Λυκούργου, καὶ Πολυείδου, καὶ Τειρεσίου, καὶ τῶν ἄλλων οὓς ἀριθμεῖς, οὐδὲ βιβλίοις ἐνέτυχες, ὅθεν ἂν τὴν νομοθεσίαν ταύτην εἶχες λαβών· πλὴν ὅσον πολλοὶ ἕτεροι ἔνιά που αὐτῶν ἀπομεμνημονεύκασιν, ὅθεν οὐ σοὶ μᾶλλον ἢ καὶ πᾶσι σπουδαίοις ἡ περὶ αὐτῶν εἴδησις γέγονεν. Ἀλλ' ἐκ τῶν ὑστέρων μᾶλλον πάντ' ἔχεις συνειλοχώς, οἳ Πυθαγόραν καὶ ἔτι μᾶλλον Πλάτωνα προστησάμενοι, τὰ πλεῖστα μηδ' αὐτῷ Πλάτωνι δεδογμένα περὶ τῆς πολυθέου πλάνης ἐν βιβλίοις συνεγράψαντο πολυστίχοις, μετὰ τοὺς πλείστους δὲ αὐτῶν καὶ ὑπὲρ πάντας τοὺς ἐν αὐτοῖς ἄκρους, Πρόκλος, οὗ τῶν πολλῶν βιβλίων ταυτὶ τὰ βραχέα ἐσπερμολόγησας. Καίτοι Πλουτάρχῳ μὲν σύ γε καὶ Πλωτίνῳ καὶ Ἰαμβλίχῳ καὶ Πορφυρίῳ λέγεις ὁμολογεῖν, Πρόκλον δέ, τὸν αἰτιώτατόν σοι γενόμενον, σιωπᾷς, τὴν τοῦ πρῶτος ἐφευρηκέναι τὰ πλεῖστα δόξαν σεαυτῷ σοφιζόμενος. Ἀλλ' οἱ Πρόκλον ἀνεγνωκότες, ἅμα δὲ καὶ κατεγνωκότες, συνοίδασί μοι τὴν τῶν λόγων τούτων πηγήν. Εἶτα, τοῖς κατόχοις τῆς ἀληθείας, τοῖς ἀπλανεστάτοις ἐν πᾶσι ταύτης καθηγηταῖς, σοφιστείαν καὶ νεωτερισμοὺς ἐγκαλεῖς καὶ τὰ τοιαῦτα, καὶ διὰ τοῦτο αὐτοῖς οὐκ ἄν ποτε θήσεσθαι.

Τούτων τοίνυν ἐκ νεότητος ἀποστὰς καὶ τοῖς καλοῖς σου διδασκάλοις f. 107v τεθείς, οἷς ὁμολογεῖν ἰσχυρίζῃ, οὐδὲ τὰ ἐκείνων εἰδέναι πάντως ἠδύνασο, καὶ πότερον νεωτερίζουσιν ἀληθῶς αὐτοί, ἢ μᾶλλον τῇ πρώτῃ καὶ φυσικῶς ἐγκατεσπαρμένῃ περὶ τοῦ ἑνὸς Θεοῦ τοῖς ἀνθρώποις δόξῃ συνεστηκότες εἰσί, τὴν δ' ἐκ διαφθορᾶς τῶν ἀνθρωπίνων βίων τε καὶ γνωμῶν νεωτερισθεῖσαν πολυθεΐαν ἐκ Θεοῦ καὶ Λόγου φωτισθέντες τε καὶ ἰσχὺν λαβόντες ἀνεῖλον. Καὶ δι' αὐτό γε τῷ κριτηρίῳ τῶν σῶν Πατέρων, ὄντως

6 *γεννήσει* AC, *γενήσει* B 12 au nom *Ζωροάστρης* add C: *Τοῦτον τὸν Ζωροάστρην φλυαρεῖ Πλήθων, ἐκ Πλουτάρχου λέγων λαβεῖν καὶ ἄλλων ἱστορούντων πεντακισχιλίοις ἔτεσι γενέσθαι πρὸ τῶν Τρωϊκῶν* 23 *Ἰαβλήχῳ* B, *Ἰαμβλήχῳ* C 26 *μοι*: *σοι* C

ἀκριβεῖ τε καὶ θείῳ, τὸ σὸν ἀντανέστησας, οὐ τἄλλα μόνον διεφθορός, ἀλλὰ δὴ καὶ τῷ μηδὲν τῶν ἱερῶν μήτ' εἰδέναι μήτε βουληθῆναί ποτε μαθεῖν. Τοιούτῳ δὲ κριτηρίῳ μηδὲ περὶ τῶν ἐλαχίστων πιστεύειν δεῖν ἅπας ἀξιοῖ λόγος. Ἵνα δὲ σοφιστὰς τοὺς τῆς ἀληθείας καθηγεμόνας καλῶν δόξῃς τι λέγειν, καὶ τῶν ποιητῶν καθάπτῃ τῶν σῶν, καίτοι τῆς πολυθεΐας αὐτοὶ τοῖς σοῖς ἡγεμόσιν, οὓς ἀντὶ τῶν ἀληθῶν καὶ γνησίων προείλου, γεγόνασιν αἴτιοι· οἱ δὲ φιλοσοφήσαντες ὕστερον, ἐπὶ τὸ μεῖζον, ὡς αὐτοῖς ἐδόκει, μεταβαλόντες, εὐπρέπειάν τινα τῷ παρ' αὐτοῖς λόγῳ ταῖς ποιητικαῖς περὶ τῶν θεῶν σου τερατείαις ἐμηχανήσαντο. Οὐδὲν δὲ διαφέρει τῇδε ἢ ἄλλῃ τὰ τοιαῦτα συμπλάσαι, ἕως ἂν εἴτε ποιητικῶς, εἴτε φιλοσόφως συμπλάττοιτο· αἴσχιον μέντοι ποιητικῶς. Καὶ ἡμεῖς μὲν λόγοις ἀληθέσι μάλιστα πεπεισμένοι, περὶ ὧν φρονοῦμεν, ἔπειτα καὶ πολλαῖς ἐκ τοῦ θείου συνηγορίαις, ὥσπερ ἐπικουροῦντος τῇ εὐσεβεῖ δίψῃ τῶν ἀκριβῶς αὐτῷ προσεχόντων, ἐρείδομεν τὴν ἐκ τῶν λόγων ἐγγινομένην ἡμῖν πίστιν. Σὺ δέ, τὴν μὲν ἐκ Θεοῦ χορηγίαν συκοφαντῶν, τῶν δὲ λόγων οὔτ' ἔχων, οὔτε σπουδάσας λαβεῖν, ποιηταῖς δὲ τὴν ψυχήν, εἶτα μᾶλλον φιλοσόφοις, οὓς λέγεις, προσεσχηκώς, ὧν τοὺς μὲν καὶ σὺ κακίζειν δοκεῖς, τοὺς δὲ πολλοὶ καὶ γενναῖοι τῶν ἀληθῶν φιλοσόφων ἐξήλεγξαν λόγοι, καὶ πάντας ἔπεισαν ὡς λήρων καταφρονεῖν, ποῦ τὴν περὶ τοῦ τὰ ὄντα φρονεῖν ἱδρύεις ἐλπίδα νῦν, μετὰ τὴν τοσαύτην νέκρωσιν ἢ φυγὴν τῆς πολυθεΐας, μόνος αὐτὸς τὴν ὁδὸν ἐκείνης προῃρημένος; Ἐξετάζειν δὲ καὶ μανθάνειν δεῖν περὶ τῶν θείων, ὡς τοῦτο τῇ λογικῇ φύσει πρέπον, καὶ πάνυ καλῶς σοι λέγεται, ἀλλ' ἐξετάζοντας δεῖ προστίθεσθαι τοῖς ἀληθεστέροις, ὃ δύναιντ' ἂν μετὰ τοῦ θείου πράττειν καλῶς οἱ σοφίας μὲν παντοίας ἀρκούντως | μετε- f. 108 σχηκότες, διαλεκτικῆς δὲ ἐμπεπλησμένοι δυνάμεως, νοῦν δὲ μὴ θεωρητικὸν μόνον, ἀλλὰ καὶ πρακτικὸν ἔχοντες. Ἄνευ γὰρ τούτων, οὔτε δυνήσεταί τις ὁποίαις ἂν χρήσαιτο τῶν ἀρχῶν εἰδέναι καλῶς, οὔτε τι ἂν ἕποιτο ταύταις ἀπλανῶς ἐξευρίσκειν, ἀλλ' ἢ τιθέντες ἃ μὴ χρὴ τὴν ἀρχήν, ἢ καὶ χείρω ἐπισυνάπτοντες, οὐδ' ὡς ἂν συναφθεῖεν, σφᾶς τε αὐτοὺς πολλοὶ καὶ πλείους ἄλλους ἀποπλανῶσι τῆς ἀληθείας· ὃ καὶ σοὶ πρὸς τὴν περὶ τἀληθοῦς ζήτησιν ἄνευ παρασκευῆς ὡρμημένῳ πρεπούσης συνέβη.

Οὐ γὰρ τὸν χριστιανικὸν ἐξετάσας καὶ μαθὼν πρῶτον λόγον, εἶτα τὰς τῶν ἄλλων ἀνθρώπων μετεληλυθὼς δόξας, ἣν ἐκ τοῦ λόγου συμφωνοτέραν εὗρες ταῖς τῶν ἀρχῶν ἀληθεστέραις ἢ κοινοτέραις, ταύτῃ προσέδραμες· ἀλλ' ὃ τῶν τῆς πατρίου δόξης ἐχομένων, καὶ μετὰ λόγου, διαβάλλων κατηγορεῖς ἡμῶν, προκατειλῆφθαί γε φάσκων, τοῦτο σὺ πρὸς τὴν ὀθνείαν ἔπαθες δόξαν, πρὶν ἕξιν λαβεῖν ἐκ τέχνης καὶ φύσεως τοῦ κρίνειν ἔχειν περὶ τοιούτων. Τοιοῦτόν σε οἱ καλῶς εἰδότες ἱστόρουν· καὶ ἡμεῖς

---

10 *συμπλάττειν* C 15 *τὸν δὲ λόγον* M

ἔγνωμεν πολλάκις σοι συμβαλόντες, ὡς περί γε τοῦ ἀληθοῦς τῶν χριστιανῶν λόγου οὐδὲν εἶχες πλέον τῶν καθάπαξ ἀγροίκων, ἢ αὐτὸς εἰπεῖν, ἢ λεγόντων ἄλλων συνεῖναι. Ὅθεν, τῇ μὲν περὶ τὴν ζήτησιν τῆς ἀληθείας σπουδῇ δικαίως πάνυ συνηγορεῖς, τὸν δὲ τρόπον αὐτῆς ἐξ οἰκείας τε διαστροφῆς καὶ θείας ἐγκαταλείψεως οὐκ ἠξιώθης εὑρεῖν. Διόπερ, οὔτ' αὐτός τι τῶν ἄλλων ἀπολέλαυκας πόνων, καὶ ὧν ἐς τήνδε σοι τὴν συγγραφὴν κατεβάλου, οὔτε τῳ τῶν ἄλλων ἔσῃ λυσιτελής· ἐκστήσειας μὲν οὖν τινας ἴσως, ὑπ' ἀμαθίας ἢ πονηρίας ἄλλης ἡγεμόνι σοι χρησαμένους. Ὥστε σοι καὶ εἰκῇ πάντα νῦν ηὖκται· μᾶλλον δέ, οὐδ' εἰκῇ, ἀλλ' ἄξιον τοιούτων εὐχῶν ἐπηκολούθησέ σοι τῆς τε περὶ τοὺς λόγους ἐπιτυχίας καὶ τῆς τῶν ἐντευξομένων ὠφελείας τὸ πέρας.

Αὐτίκα γὰρ οὔτε κοινὴ πάντων, οὔτε θείων τινῶν, ὡς φής, μετὰ τὴν εὐχὴν ἀρχόμενος, ἀλλ' ἀτόπων ἀνδρῶν ἡ περὶ τῶν θεῶν σου γέγονε δόξα.
f. 108v Εἶναι μὲν γὰρ τὴν θείαν φύσιν, καὶ πάντων | αἰτίαν εἶναι τῶν ὄντων, κοινὴ σχεδὸν γέγονε δόξα. Διαιρεῖν δὲ τὴν τοιαύτην φύσιν εἰς πλῆθος τοσοῦτόν τε καὶ οὑτωσὶ διακεκριμένον ὀλίγων ἦν, οὓς εἵλου καθηγέμονας ἀντὶ τῶν πλείστων τε καὶ βελτίστων. Ἦν δέ ποτε καὶ πολλῶν· ἀλλ' ὑμεῖς οὐ τοῖς χυδαίοις, οὐδὲ ποιηταῖς, οὐδὲ σοφισταῖς προστίθεσθαι λέγετε, καίτοι μηδὲν καινότερον αὐτῶν ἀξιοῦντες, ἀλλ' ἐπιχρωννύντες μόνον εὐπρεπείᾳ λόγου τινὶ τὴν ἀλογίαν τῆς θέσεως. Δία γὰρ κἀκεῖνοι καὶ Ποσειδῶνα, καὶ Κρόνον, καὶ Ἥραν, καὶ Ἄρτεμιν, καὶ οὐρανίους, καὶ ταρταρίους, καὶ χθονίους, καὶ Τιτᾶνας, καὶ δαίμονας, καὶ ἄρρενάς τε καὶ θηλείας, καὶ γνησίους καὶ νόθους, καὶ τὰ τοιαῦτα ἐλήρουν, ἀτοπωτέρως μέντοι καὶ αἴσχιον ἢ οἱ ὕστερον μεταπλάττουσιν. Ἀλλ' οἱ τῷ ὄντι θεῖοι γεγενημένοι, σιωπῶ δὲ τοὺς ἄλλους, ἀλλὰ Μωσῆς ἐκεῖνος ὁ μέγας, περὶ οὗ ἐν πρώτῃ τῶν ἱστοριῶν ὁ Διόδωρος· „Μετὰ τὴν παλαιάν, φησί, τοῦ κατ' Αἴγυπτον βίου κατάστασιν τὴν μυθολογουμένην γενέσθαι ἐπὶ θεῶν καὶ ἡρώων, πρῶτον πεῖσαί φασιν ἐγγράφοις νόμοις χρῆναι βιοῦν Μωσῆν, ἄνδρα καὶ τῇ ψυχῇ μέγαν καὶ τῷ βίῳ ἱκανώτατον μνημονευόμενον," (τὰς γὰρ ἄλλας περὶ αὐτοῦ θεόθεν μαρτυρίας καὶ ἐξ ἀνθρώπων παρίεμεν νῦν), οὗτος τοίνυν ἐν δευτέρῳ τῶν νόμων βιβλίῳ φησίν· „Ἄκουε, Ἰσραήλ, Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι." Κἀν τῷ τῆς Ἐξόδου βιβλίῳ· „Οὐκ ἔσονταί σοι, φησί, θεοὶ ἕτεροι πλὴν ἐμοῦ," ὡς ἐκ Θεοῦ τὸν νόμον τοῦτον τιθείς. Ὁ δὲ μακάριος Παῦλος, ἐν τῇ πρὸς Ἐφεσίους ἐπιστολῇ· „Εἷς, φησί, Κύριος, μία πίστις." Οἷς ἀναρίθμητος ἑσμὸς ἐπακολουθεῖ θείων τε καὶ σοφωτάτων ἀνδρῶν, τὴν οὐράνιον ταύτην ἀλήθειαν καὶ λόγου κρίσει συμβεβαιοῦντες· καὶ τούτοις αὖ σύμπαν νῦν τῶν ἀνθρώπων πλῆθος ἀκολουθεῖ.

---

20 *λόγων* BM 30 *θεόθεν τε καὶ ἐξ ἀνθρώπων μαρτυρίας* AM 31 Deut. 6, 4
32 Exod. 20, 3 35 Eph. 4, 5 36-37 *κρίσει λόγου* C

Εἰ γὰρ τῷ Θεὸς ὀνόματι ἔσχατόν τι νοεῖται καὶ καθ' ὑπεροχήν, ἕνα τὸν Θεὸν εἶναι ἀνάγκη. Ἓν γάρ, οὐ πλείω, τὸ καθ' ὑπεροχήν τε καὶ ἔσχατον. Εἰ δὲ καὶ τελειότατον δεῖ τὸν Θεὸν εἶναι, ἕνα τυγχάνειν τοῦτον ἀνάγκη· οὐ γὰρ οἷόν τε πλείω εἶναι τὰ τέλεια, εἴπερ ἀδύνατον διακριθῆναι ἂν τοὺς πλείους θεοὺς τελείους ὄντας, οὐδενὸς σφίσιν ἐνδέοντος. Καὶ εἴπερ ἡ τῶν ὄντων διάκρισίς τε καὶ τάξις καὶ κυβέρνησις ἀρκούντως δι' ἑνὸς τοῦ πρώτου ποιοῦντος | γίνεται, πάντων τῇ δυνάμει διϊκνουμένου, f. 109 παρέλκον τε ἂν εἴη καὶ ἅμα οὐ βέλτιον διὰ πλειόνων αὐτὰ γίνεσθαι. Καὶ εἴπερ ἡ τῷ ὀνόματι τούτῳ σημαινομένη φύσις ἄτομός ἐστι καθ' αὑτήν, ἀμήχανον ἑτέρῳ ταύτην ἁρμόζειν· ὃ γὰρ ἀρχὴ τοῦ ποιεῖν ἐστιν ἄτομον, πλείοσιν οὐχ οἷόν τε κοινὸν εἶναι· καθ' ἕτερον δέ τι, καὶ μὴ καθ' αὑτό, τὴν θείαν φύσιν ἄτομον εἶναι οὐχ οἷόν τέ ἐστιν, ἵνα μὴ οὕτω δὴ καὶ σύνθετος ᾖ. Καὶ πολλοῖς ἄλλοις λόγοις καὶ τεκμηρίοις τὸ δόγμα τοῦτο δεικνύουσιν, ὧν ἁπάντων ἱκανώτατόν ἐστιν, ὅτι τῶν μὲν ἄλλων περὶ Θεοῦ λεγομένων ἕκαστον, μίαν τινὰ τελειότητα δήπου σημαῖνον, κατηγοροῖτ' ἂν ἁμηγέπῃ καὶ τῶν κτισμάτων, οἷς ἐκεῖθεν ἡ τελειότης ἐστίν, οἷον ἀγαθότης, σοφία, δύναμις, ἑνότης, καὶ τὰ τοιαῦτα· θεότης δὲ ταῖς τελειότησι πάσαις ὄνομα κεῖται, ἃς ἀδύνατον προσεῖναι πάσας ὁμοῦ, πλὴν τῆς πρώτης καὶ μόνης πάντων αἰτίας. Οὐδ' ἀθροίζει μόνον τὰς τελειότητας τὸ τῆς θεότητος ὄνομα, ἀλλὰ καὶ τὸν τρόπον συνάπτει, ᾧ ταύτας εἰς ἓν ἀθροίζεσθαι χρή· ᾧ γὰρ αἱ τελειότητες προσήκουσι πᾶσαι, τούτῳ καὶ ἀγεννήτως καὶ ἀπείρως καὶ ὑπερφυῶς, καὶ ὑπὲρ πάντα νοῦν τε καὶ λόγον, καὶ τελεώτατα, καὶ μόνῳ χρὴ προσήκειν αὐτάς· καὶ διὰ τοῦτο ἀγαθὸν μὲν ἔστιν εἰπεῖν ὁτιοῦν τῶν κτισμάτων, καὶ σοφόν, ᾧ τοῦτο προσήκει, καὶ ἄλλο, δυνατόν, ἀληθεύοντας· ἀναλογικῶς γὰρ ταῦτα καὶ τοῖς τοῦ Θεοῦ προσήκουσιν ἔργοις μετὰ τῆς ἐν τοῖς πράγμασιν ἀληθείας, καὶ τὰ ὀνόματα. Θεὸν δὲ οὐκ ἔστιν ἄλλον εἰπεῖν ἢ τὴν πάσης μὲν τελειότητος πληρεστάτην, πᾶσι δὲ λόγοις καὶ τρόποις ἀπειράκις ἀπείρως ὑπερκειμένην παντὸς ὁπωσοῦν ὄντος φύσιν. Πλείοσι δὲ φύσεσι ταύτης τῆς ὑπεροχῆς κοινωνεῖν οὐδ' ἂν αὐτὸς ὁ Θεὸς δύναιτο βουληθεὶς ἄν, καίτοι πᾶσαν φύσιν παράγων, μείζω τε καὶ ἐλάττω, μόνος αὐτός, ὥσπερ οὐδ' ἂν δύναιτο μὴ εἶναι Θεός, ἢ ὅλως μὴ εἶναι ὅπερ ἐστίν. Ἀλλ' οἱ τὸ θεῶν εἰσάγοντες πλῆθος τιθεῖσι ταῦτα μόνον ἁπλῶς, πρὸς τοὺς προτέρους οἱ ὕστεροι ἀναφέροντες, οὐ μᾶλλον αὐτοὶ σεμνυνόμενοι τῇ πρὸς ἐκείνους ἀναφορᾷ ἢ κἀκείνοις μεταδιδόντες τοῦ αἴσχους, μᾶλλον δὲ καὶ πολλῷ χείρους, ὡς αἰτιωτάτους | αὐτοῖς τῆς πλάνης δεικνύντες. f. 109v Καὶ σὺ γὰρ ἐνταῦθα λόγον οὐδένα περὶ τοῦ πλήθους διδούς, γεννᾷς μόνον, καὶ ὀνομάζεις, καὶ συντάττεις, καὶ διακρίνεις, καὶ συνοικίζεις αὖ πλῆθός τι θεῶν ἀμύθητον.

8 *οὐ*: *οὐδὲ* A   10 *ἀρχῇ* M   33 *τιθέασι* AM

Ὅτι δὲ οὐδεὶς ἂν ὑμῖν πρὸς ταῦτα λόγος παρείη, δῆλον ἐντεῦθεν συντόμως. Πῶς γὰρ οἷόν τε, διεστηκότας ἀμηχάνῳ ὅσῳ τῆς πρώτης αἰτίας, οὕς φατε θεούς, μὴ τοῦ Θεοῦ κτίσματα εἶναι καὶ δοῦλα; Κτίσματα δὲ ὄντας Θεοῦ, οὐχ οἷόν τε θεοὺς εἶναι, καὶ θεῶν ἄλλων δημιουργούς. Ἀντιφάσεις γὰρ ταῦτα, τῆς τοῦ Θεὸς ὀνόματος ἀκριβείας ὡς χρὴ τηρουμένης. Οὐδ' ἀλλήλων τηλικαύταις τε καὶ τοιαύταις διακρινομένους ὑπεροχαῖς καὶ ὑφέσεσιν, εὔλογον ἂν εἴη θεοὺς εἶναι καὶ καλεῖσθαι δεῖν οὕτω. Εἰ τοίνυν ἔργα τοῦ Θεοῦ καὶ αὐτοί γ' ἂν ἦσαν, καὶ τῆς θείας ἄνευ ἰσχύος, μήτ' ἂν γεγενημένοι, μήτ' ἂν ἄλλους προαγαγόντες, μήτ' ἂν δυνηθέντες ἐν τῷ παντὶ τῷδε καὶ ὁτιοῦν, ὥστ' εἶναι τὴν πρώτην αἰτίαν καὶ μόνην ὡς ἀληθῶς, ἧς τὸ δραστήριον ὡς δι' ὀργάνων τῶν ἀπ' αὐτοῦ πάντων μέχρι καὶ τῶν ὑστάτων διήκειν, τί σοι καὶ τοῖς σοῖς ἡγεμόσι τῶν τοιούτων πόνων ἐδέησεν, ὥστε συμπλάττειν ἀνάγκῃ μηδεμιᾷ τὰ πολλῆς ἀτοπίας γέμοντα;

Ἡμεῖς γὰρ οἱ τὸν ἀληθῆ καὶ θεῖον προϊστάμενοι λόγον, τὸν μὲν Θεὸν ἀμέσως πάντα δημιουργῆσαι φρονοῦμεν τὰ ὄντα, καὶ ἀμέσως αὐτὰ κυβερνᾶν τε ἐκεῖθεν καὶ προνοεῖν, ᾗ προσήκει πρώτῳ ποιοῦντι. Τὴν μέντοι τῆς θείας κυβερνήσεως ὑπουργίαν ὡς δούλοις καὶ τῶν κτισμάτων αὐτῶν ἀποδίδομεν, ὁπόσοις τοῦτο προσήκει, τῷ τε θείῳ προσήκειν ἀξιώματι τοῦτο καλῶς εἰδότες καὶ τῇ τοῦ παντὸς συμφέρειν ἑνότητι, καὶ τῇ τάξει τῶν ἐν αὐτῷ μερῶν, καὶ ταῖς ἑκάστου πρὸς ἕκαστον ὑπεροχαῖς καὶ ὑφέσεσιν οὐ μάτην ἐκ Θεοῦ δεδομέναις. Ὅθεν, συντόμως εἰπεῖν, ταῖς μὲν νοεραῖς καὶ πάντῃ σωμάτων κεχωρισμέναις οὐσίαις αὐτὸν ἀμέσως τὸν δημιουργὸν ἐφιστῶμεν, οὐκ ἄνευ τάξεως ἐξαισίου πρὸς αὐτὸν ἀνατεινομέναις καὶ τὰ θεῖα μυουμέναις προστάγματα περὶ τῆς τοῦ παντὸς διοικήσεως· ἣν εὐταξίαν αὐτῶν, ἐκ Θεοῦ δι' αὐτῶν ἀποκαλυφθεῖσαν ἴσμεν ὡς οἷόν τε καλῶς. Τοῖς
f. 110 δ' οὐρανίοις σώμασιν ἐνίας ἐφιστῶμεν αὐτῶν, ἃς οὐρανῶν καλοῦμεν | δυνάμεις, οὔσας μέν τοι μὴ φύσεων αὐτῶν αἰτίας οὐδὲ τοῦ πεφυκέναι τῇδε κινεῖσθαι, τῷ δὲ συνεχεῖ τῆς κινήσεως συνεργοὺς τρόποις εὐσεβῶς τε καὶ σοφῶς νοουμένοις. Τῶν δὲ γενητῶν τουτωνὶ τοῖς μὲν ἄλλοις, οὐρανόν τε καὶ πᾶν ὑπ' αὐτὸν σῶμα, ἄλλο ἄλλως, οὐ τοῖς διαφέρουσι μόνον, ἀλλὰ καὶ τοῖς αὐτοῖς συμβαλλόμενα πρὸς τὸ γίνεσθαί τε ὡδὶ καὶ εἶναι, ἕως ἂν ᾖ. Ἀνθρώπων δὲ τῷ μὲν γηΐνῳ αὐτὰ δὴ ταῦτα οὐκ ἄνευ τῆς τῶν ἀσωμάτων ἐπιπλοπῆς, ἐπειδάν ποτε καὶ τῆς δι' αὐτῶν προνοίας ἄξιον ᾖ διὰ τὴν ἀξίαν τοῦ συνημμένου καὶ χρείαν· αὐτῷ δὲ τῷ βελτίονι καὶ ἀθανάτῳ καὶ χωριστῷ τὰς ἀσωμάτους ἐφιστῶμεν οὐσίας μόνας, οὐκ ἄνευ Θεοῦ, οὐχ ὅπως γένοιτό τε καὶ ἐν σώματι εἴη (τοῦτο γὰρ Θεοῦ μόνον ἔργον), ἀλλ' ὅπως ἄμεινον δύναιτο βιοῦν, ἐπιμελομένας. Ἀλλ' οὔτε τι αὐτῶν ὀνόματος ἀξιοῦμεν οὔτ' ἔργου μηδαμόθεν σφίσι προσήκοντος, οὔτ' εἰς τὸν ἕνα

---

9 *γεγεννημένοι* A *παραγαγόντες* M 13 *συμπλάτιν* M 29 *γεννητῶν* A

παρανομοῦμεν Θεόν, τὴν ὑψηλοτάτην ἐπωνυμίαν χραίνοντες τῷ καταβιβάζειν ἔνθα μήτ' ἀληθὲς μήθ' ὅσιον, καὶ τῇ κοινωνίᾳ τῆς ἐπωνυμίας καὶ τὰς εἰς τὸν Θεὸν τιμὰς συμμερίζειν τοῖς δούλοις, καὶ δημιουργοὺς ἀλλήλων καὶ πατέρας ποιεῖν, καὶ τοῦ παντὸς τοῦδε δημιουργούς, καὶ γενῶν διακρίσεις καὶ συνουσίας, καὶ ἁρπαγὰς καὶ ἔρωτας καὶ τὰς ἄλλας φλυαρίας τῇ θείᾳ φύσει προσάπτειν, ἃ μετὰ τῶν ἄλλων οὐδὲ σὺ λέγων αἰδῇ καὶ νομοθετῶν.

Ἀλλὰ φαίης ἂν καὶ τὴν ἡμετέραν Γραφὴν τῷ πλήθει τῶν θεῶν συγχωρεῖν, λέγουσαν· „Θεὸς θεῶν Κύριος ἐλάλησε·" καί· „Οὐκ ἔστιν ὅμοιος σοι ἐν θεοῖς, Κύριε·" καί· Ἐγὼ εἶπα, θεοί ἐστε." Πολλοῦ γε καὶ δεῖ ταυτὶ συγχωρεῖν. Ἐλαύνει μὲν οὖν πανταχοῦ, καὶ ἡμεῖς ὡς ἐλαυνούσῃ προσέχομεν· ἐκεῖνα δὲ νοοῦμεν, ὡς ἂν νοοῖτο δήπου καλῶς, εἰδότες δόγμα τε διακρίνειν καὶ λόγων οἰκονομίαν ἢ συνηθείᾳ, ἢ χρείᾳ χαριζομένην. Τοῖς γὰρ ὁμωνύμοις καὶ μεταφορικοῖς χρώμεθα μὲν πολλαχοῦ, τῆς χρείας καλούσης· ὡς εἴ τις λέγοι τὸν ἀρετῇ καὶ πλεονεκτήμασιν ἐν τῷ τῶν ἀνθρώπων διαλάμψαντα βίῳ καὶ πολλοῖς ὠφέλιμον γεγονότα ἥλιον εἶναι, ἢ ἄλλον ἥλιον, ἢ δεύτερον ἥλιον· · ἀλλ' οὐδεὶς νοῦν ἔχων, ἐντεῦθεν ἑλών, ἡλίους, ἂν πολλοὺς πλάσειε, κοινωνοῦντάς τέ πη τῇ φύσει καὶ αὖ | διαλλάττοντας, ἵνα τήν τε χείρω βούλησιν ἐκπληρώσῃ f. 110v τὴν ἑαυτοῦ καὶ μηδὲ δόξῃ τοῖς ἐκδήλοις καὶ ἀληθέσι πάνυ μαχόμενος. Παιζόντων γὰρ τὰ τοιαῦτα μᾶλλον ἂν εἴη· μὴ χρῆναι δὲ παίζειν ἐν οὐ παικτοῖς. Καὶ εἰ περὶ πάσης ὕλης φιλοσοφοῦντας γνησίως χρὴ τὰ τοιαῦτα φυλάττεσθαι, πῶς ἂν εἴη δίκαιον τὴν ἱερὰν τοὺς ἀνθρώπους κιβδηλεύειν θεολογίαν, ἵνα μὴ μόνον ψευδολογῶσι τὰ περὶ τῶν θείων, τὰς λέξεις ὥσπερ οἱ σοφισταὶ συναρπάζοντες, ἀλλὰ καὶ πολλὰ μὲν βλασφημεῖν, πολλὰ δὲ ἀσεβεῖν ἐντεῦθεν προάγωνται, ἐπὶ ψευδοῦς θεμελίου τὰ ἄλλα ἱδρύοντες. Ἡ μὲν οὖν ἱερὰ Γραφή, τῇ τῶν πολλῶν ἀσθενείᾳ συγκατιοῦσά ποτε, καὶ ἐπὶ τῶν κτισμάτων καταχρῆται ταύτῃ τῇ λέξει, ὅσα τῶν ἄλλων ὑπερέχει τρόπῳ τινί, ἢ τῇ διοικήσει τῶν ὑποδεεστέρων κατὰ τὴν βούλησιν τῆς πρώτης αἰτίας, ἢ τῇ κοινωνίᾳ τῆς θείας μακαριότητος, ἢ τῇ τῆς σοφίας ὑπεροχῇ καὶ τῶν ἄλλων ἀγαθῶν ἐν τῷδε τῷ βίῳ, διὰ ταυτησὶ τῆς προσηγορίας πρὸς τὴν ἐπιμέλειαν τῆς κατὰ λόγον τε καὶ νόμον ζωῆς, δι' ἧς ὡς ἐφικτὸν τῇ ἀνθρωπίνῃ φύσει, πρὸς τὴν θείαν ἀφίξονται κοινωνίαν, τὰς τῶν ἀκουόντων διανοίας ἐπαίρουσα. Τί δὲ τούτῳ κοινὸν πρὸς τὰς ἐκτόπους θεοπλαστίας, αἷς ὑμεῖς ἐναυχεῖτε;

Ἴδωμεν δὲ καὶ περαιτέρω σου τὴν σοφίαν. Κοινὴν εἶναι φὴς δόξαν τὸ πλείους εἶναι θεούς. Ἀλλὰ δῆλον μὴ εἶναι δόξαν τοῦτο κοινήν. Ἔμελλες ἂν οὖν εἰκότως ἀποδεικνύειν, ἀλλ' οὐ δεικνύεις. Τοῦτο δέ ἐστι τὸ πάνυ

---

3 *τὸν* om C 8 Ps. 49, 1 Ps. 85, 8 9 Ps. 81, 6 30-31 *προσηγορίας*: *οἰκονομίας* A

ζητούμενον ἐκ πολλοῦ τοῖς ἀνθρώποις, ἐπεὶ καὶ σὺ τὴν κοινὴν δόξαν πάλιν εἰσάγεις οὐκ εἶναι κοινήν, τὰς περὶ τοῦ θείου διαφορὰς ἐκτιθέμενος, εἶτα τιθείς, ὥσπερ νομοθετῶν, πλείους μὲν εἶναι θεούς, οὐ τοὺς αὐτοὺς δὲ θεότητι· ἀλλ' ὥσπερ εἰ μή εἰσι θεότητι θεοί, οὐδ' ἂν θεοὶ εἶεν, οὕτως εἰ μὲν τῇ αὐτῇ πάντες εἰσίν, ᾧ ἕποιτ' ἂν καὶ αὐτοὺς εἶναι θεοὺς τοὺς αὐτούς, τῇ αὐτῇ θεότητι εἰδοποιουμένους, ἀδύνατον ἕνα τινὰ διαφέρειν τῶν ἄλλων τῇ φύσει, καὶ ἀμηχάνῳ ὅσῳ διαφέρειν, ὡς φὴς εἶτα καὶ τοὺς ἄλλους σχεδὸν ἀλλήλων οὑτωσὶ διακρίνεσθαι· τοῖς γὰρ ἑνὸς κοινωνοῦσιν εἴδους ἀδύνατον τηλικαύτην ἐνυπάρχειν διαφοράν, ἀλλὰ συνωνύμως δεῖ f. 111 κατ' αὐτῶν | τοὔνομα λέγεσθαι. Φύσει δὲ μὴ διαφέροντες ἀλλήλων, ἢ οὐδὲ διοίσουσιν ὅλως, ἢ συμβεβηκόσι διοίσουσιν, ὧν τῷ μὲν ἕπεται μηδὲ εἶναι ὅλως οὔτε πλείους, οὐθ' ἕνα· τῷ δὲ πλεῖστα ἄλλα τοιαῦτα ἀκολουθεῖ. Εἰ δὲ μὴ τῇ αὐτῇ θεότητι, δῆλον, ὡς ὁμωνύμως οὕτω καλοῦνται. Ἢ τοίνυν ἅπαντες ὁμωνύμως οὕτω καλοῦνται, καὶ οὐδείς ἐστι κυρίως καὶ ἀληθῶς θεός, καὶ ἢ ἄλλοθί που αὖ ἡ ἀληθὴς θεότης ἐστίν, οὐκ ἐν αὐτοῖς πᾶσιν ὁμοῦ, ἢ εἰκῇ οὕτω καλοῦνται, καὶ οὔτ' ἐν αὐτοῖς οὔτ' ἄλλοθί που θεότης ἐστὶν ἀληθής· ἢ εἰ ταῦτ' ἀδύνατα, εἷς μὲν ἔστιν ᾧ προσήκει μοναδικῶς τοῦτο τοὔνομα καὶ κυρίως, αὐτὸς δέ ἐστι καὶ μόνος Θεός, καὶ ἄλλος οὐδείς. Αὐτὸς γὰρ οὐ μόνον οὐκ ἔσται ἄλλοις ὁ αὐτὸς τῇ θεότητι, ἀλλὰ καὶ τῇ αὐτοῦ θεότητι ὁ αὐτὸς ἔσται τῷ ταὐτὸν εἶναι δεῖν ἐν τῷ Θεῷ τό τε ὑποκείμενον καὶ τὴν φύσιν ἤτοι τὸ εἶδος, ἵνα μὴ σύνθετος ᾖ. Ταὐτὸν δὲ εἰπεῖν, τῇ θεότητι ὁ αὐτὸς ἔσται διὰ τὰ εἰρημένα, καὶ εἷς ἔσται μόνος Θεὸς καὶ μία θεότης οὕτω.

Εἰ τοίνυν εἷς ἐστι Θεός, καὶ μάλιστα εἷς διὰ τὴν ἄκραν ἁπλότητά τε καὶ τελειότητα, οὐχ οἷόν τε πλείους εἶναι θεοὺς οὐδεμιᾷ μηχανῇ, οὔτε τοὺς αὐτοὺς αὑτῷ καὶ ἀλλήλοις θεότητι, οὔτε οὐ τοὺς αὐτούς. Πῶς δ' ἠγνόηκας, ἄνθρωπε, ὅτι πᾶσα ἡγεμονία τῆς ἑνότητος ἐφίεται φύσει; Ὅθεν κἀν ταῖς ἀρχαῖς ἰσχυρότατον ἅμα δὲ καὶ χρησιμώτατον ἡ βασιλεία ἐστίν, ἔννομος τυγχάνουσα μοναρχία· καὶ πολλοὶ μὲν ὑπηρετοῦνται τῷ βασιλεῖ, δι' ὧν τὴν ἀρχὴν αὐτὸς κατακοσμεῖ πᾶσαν, ἀλλ' οὐδεὶς αὐτῶν οὔτ' ἔστιν οὔτε λέγεται βασιλεύς, πλὴν αὐτοῦ. Κἂν τῷ σώματι δέ, πλειόνων ὄντων μελῶν, μία μόνη ἐστὶ κεφαλή. Καὶ ἐπὶ πάντων ἁπλῶς τῇ ἀρχῇ καὶ τῷ πρώτῳ ἡ ἑνότης οἰκείως ἀνταποκρίνεται· καὶ διὰ ταῦτα πολλῷ μᾶλλον δεῖ τὸν Θεόν, πάντων αἴτιον ὄντα, καὶ ἕνα μόνον ὁμολογεῖν, ᾧ καὶ πρὸς τὰ μέγιστα καὶ τιμιώτερα τῶν ἔργων αὐτοῦ ἄπειρός ἐστιν ἡ ὑπεροχή· οὐ γὰρ τάξει μόνῃ καὶ αἰτίᾳ προέχει, τἄλλα σύμφυτος ὤν, ὡς τοῖς μέλεσιν ἡ κεφαλή, ἢ τῆς αὐτῆς τυγχάνων οὐσίας, ὥσπερ τοῖς βασι-

13-14 *Ἢ τοίνυν — καλοῦνται* om C **17-18** *μοναδικῶς* corrige de *συνωνύμως* BC, *συνωνύμως* A **23** *μόνος* om A, en interligne après *Θεὸς* B **30** *αὐτῶν* om AC, ajouté en marge B **33** *καὶ τῷ πρώτῳ* om A, en interligne B

λευομένοις | ὁ βασιλεύς, ἀλλ' ὡς οἰκοδόμος ἔχει πρὸς τὴν οἰκίαν, ὁμοιουμένην τῷ ἐν αὐτῷ εἴδει τῆς θελήσεως καὶ τῆς τέχνης, καὶ πολλῷ θειότερόν τε καὶ ὑψηλότερον. Διὸ ποιεῖ μέν ποτε ὁ τέκτων καὶ τὸ τῆς τέχνης ὄργανον, χρῆται δὲ γενομένῳ πρὸς ὃ δήπου γέγονεν ὑπ' αὐτοῦ· ἀλλ' οὐχὶ καὶ τὴν οἰκοδομικὴν ἐντίθησι δύναμιν, οὐδὲ τέκτονα ἄλλον αὐτὸ ποιεῖ, οὔτ' ἴσον, οὔτ' ἐλάττονα ἑαυτοῦ. Οὕτω καὶ ὁ Θεὸς ποιεῖ μὲν τῇ ἀγαθότητι καὶ τῇ βουλήσει ἄλλα ἄλλων τιμιώτερα κτίσματα, ὧν τοῖς ὑψηλοτέροις καὶ πλέον τὸ αἰτιῶδες δίδωσι καὶ δραστήριον· ἀλλ' οὐ θεοὺς ἄλλους ταῦτα ποιεῖ, οὐδ' ἄλλους δημιουργούς, οὐδὲ φύσεων ὅλως παραγωγούς· ὀργανικὸν γὰρ αὐτοῖς καὶ ὑπουργικὸν τὸ αἰτιῶδες ἐντίθησιν, οὐχ ἣ προσήκει δημιουργοῖς. Θεοὶ δ' ἂν ἦσαν, ὡς ὑμεῖς βούλεσθε δήπου, εἰ τῇ ὁδῷ τῆς φύσεως προῆγεν αὐτούς· οὕτω δὲ προηγμένοι, κἂν ὅμοιοι παντάπασιν ἦσαν τῷ προαγαγόντι καὶ οἱ αὐτοὶ τῇ θεότητι, αὐτοῦ μὲν τῷ προῆχθαι διαφέροντες μόνῳ, ἀλλήλων δὲ τῇ ταξει τῆς προαγωγῆς, ὡς ἐπὶ πάντων ἔχει τῶν συνωνύμως τι προαγόντων, καὶ τῷ εἴδει τῆς φύσεως. Ἀλλὰ καὶ οὕτως ἀδύνατον πλείους ἂν εἶναι θεοὺς πολλῶν εἵνεκα. Σὺ δὲ καὶ τῇ ταυτότητι τῆς τε φύσεως καὶ βουλήσεως ἐν Θεῷ κατακέχρησαι πρὸς τὸ δεῖξαι τὰ τῆς θείας βουλήσεως ἔργα τὰ αὐτὰ καὶ τῆς θείας φύσεως εἶναι καρπούς· εἶτα τοὺς καρποὺς τῆς θείας φύσεως διακρίνεις αὐτῆς τῇ φύσει· εἶτα καὶ οὕτω δίδως αὐτοῖς τὰ τῆς θείας ἐξαίρετα φύσεως, καὶ θεοὺς καὶ ἄρχοντας τῷδε τῷ παντὶ ἐφιστᾷς, οὐ μόνον τὴν σὴν πολυθεΐαν βεβαιῶν οὕτως, ὡς οἴει (ἀκυροῖς δὲ μᾶλλον οὕτω, καὶ ἄκυρον οὖσαν), ἀλλὰ καὶ τῇ ἡμετέρᾳ πίστει μαχόμενος. Ἀγνοεῖς δὲ ὡς ἡ φύσις καὶ ἡ βούλησις ἐν Θεῷ διακέκρισθον εἰδικῶς καὶ τῇ φύσει τοῦ πράγματος. Διὸ καὶ δύνανται προάγεσθαι δι' αὐτῶν διακεκριμένα τῇ φύσει καθάπαξ, τῆς ἐν τῷ αἰτίῳ κουφοτέρας διαφορᾶς ἐν τοῖς αἰτιατοῖς εἰς πλεῖστον ὄγκον ἠκούσης, καὶ μηδὲ τὴν θείαν ἁπλότητα παραβλάπτεσθαι. f. 111 v

Ἃ δὲ περὶ τῶν θεῶν σου συνείρεις λοιπόν, τοὺς μὲν λέγων αὐτοῦ Διὸς | παῖδάς τε καὶ ἔργα, ὧν δὴ πρῶτον εἶναι τὸν Ποσειδῶ, τοὺς δὲ παίδων τε παῖδας καὶ ἔργων, καὶ τοὺς μὲν ἄρρενας, τὰς δὲ θηλείας, καὶ νόθους τε καὶ γνησίους, καὶ ὀνόματα τούτων τιθείς, καὶ τάξεις ὑπέρ τε οὐρανὸν αὐτὸν κἂν τῷ παντὶ τῷδε, καὶ δράσεις, ταῦτα, πρὸς τῷ μηδὲν αὐτῶν τοῖς πρέπουσι περὶ Θεοῦ λογισμοῖς συμφωνεῖν καὶ ἄλλως ἀδύνατά τε καὶ ἀσύστατα εἶναι, ἔτι καὶ σὺν οὐδεμιᾷ τίθενται προφάσει γοῦν ἀποδείξεως, ἀλλ' ὡς ἄν τις ἀκούσειέ του μύθους ἢ ὀνείρους διηγουμένου. Ὅθεν, εἴ τις αὐτὰ διελέγχειν βουληθείη καθ' ἕκαστα, ἴσον ποιήσει τῷ πρὸς μύθους ἢ ὀνείρους ἀγωνίζεσθαι βουλομένῳ. Θεμελίοις δὲ τοιούτοις f. 112

2 *θελήσεως*: *βουλήσεως* AM 12 *αὐτούς*: *αὐτός* M 16 *ἕνεκα* AM 25 *τῇ αἰτίᾳ* ABCM, mais C corrige en *τῷ αἰτίῳ* 31 après *νόθους τε* le reste manque dans C, les feuillets ayant été enlevés 30 *ἢ*: *καὶ* A

καὶ ὅμοια δι' ὅλου σοι τοῦ συγγράμματος ἐποικοδομεῖς, ὧν χείρω τὰ τελευταῖα, καὶ μηδ' ἀκοαῖς εὐσεβῶν ἀνεκτά. Ἀλλ' οἱ μὲν σοφοί σου καθηγεμόνες ἕξουσί τινα καὶ καταφυγήν· οὔπω γὰρ τοῦ θείου φωτὸς τὴν ἀνθρωπίνην τότε καταλάμψαντος φύσιν, πειρώμενοι τῆς ἀληθείας, τὸ μὲν ἄκοντες, τὸ δ' ἑκόντες διήμαρτον.

Φαμὲν δὲ ἑκόντες, ὅτι τὰς τῶν ἰδιωτῶν εὐθὺς προεστήσαντο γνώμας, οὐκ αὐτοὶ πρῶτοι σφίσιν εὑρόντες ἐξέδωκαν ἃ δέοι γ' ἂν περὶ τοῦ θείου φρονεῖν. Καὶ πρῶτον μὲν τοῖς στοιχείοις οὕτως ἀπεδόθη τὸ σέβας· εἶτα τοῖς ἄστροις ὑπ' ἄλλων, εἶτ' οὐρανῷ, εἶτα προϊόντων, ψυχαῖς, ἃς συνῆψαν ἐκείνοις τοῖς σώμασιν, οὐρανῷ τέ φημι καὶ τοῖς οὐρανίοις, εἶτα φύσεσιν ἄλλαις, σωμάτων πάντῃ κεχωρισμέναις· οἱ δ' ὕστεροι πάντα μίξαντες, Θεὸν μὲν ἕνα ὑπεριδρύουσι λόγῳ καὶ τῷ δοκεῖν, ὑπ' ἀληθείας ἠναγκασμένοι, τὰ δ' εἰρημένα πάντα συντάττουσιν αὐτῷ, καὶ θεότητος αὐτῷ καὶ δημιουργίας καὶ παντὸς ἀξιώματος θεοὺς μερίτας ποιοῦσιν, εἶτα καὶ τὰς ἄλλας συνάπτουσιν ἀτοπίας· οὐ γὰρ ἠδύναντο χωρίζειν ταύτας τῶν ἄλλων, ἐξ ὧν τὴν ἀρχὴν ἐκεῖνα εἰλήφει. Ἐκεῖνοι μὲν οὕτω. Σὺ δὲ τί παθών, ἄνθρωπε, τὴν ἀληθῆ θεολογίαν πάτριον ἔχων, ἐπὶ τὴν ἀσύστατον μᾶλλον ὥρμησας φλυαρίαν, καὶ ταύτῃ τὴν ὅλην σπουδὴν ἀπέδωκας; Τί, τῆς ἀληθείας ἅπασαν καταυγασάσης τὴν γῆν, αὐτὸς προείλου τὸ σκότος; Τί σαπροῖς καὶ φυγάσι καὶ πολλαχόθεν ἐληλεγμένοις καὶ μηδεμίαν ἰσχὺν ἔτ' ἔχουσιν ἐν ταῖς ἀνθρωπίναις ψυχαῖς προσέθου δόγμασιν, | f. 112v ὥσπερ σοὶ μόνῳ τῶν Ἑλληνικῶν πεφυλαγμένων βιβλίων, ἅ, τῆς φωνῆς τε χάριν καὶ τοῦ μενόντων ἐλέγχεσθαι μὲν τὴν ἀτοπίαν αὐτῶν, τὴν καθαρειότητα δὲ τῆς κατὰ Χριστὸν ἀναλάμπειν θεολογίας, ἔσωζον οἱ Πατέρες ἡμῶν, πάνυ καλῶς εἰδότες, ὡς οὐδεὶς ἔσται λίαν ἁπλοῦς, ὥστ' ἀντὶ τοῦ καταγνῶναι, μᾶλλον ἀσπάσασθαι. Τίς ἀπολογία σοι πρὸς τὸν τῆς ἀληθείας ἔφορον ἔσται καὶ πᾶσαν ἀληθείας καὶ νοῦ μετέχουσαν δίκην, ἐκ μέσης τῆς σωτηρίας πρὸς τὸν βόθρον αὐτομολήσαντι, εἶτα καὶ προσδοκήσαντι μόνῳ τὴν τοσούτοις ἔτεσι τεθνηκυῖαν πολυθεΐαν ἀναστήσειν αὖθις, καὶ ὅσα κατὰ τῆς σῆς ψυχῆς προσεδόκησας; Ἦπου γάρ, εἰ οἷός τε ἦσθα, καὶ τῶν δεινῶν ἂν ἐκείνων τυράννων ἐμιμήσω τὴν βίαν καὶ τὴν τῶν μαρτυρίων ὁδὸν χριστιανοῖς αὖθις ἀνῆκας ἄν. Μᾶλλον δὲ καὶ πέπραχας ἅπαν τὸ ἐπὶ σοί· ἐν μιᾷ γὰρ τῶν ὑστάτων σοι ὑποθέσεων καὶ κτείνειν νομοθετεῖς τοὺς τοῖς νόμοις τούτοις ἀντιλέγειν βουλησομένους, οὐ τοῦτο μόνον ὁμοιωθεὶς τῷ τὴν προφητῶν καὶ νομοθετῶν ἁρπάσαντι τάξιν παραχωρήσει Θεοῦ, ἀλλὰ κἂν τοῖς περὶ τῶν γάμων λόγοις, καὶ στρατειῶν, καὶ θυσιῶν, καὶ τροφῶν, καὶ ποτῶν, καὶ εὐχῶν, καὶ πολλῶν ἄλλων, καὶ τῷ σκοπῷ πρὸ πάντων τοῦ ἐγχειρήματος, καίτοι δυσὶ τοῖς μεγίστοις κἀκεῖνός σου πάνυ πλεονεκτεῖ· Θεόν τε γὰρ ἕνα μόνον διδάσκει, οὔτε τοῖς ἄλλοις ἡμῶν δόγμασι πάνυ τοι μάχεται, καὶ τὴν ἀρχὴν εἶχε συμπράττουσαν τῷ τολμήματι, καὶ τὴν ἰσχὺν τοῦ χρῆσθαι τῷ ξίφει,

καὶ τὴν δύναμιν τοῦ κατορθώσειν πρῶτον λαβών, οὕτως ἤλπισεν ἀνύσειν ὧν ἐπεθύμει· ὥστε σοῦ ταύτῃ καὶ φρονιμώτερος ἦν.

Σὺ μὲν ἄρα θρήνων ἄξιος πᾶσι τοῖς εἰδόσι τε καὶ πεφιληκόσιν, ἐν οἷς καὶ ἡμεῖς ἐσμεν, μαρτυροῦντος ἡμῖν τοῦ Θεοῦ, δι' ὃν σοι μόνον εὐλαβῶς προσεκρούσαμεν, ἄλλως ἐπαινοῦντές τε καὶ τιμῶντες. Τὸ δὲ σὸν βιβλίον ἀφανιστέον, μὴ καὶ ἄλλοις ἴσως τοῦ θρηνεῖσθαι πρόφασις γένηται, καὶ τῷ συγγεγραφότι διηνεκοῦς ἀδοξίας, χερσὶν εἰδότων ἐμπῖπτον.

Ταῦτα πρὸς ἐκεῖνον ὥσπερ δὴ παρόντα εἰπὼν καὶ τὸ βιβλίον αὖθις συμπτύξας, ἀνέπεμψα τῇ θαυμαστῇ βασιλίδι, ἐπιστείλας αὐτῇ διδόναι πυρί. Ἡ δὲ αὖ πρὸς ἡμᾶς ἀναπέμψασα, ἡμῖν ἔφη | μᾶλλον πολλαχόθεν f. 113 προσήκειν τὴν εἰς τὰς τῶν ἀποστατῶν συγγραφὰς ποινὴν κατεργάζεσθαι. Ἐβουλόμεθα μὲν οὖν εὐθὺς ἔνια τοῦ βιβλίου μέρη φυλάξαι, ὅσα φυσικῇ τε καὶ λογικῇ καὶ ταῖς τοιαύταις ὕλαις ἀνῆκον· ἀλλὰ καὶ δεύτερον τούτου χάριν ἐπιδραμόντες, οὐδεμίαν τῶν ὑποθέσεων εὕρομεν ἀπηλλαγμένην κακοῦ οὐ μόνον τῷ πάντα πρὸς τὴν πολυθεΐαν ἐξεπίτηδες ἀναφέρειν, ἀλλ' ὅτι καὶ ψεῦδός τι τοῖς περὶ πάντων λόγοις ἐγκατεμέμικτο. Περὶ ψυχῆς γὰρ λέγων ἀθανασίας, τὰς εἰς τὸ σῶμα καὶ τὸν βίον ἐπανόδους αὖ τῶν ψυχῶν ἐν χρόνων τακταῖς περιόδοις, ὡς δύναται, κρατύνειν πειρᾶται, ἃς οἱ πολλοὶ μετεμψυχώσεις φασίν, καὶ εἰς τὸν οὐράνιον τόπον οὐδέποτε ταύτας ἀνάγεσθαι ἀξιοῖ, καὶ χείρω ἄλλα προστίθησιν. Οἰκονομίας δὲ πέρι πραγματευόμενος, ἑνὶ ἀνδρὶ πλείους γυναῖκας ἀξιοῖ συνάπτεσθαί τε καὶ συνοικεῖν. Καὶ οὐδὲν ὅ τι οὐ φαυλότητος εἰς τὸν ἀνθρώπινον εἰσάγει βίον. Ὅπου τέ τινος τῶν ἡμετέρων ἐθῶν ἢ νόμων ἀντιπράττοντος αἴσθοιτο τοῖς αὐτοῦ, ὡς σοφιστῶν καὶ γοήτων κατηγορεῖ καὶ ἀφρόνων, τῶν τε θεμένων, τῶν τε προσεχόντων αὐτοῖς. Καὶ πάσας αὐτῷ τοῦ βιβλίου τὰς ὑποθέσεις πολλῆς κατὰ χριστιανῶν πικρίας ἀνέπλησε, λοιδορῶν τὰ ἡμέτερα, οὐκ ἀντιλέγων, ὥσπερ τὰ οἰκεῖα τιθείς, οὐκ ἀποδεικνύων. Ὅθεν οὐδὲν τοῦ βιβλίου μέρος ὕστερον ἔδοξέ μοι καταλειπτέον εὐσεβῶν ὄψεσιν, ὠφέλειαν μὲν οὐδεμίαν, σκάνδαλον δὲ ταῖς αὐτῶν ψυχαῖς ἐνθεῖναι δυνάμενον. Τὸ δὲ καὶ χωρὶς τῶν ἀτόπων τούτων παρενθηκῶν μηδὲν ἀκοαῖς σοφαῖς πρέπον ἐνεῖναι ταῖς ὑποθέσεσιν, ἀλλὰ παχυτάτης φρενὸς τυγχάνειν ἅπαντα τόκους, ὅθεν μηδενός τινος ἀγαθοῦ στέρησιν ἐπενεγκεῖν ἂν ἀνθρώποις τὴν τοῦ βιβλίου φθοράν, τοῦτο φειδοῖ τῶν ἀνοήτων λέγειν οὐ χρή.

Διὰ ταῦτα τε τοίνυν καὶ ὅτι οὐ πατρόθεν τοιοῦτος ἦν, ἀλλ' ἀποστάτης, καὶ ὅτι πάνδεινος ἀγροικία τὸ ἡμέτερον νῦν ἔχει γένος, οὐκ ἀφανισμοῦ μόνου χάριν, ἀλλὰ ποινῆς εἵνεκα μάλιστα, δοθῆναι πυρὶ πεποιήκαμεν τὸ βιβλίον. Ἦν δ' ἅπαν χειρὶ γεγραμμένον ἐκείνου. Τοὺς τῶν ὑποθέσεων πίνακας μόνους ἀφήκαμεν ταῖς σανίσι μένειν προσδεδεμένους, καὶ τοὺς

9 *βασιλίσσῃ* AM 13 *ἀνήκει* M 26 *ἐνέπλησε* M 34 *τε* om M 37 *Τοὺς τῶν ὑποθέσεων — ἐγίνετο* [p. 172, l. 3] dans la marge inférieure A, en marge B, om M

ὕμνους πρὸς τῷ τέλει τῶν ἐκείνου θεῶν, ὅπως, σῳζομένων αὐτῶν, μηδεὶς ἔχῃ ποτὲ τῆς ἡμετέρας καταψεύδεσθαι κρίσεως· τὸ δ' ἄλλο πᾶν ἀποσπασθὲν ἐπαφείθη πυρί, καὶ πολλῶν ἐπ' ὄψεσι ταῦτα ἐγίνετο. Ἐπεὶ δὲ καὶ λίαν εἰκὸς ἀλλοθί που τὸ ἴσον ὑπάρχειν, ὑπό του τῶν ἐκείνῳ φοιτη-
f. 113v σάντων ἢ ζῶντος, ἢ τελευτήσαντος | ἐκγραφέν, παρακελευόμεθα πᾶσιν ὡς ἀπὸ Θεοῦ, εἴποτε καὶ ὁπουδήποτε εὑρίσκοιτο ἢ ὅλον τὸ βιβλίον, ἢ μέρος ἐκγεγραμμένον ἔν τινι τῶν χριστιανῶν, πυρὶ μὲν φθείρειν αὐτὸ τὸν ἔχοντα· κρύπτοντα δὲ καὶ ἑαλωκότα, μετὰ μίαν καὶ δευτέραν παραίνεσιν, εἰ μὴ παρρησίᾳ βούλοιτο καίειν, εἴργειν τὸν τοιοῦτον ἀπάσης τῶν χριστιανῶν κοινωνίας. Ἐκείνῳ μὲν οὖν τῷ πένητι δακρύων ἐπαφήκαμεν ῥεύματα, καὶ πολλὰ κατηρασάμεθα τῆς ἡμέρας, ἐν ᾗ τὸ βιβλίον ἦλθεν ἡμῖν. Τί γὰρ ἡμῖν προσέδει νῦν τοιούτου θορύβου; Ὥσθ' ὑπὸ τῆς ἄγαν εὐγνωμοσύνης ἣν ὁ Θεὸς ἔδωκε, κἂν ἐδεήθημεν αὐτοῦ ταπεινῶς, εἰς ὃν ὁ πένης ἐξύβρισεν, εἰ οἷόν τε ἦν, ἀφεθῆναι τὰς ποινὰς τῆς βλασφημίας αὐτῷ.

Σοὶ δέ, εὐσεβὴς καὶ λογία ψυχὴ καὶ ἡμῖν πλείστου ἀξία, χάριν εἰδότες, ὡς δι' ὧν ἐπέστειλας πρὸς τὸν ὑπὲρ τούτων λόγον κινήσαντι, καίτοι πολλαῖς νόσοις καὶ φροντίσι συνεχομένους, εὐχόμεθα καὶ παρὰ Θεοῦ εὐζωΐαν μὲν ἐνταῦθα, εὐδαιμονίαν δὲ μετὰ ταῦτα, πρὸς ἣν τὸν βίον σοι συντείνεις πάντα σοφῶς. Καὶ σὺ δὲ εὔχου ἡμῖν ταχίστην ἀπαλλαγὴν τῶν τῆς ζωῆς ταύτης κακῶν, καὶ σὺν ἀρετῇ. Ἀμήν· ἔρρωσο.

VI.

Sur Dieu un et trine et contre les athées et les polythéistes (après 1456).*

Paris. 1292 f. 131 Τοῦ αὐτοῦ Γενναδίου, περὶ τοῦ ἑνὸς ἐν Τριάδι Θεοῦ ἡμῶν καὶ πάντων τῶν ὄντων δημιουργοῦ, καὶ κατὰ ἀθέων ἤτοι αὐτοματιστῶν καὶ κατὰ πολυθέων.

Ἐγράφη ἐν τῇ μονῇ τοῦ Προδρόμου ἐν τῷ ὄρει τῶν Φερρῶν.

f. 131v | Οἴεσθαι μὲν μὴ εἶναι Θεὸν ἐσχάτης ἐστὶν ἀφροσύνης, ᾗ φησιν ὁ θεῖος Δαυῒδ· „Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός,“ εἰ δὲ καὶ πονηρία

* P = Parisinus 1292, f. 131-142, autographe de Scholarios;
A = Parisinus 1289, f. 250-259, autographe de Scholarios;
B = Parisinus 1294, f. 154v-166v, autographe de Scholarios;
C = Pantocratorinus 127, f. 10v-20v, autographe de Scholarios;
G = Edition de VV. Gass, d'après B, dans son ouvrage, *Gennadios und Pletho*, Breslau, 1844, p. 31-53. Autre édition d'après B par Cl. Alexandre, *op. cit.*, en appendice, reproduite par Migne, *P. G.*, t. CLX, col. 568-596.

Tit. *Τοῦ αὐτοῦ Γενναδίου μοναχοῦ, κατὰ αὐτοματιστῶν καὶ ἑλληνιστῶν ἤτοι πολυθέων· καὶ ὅτι Θεὸς εἷς ἐστι καὶ δημιουργὸς τοῦ παντὸς ἐν Τριάδι ὑποστάσεων* A. *Ἐγράφη — Φερρῶν* om PBC.

18 *σοι* om BM 20 *Ἀμήν· ἔρρωσο* om A 30 *Δαβίδ* G Ps. 13, 1

ἐν ἀνθρώποις ἀφροσύνης ἔργον ἐστί· διὸ καὶ ταὐτὸν ἔστι πως ἀγαθὸν εἶναι καὶ ἔμφρονα, καὶ πονηρίας ἐστὶ τῆς ἐσχάτης τὸ οὕτως οἴεσθαι. Αἰσθήσει γάρ τινες καὶ τῇ κατ' αὐτὴν ἡδονῇ καθάπαξ προσηλωμένοι, τὴν πονηρὰν ταύτην ἐν σφίσιν αὐτοῖς ὠδίνουσιν ἀφροσύνην, καὶ ἐκ τοῦ τοιαῦτα δοξάζειν αὖ, ἀντὶ τοῦ κατ' ἀνθρώπους ζῆν ἐθέλειν, πρὸς τὸν βοσκηματώδη βίον ὅλῃ ῥοπῇ φέρονται· ὀλίγοις δὲ πάνυ τὴν τῆς πονηρίας ἀπολογίαν θαρρεῖν ἔχουσι διὰ τὸ πάντας ἀνθρώπους νῦν ἀγαθούς τε ὁμοίως καὶ φαύλους, ἰδιώτας τε καὶ σοφούς, Θεὸν εἶναι βεβαίως πάνυ φρονοῦντας, τῶν μὲν ἀγαθῶν σφίσιν αὐτοῖς ἐκεῖνον αἴτιον ἡγεῖσθαι καὶ ἔχειν, τῆς δὲ πονηρίας σφᾶς αὐτοὺς εἶναι νομίζειν αἰτίους καὶ τῶν ἑπομένων ταύτῃ δεινῶν, εἴτε καὶ ἐπιστρέφοντάς ποτε δι' αὐτὸ τοῦτο λογισμῷ ὀρθοτέρῳ, εἴτε καὶ ἐν ἀνεπιστρόφῳ τῇ πονηρίᾳ τὴν ἑκούσιον ἀφροσύνην οὐκ ἀρνουμένους.

Ὀλίγοις τοίνυν πάνυ τὴν ἑαυτῶν καταπιστεύοντες πλάνην, οὓς ἂν αἴσθοιντο πρὸς τὸν αὐτὸν αὐτοῖς κρημνὸν φέρεσθαι, πρὸς ἅπαντας εὐσεβεῖν προσποιοῦνται, καὶ γλώττῃ μὲν ὁμολογοῦσι τοῖς ἄλλοις πᾶσι Θεὸν εἶναι, τῇ δὲ καρδίᾳ τὸν ἰὸν τῆς ἀφροσύνης ἐγκρύπτουσι, διὸ καὶ μένουσιν ἀνιάτρευτοι· οὐδ' ἐν τῇ διανοίᾳ τὸν τοιοῦτον τῆς ἀσεβείας ἀθροίζουσι λογισμόν· πόρρω γὰρ διανοίας οὗτος ὁ τόκος, ἀλλ' ἐν τῇ καρδίᾳ τὴν ἀθεΐαν ὠδίνουσι, τῆς πρὸς τὴν αἴσθησιν καὶ τὴν ὕλην ἀλογωτάτης ῥοπῆς αὐτὴν ἐνσπειρούσης. Εἰ γὰρ διανοίᾳ καὶ λόγῳ χρῆσθαι ἠδύναντο, συνηθέντες ἂν εὐθύς, εἴγε καὶ βουλομένοις ἦν ἁπάσῃ σπουδῇ τὸ Θεὸν εἶναι, καὶ φωτὸς ἦν ἂν αὐτοῖς ἐναργέστερον, καὶ ὅσα τῆς εὐσεβείας ἐντεῦθεν ἀνίσχει δόγματα· καὶ ἃ μὲν τὰς τῶν σοφῶν διανοίας καταλάμπουσι τοῦ Θεοῦ ἔργα, τοῖς πολλοῖς ἀνέφικτα καθορᾶσθαι, παρείσθω νῦν, ἐγκείμενα δὲ τοῖς αὐτῶν βιβλίοις ἔξεστι τῷ δυναμένῳ τε καὶ βουλομένῳ ζητεῖν καὶ εὑρίσκειν, ἐξ ὧν ὅτι τε ἀνάγκη πᾶσα τὸν Θεὸν εἶναι, καὶ ὡς | ἀδύνατον f. 132
ἂν μὴ εἶναι καὶ πέρα παντὸς ἀδυνάτου, δείκνυται. Παρίεμεν δὲ καὶ τὴν κοινὴν ἁπάντων ἀνθρώπων δόξαν, μέγα τι πρὸς τὴν ἀλήθειαν δυναμένην, εἴπερ οὐδέν ἐστιν ἀληθέστερον τῶν φύσει πᾶσιν ἐγνωσμένων ἀρχῶν· πλὴν γὰρ ἐλαχίστων πάνυ τῶν λίαν ἀφρονεστάτων, ὡς εἴρηται, Θεὸν εἶναι πάντες ἐτίθεντό τε καὶ τίθενται, ὥστε καὶ τὸ τί ἦν εἶναι καὶ πῶς εἶναι τοῦτον ἐπιζητῆσαι θελήσαντες, διὰ τὴν ἐν τούτοις δυσχέρειαν, ὡς εἰκός ἐστι περὶ Θεοῦ ζητουμένοις, εἰς διαφόρους κατεμερίσθησαν ἄνθρωποι δόξας· καὶ τῆς προτέρας ὅμως καὶ κοινοτέρας οὐκ ἀφίστανται θέσεως· θαύματι μὲν οὖν ἀσμενίζουσι μείζονι καὶ κατέχουσι· τὸ γὰρ μὴ δύνασθαι τῷ ἐμφύτῳ λόγῳ κατανοεῖν ταῦτα περὶ Θεοῦ, μηδὲ τοῖς φύσει γινωσκομένοις

7 *νῦν* om PAB 14 *καταπιστεύοντας* G 26-27 *καὶ εὑρίσκειν* om AB, en interligne C 31 *εἶναι* om B 32 *ἦν* om PA 34 *ζητουμένοις*: *σκοπουμένοις* BC 36 *μείζονι* om BC

καὶ ταῦτα σύστοιχα εἶναι, τοῦ Θεὸν εἶναι ποιοῦνται μέγα τεκμήριον, εἴπερ τῇ τοῦ Θεὸν εἶναι ἐννοίᾳ τὸ τὴν οὐσίαν αὐτοῦ νῷ τε ἄληπτον εἶναι καὶ γλώττῃ ἄρρητον, σοφῶς πάνυ καὶ οἰκείως ἀκολουθεῖ· οὐδὲ τὰς θεόθεν ἀποκαλύψεις τῆς περὶ αὐτὸν ἀληθείας τίθεμεν νῦν, πρός γε τὴν χρείαν τοῦ τῶν ἀφρονευομένων ἐλέγχου λίαν οἰκείως, προϊόντος τοῦ λόγου, πρὸς ἑτέραν χρείαν παραληψόμενοι.

Ἀλλ' ἐπεὶ Θεὸν οὐ νομίζοντες εἶναι, τήν τε τῶν ὄντων ἀναιροῦσι δημιουργίαν καὶ τὴν εἰς πάντα ταῦτα διατρέχουσαν τοῦ Θεοῦ πρόνοιαν ἀκολούθως τῇ ἐντεθείσῃ αὐτοῖς ἐν τῷ παντὶ τῷδε τάξει, καὶ αὐτομάτως τά τε ὄντα εἶναι τά τε γινόμενα γίνεσθαι πάντα οἴονται, καὶ ἅπας ἄλλος ἑσμὸς τοῦ ψεύδους ἐντεῦθεν ἀκολουθεῖ, ἀρκεῖ πρὸς τὴν παροῦσαν χρείαν πυθέσθαι τινὸς αὐτῶν ἁπλᾶ τινα καὶ πάνυ βραχέα περὶ αὐτοῦ μόνου καὶ μόνον αὐτὸν ἔλεγχον τῆς οἰκείας ἀφροσύνης προστήσασθαι ἐξ ὀλίγων τε καὶ φανερωτάτων τῶν περὶ αὐτὸν φαινομένων.

Ἄνθρωπε, σὺ τῶν ἄλλων ἐν γῇ πραγμάτων προέχεις τῇ φύσει προδήλως, καὶ τῆς γῆς αὐτῆς· γῆς μὲν ὑπέρκεισαι καὶ λίθου, τοῖς ἐν σοὶ πᾶσι καλοῖς τῆς φύσεως, σωματότητι μόνῃ τούτοις ἑνούμενος· καὶ σὺ γὰρ σῶμα περίκεισαι· εἰ δὲ βούλει, καὶ τῷ εἶναι, ὃ κοινόν ἐστι τοῖς οὖσι πᾶσιν
f. 132ᵛ ἁπλῶς. Φυτῷ δὲ καὶ ἔτι πλείονος | κοινωνεῖς καὶ μείζονος τοῦ ἐμψύχου, ᾧ καὶ τὸ φυτὸν γῆς τε καὶ λίθου καὶ παντὸς ἀψύχου διΐσταται· πρὸς δέ γε τὰ ζωόφυτα τὸ κινεῖσθαι μεταβατικῶς κοινὸν ἔχεις, ᾧ κἀκεῖνα τῶν φυομένων πλεονεκτοῦσι. Τοῖς δὲ ζῴοις ἔτι περαιτέρω συμπέπλεξαι τῷ πρὸς τοῖς εἰρημένοις πᾶσι καὶ αἰσθάνεσθαι, ᾧ καὶ τὰ ζῶα τῶν ἄλλων πάντων προέχουσιν· σοὶ δὲ μόνῳ τὸ λογίζεσθαι μόνον ἐστίν, ᾧ τῶν ἄλλων πάντων ἐξόχως ὑπέρκεισαι. Πόθεν οὖν ἡ εὔτακτος αὕτη διάκρισις ἔστι σοι πρός γε τὰ ἄλλα, κἀκείνοις πρὸς ἑαυτά, πᾶσαν διατρέχουσα τῶν ὑφ' ἑκάστῳ γένει τὴν ἀπειρίαν ἀτόμων; Πότερον ἀφ' αὑτῶν; καὶ εἴπερ ὁ λίθος ἠδύνατο φυτὸν εἶναι, εἵλετ' ἂν τὸν χείρω βαθμόν; Οὐ μᾶλλον ἢ σύ, θυρωρὸς ἂν εἵλου τῶν βασιλείων εἶναι ἀντὶ τοῦ τῷ βασιλικῷ κοιτῶνι παρίστασθαι, ἐπὶ σοὶ κειμένης τῆς ἐκλογῆς. Καὶ φυτὸν ἦν ἂν ἑκὸν χεῖρον τοῦ ζῴου; Καὶ ἵππος δυνάμενος ἂν ἀνθρώπου φύσιν ἔχειν, οὐκ ἂν ἐβουλήθη; Ἀφ' αὑτῶν μὲν οὖν οὐδαμῶς, ἀλλ' αὐτομάτως καὶ τυχαίως ὡδὶ διακέκριται; Ἀλλ' εἴ τι τοιοῦτον ἐν τοῖς γινομένοις σπανίως ἐστί, τοῖς τεταγμένοις τε καὶ ὡρισμένοις καὶ κατὰ φύσιν καὶ λόγον οὖσιν ἀντιδιῄρηται· ὅθεν εἰ μὴ ταῦτ' ἦν, οὐδ' ἂν ἐκεῖνο ποτὲ γίνεσθαι, ὥσπερ νόσος ἐπισυμβαίνει διὰ τὸ πολλῷ πρότερον ὑγείαν εἶναι· καίτοι καὶ τοῦτο προσεχῆ

---

8 *ταῦτα* om A *Θεοῦ*: *δημιουργοῦ* ABC 9 *ἐνταθεῖσι* ABG 10 *πάντα* om PBC 12 *πανυ καὶ βραχέα* AC 14 *φανερωτάνων*: *προδηλοτάτων* A 27 *ἀτόμων τὴν ἀπειρίαν* A *πότερον* om A 28 *εἵλετο* ABC 29 *εἶναι τῶν βασιλείων* C: *εἶναι* après *βασιλείων* en interligne B 32 *οὐδαμῇ* G

μὲν αἰτίαν τοῦ ὡδί πως ἀποβαίνειν οὐκ ἔχει τοῖς ἄλλοις πᾶσιν ὁμοίως· αἰτίας δ' ἄνευ τῆς ποιούσης οὐκ ἄν ποτε γένοιτο, καὶ τερατῶδές δέ τι γινόμενον ἅπαξ ἐν περιόδοις χρόνων πολλαῖς φθορὰ τῆς φυσικῆς ἐστι τάξεως, διά τι πάθος τῆς ὕλης οὕτω συμβαίνουσα.

Ἐπὶ τούτοις, οὐ σύ γε πάντα ποιεῖς προαιρούμενος ἅττ' ἂν ποιοίης, τῷ γε λογικὸς εἶναι, κἂν ἐλεύθερος ᾖς; Διὰ τί μὴ καὶ ἵπτασθαί ποτε προαιρῇ, καίτοι πολλάκις ἴσως εἰπών· εἴθε νῦν ἠδυνάμην πτῆναι; ἢ δῆλον, ὅτι μὴ πέφυκας ἵπτασθαι, οὐδ' οἷόν τέ ἐστιν ἄνθρωπόν σε ἅμα καὶ πτηνὸν εἶναι. Διὰ τί δὲ μὴ καὶ τὸν τῆς θαλάττης διατρέχεις βυθόν, ἵνα μὴ τοσούτοις πόνοις καὶ μεθόδοις τρέφῃ τοιαύταις, τοὺς ἰχθῦς ἄνωθεν | ἁλι- f. 133 εύων; ἢ δῆλον, ὅτι μὴ πέφυκας ἐν ὕδασι δύνασθαι ζῆν, ὥσπερ οὐδ' ἰχθὺς τοῦτο δύναιτ' ἂν ἐν τῇ γῇ· ὅθεν εἰ καὶ τῷ προαιρέσει ζῆν τῶν ἄλλων πλεονεκτεῖς, ἀλλὰ φύσει καὶ τοῦτό σοι πρὸς πλεῖστά γε ὥρισται, καὶ δεῖ σε μὴ πάντα πεφυκέναι πράττειν προῃρημένον, πρὸς τὰ πλεῖστα δὲ ἀποπεφυκέναι.

Αὗται τοίνυν αἱ διαφοραί, κατὰ γένος μὲν ἕκαστον οὖσαι, ἐπὶ δὲ τὰ τοῦ γένους ἄτομα διατρέχουσαι, ὡς μήτε δύνασθαι πλέον ἔχειν, μήτ' ἔλαττον τοῦ φύσει ἑκάστοις ὡρισμένου καλοῦ, πῶς ἂν τυχαίως εἶεν ἢ αὐτομάτως, εἴπερ τὸ τοχαῖόν τε καὶ αὐτόματον τῷ τεταγμένῳ τε καὶ ὡρισμένῳ ἀντιδιῄρηται, καὶ ἀντιφατικῶς διακεκριμένα οὐκ ἂν δύναιτο συνελθεῖν; τεταγμένα δὲ ὄντα τὰ φύσει τε οὕτω γινόμενα καὶ προαιρέσει ἀνθρωπίνῃ, πῶς ἂν εἶεν ἄνευ τοῦ τάττοντος; καὶ ὑφ' αὐτῶν οὐ ταττόμενα, τάττοιντ' ἂν ἑτέρωθεν δήπου. Εἰ τοίνυν δοίης αἰτίοις ὑψηλοτέροις τε καὶ κοινοτέροις ταῦθ' οὕτω γίνεσθαι μετά τινος τάξεως, πρῶτον μὲν οἴχεταί σοι λοιπὸν τὸ τυγχαῖόν τε καὶ αὐτόματον· εἶτα καὶ περὶ ἐκείνων ἡ αὐτὴ ἂν ζήτησις εἴη τοῖς ὑποκάτω τούτοις ὁμοίως, φύσει τε καὶ τάξει πρὸς ἄλληλα διαφερόντων. Οὐδ' ἐκεῖνα γὰρ παρ' ἑαυτῶν τὴν τοῦ ποιεῖν οὕτω καὶ τάττειν ἐν τοῖς ὑποδεεστέροις ἔχουσι δύναμιν, οὔτε τὴν πρὸς ἄλληλα ὑπεροχήν τε καὶ ὕφεσιν· σελήνη γάρ, εἴπερ ἐξῆν αὐτῇ, εἵλετ' ἂν μᾶλλον ἥλιος εἶναι, καὶ ἅπερ ἥλιος ἐν τοῖς ὑποκάτω τούτοις ποιεῖ, ταῦτα ποιεῖν μᾶλλον αὐτή, πλείω τε καὶ βελτίω ὄντα ὧν αὐτὴ ποιεῖν δύναται νῦν· καὶ ἥλιος πρός γε τὰ ὑπὲρ αὐτὸν σώματα, τοιοῦτος ἂν ἦν, καὶ μάχη τις ἂν ἦν ἀντὶ τάξεως. Οὐκοῦν καὶ τοῖς ὑψηλοτέροις ἐκείνοις ἠναγκασμένη τίς ἐστιν ἡ τοιαύτη τάξις· ὅθεν αὐτῇ καὶ τὸ ἀμετάβλητον διηνεκῶς ἔνεστι, καὶ φυσικῆς οὔσης τῆς τοιαύτης ἐν αὐτοῖς τάξεως καὶ τὴν φύσιν ἐν αὐτοῖς ἐχούσης ἀρχήν, τὴν αὐτὴν ἂν ἔχοιεν αἰτίαν δήπου τοῦ τε ὡδὶ πεφυκέναι, τοῦ τε οὑτωσὶ τετάχθαι καὶ τοιάδε δρᾶν ἐν τοῖς ὑποκάτω τούτοις.

---

6 *κἂν ἐλεύθερος ᾖς* en marge AC, om B 9 *θαλάττης* en interligne BC
20 *δύναιντο* A 22 *ἄνευ εἶεν* G *τάττοιντο* AC 36 *νῦν* om PBC

f. 133v Ἀλλὰ καὶ αὖθις πυνθάνομαί σου· | οἰκοδόμος εἶ σύ γε τυχόν; Καὶ πῶς οὐχ ἅμα καὶ ναυπηγὸς εἶ; Εἰ δὲ καὶ τοῦτο, διὰ τί μὴ καὶ τρίτην τὴν σκυτοτομικὴν ἔχεις; καὶ ὡς ἂν συνελὼν φαίην, διὰ τί μὴ καθάπερ μιᾶς, οὕτω καὶ πάσης τέχνης προέστηκας; Ἦ δῆλον, ὅτι τῷ μὴ δύνασθαι πάσας ὁμοῦ μετιέναι; Δεῖ γὰρ πρὸς ἑκάστην τέχνην πολλὰ μὲν μαθεῖν, πλείω δὲ ἐνηργηκέναι, καὶ οὕτω τὴν ἕξιν πείρᾳ λαβεῖν· ταῦτα δὲ πλείονος ἂν δέοιτο χρόνου, οὐδ' ἂν ὁ ἑκάστου βίος ἀρκέσειε πρὸς τὸ πλείους οὕτω κτήσασθαι μόνον, καὶ πρίν τινα μαθεῖν ἁπάσας καλῶς, τοῦ θανάτου φθάσαντος, οὐκ ἂν οὐδεμιᾷ χρήσαιτο· τοῦ δὲ δύνασθαι χρῆσθαι χάριν ταύτας κτᾶσθαι σπουδάζουσιν ἄνθρωποι.

Ἀλλὰ καὶ τὸ δύνασθαι τέχνην μίαν ἢ δύο μαθεῖν, πόθεν ἔχεις; παρὰ σαυτοῦ; καὶ μὴν ἤρκει γ' ἂν τὸ θελῆσαι πρὸς τὸ μαθεῖν, καὶ οὕτως αὖ ἐν ὀλίγῳ χρόνῳ πάσας ἂν εἶχες εἰδέναι· ἀλλὰ τῆς εἰρημένης προχωρήσεως δέῃ καὶ χρόνου πρὸς ἑκάστην πλείονος. Οὐκοῦν, ἄλλοθέν σοι τὸ δύνασθαι μαθεῖν ἐστιν ὁτιοῦν, τῇ φύσει σπινθῆρος δίκην ἐγκείμενον· καὶ ὥσπερ οὐκ ἐγένου τῷ θελῆσαι γίνεσθαι· οὐ γὰρ ἦσθα πρὶν γίνεσθαι· οὕτως οὐδὲ τὸν σπινθῆρα τοῦτον ἔσχες τῷ βουληθῆναι, καὶ τὸ μὴ πάσας ἀλλ' ἐνίας δύνασθαι, καὶ τὸ μὴ πρὸς πάσας ὁμοίως ἀδυνατεῖν, οὔτε μὴν αὐτομάτως ἔσχες· εἶχες γὰρ ἂν μόνος, ἢ μετ' ὀλίγων αὐτός, τῶν ἄλλων πρὸς τὸ μαθεῖν ἀποπεφυκότων· ὥσπερ πρὸς τὰ φύσει γινόμενα οὐδέν ἐστι σχεδὸν τά γε αὐτομάτως λεγόμενα γίνεσθαι. Νῦν δὲ πάντες ἄνθρωποι τὴν τοῦ μανθάνειν ἔχουσι δύναμιν, ἀορίστως μὲν τὴν ἀρχὴν πρὸς ἁπάσας ἔχουσαν τέχνας πρὶν ἄρξασθαι μανθάνειν, μετὰ δὲ τοῦτο πρὸς μίαν τέχνην ὁριζομένην, ἣν ἄν τις καὶ μανθάνειν ἄρξαιτο· εἰ δ' εὐφυέστερος εἴη τις, πρὸς δύο καὶ τρεῖς, ἀλλ' οὗτοί γε πρὸς τὰς πλείστας, σχολῇ γε πρὸς πάσας ὁμοῦ· καὶ τὴν τοιαύτην δὲ τῆς φύσεως ἐπιτηδειότητα πρὸς τὸ πλείους μαθεῖν ἑτέρωθεν ἔχεις, ὅθεν δὴ καὶ τὸ μαθεῖν ἁπλῶς δύνασθαι· ὥστε καὶ σημεῖα τῆς τοιαύτης δεινότητος, ὥσπερ αὖ τοὐναντίον τοῦ μὴ πεφυκέναι | f. 134 πρὸς πλείους, ἐν τῇ τοῦ σώματος ὁρῶνται κατασκευῇ, τὴν ἔνδον δηλοῦντα διάθεσιν, ἃ τοῖς περὶ ταῦτα δεινοῖς καλῶς ἐξητάσθη.

Ὕλαι δὲ πῶς οὐχ αἱ αὐταὶ πάσαις ὑπόκεινται τέχναις, πρὸς δ' ἄλλην τέχνην ἄλλη ζητεῖται; Οὐ γὰρ τῇ αὐτῇ γε ὕλῃ ὑπόδημα ἂν τεχνάσαιο καὶ οἰκίαν, εἴπερ καὶ σκυτοτομεῖν εἰδείης, οὐ μόνον οἰκοδομεῖν· οὐκ ἂν δ' εἶχες πράγματα ἑκών, εἴπερ ἠδύνασο τῇ αὐτῇ οἶκόν τε καὶ ὑπόδημα ποιεῖν ὕλῃ. Πόθεν δ' ἡ κατὰ τὴν ὕλην αὕτη διαφορὰ πρός γε τὰς τέχνας τοῖς μετιοῦσιν; Οὐ γὰρ βουλόμεναι τοῦτο πάσχουσιν· καὶ σὺ βουληθεὶς κεχρῆσθαι πάσαις ὁμοίως πρὸς τὴν σὴν οἰκοδομικήν, οὐκ ἂν δύναιο,

---

11 *μίαν τέχνην* A 13 *αὖ*: *ἂν* G 16 *τῷ* en interligne C 24 *τις εἴη* ABC 28 *τοὐναντίον* om A

καθάπερ ἔφθην εἰπών. Ὁρᾷς τὴν τοιαύτην τάξιν κἀν ταῖς τέχναις τε καὶ τοῖς τεχνητοῖς φαινομένην τῷ τὴν μὲν φύσιν ὑποκεῖσθαι τῇ τέχνῃ, τετάχθαι δὲ προδήλως αὐτὴν ἐν τοῖς φύσει συνεστῶσιν ἅπασι, σοὶ δὲ δύναμιν ἐντεθεῖσθαι τοῦ ποία ἂν ὕλη ποίᾳ τέχνῃ ἁρμόσειεν εὑρετικήν· ταύτην δ' εἶναι τὸν λόγον καὶ πείρας ὑπουργούσης αὐτῷ;

Ἀλλὰ μὴν καὶ διὰ τί ἐκ θεμελίου οἰκοδομῶν ἄρχῃ, εἶτα τοίχους συνείρεις, εἶτ' ἐφαπλοῖς καταστρώματα, καὶ τοίχους αὖ ἐπεγείρεις, εἶτα τελευταῖον ἐπιτίθης ὀροφήν, εἶτα μερίζων ἔνδον κατακοσμεῖς, ἀλλ' οὐδέποτε καὶ ἀντεστραμμένως ταῦτα ποιεῖς; Ἢ δῆλον, ὡς οὐκ ἂν ἄλλως δύναιτο ποιεῖν, οὐδὲ βουληθείς; Ἢ γὰρ ἂν καὶ περιεπάτεις ποτὲ τῇ κεφαλῇ τοὺς πόδας ἐπερείδων, εἴπερ ἠδύνασο, ὅπερ ἔνιοι παίζοντες παραδοξοποιοῦσι· κέχρηνται δὲ οὐδ' οὗτοι τῇ κεφαλῇ καθάπαξ ἀντὶ ποδῶν· ἀμήχανον γάρ· ταῖς δὲ χερσὶ τὴν κεφαλὴν μετεωρίζοντες ἐπὶ γῆς, παίζουσι ταῖς χερσὶν ἀντὶ ποδῶν χρώμενοι. Διὰ τί δὲ καὶ μὴ οἰκοδομεῖς ἐν θαλάττῃ, οὐδ' ὁ πλευτικὸς ἐπὶ γῆς εἴωθε πλεῖν; Ἢ ὅτι πλευτικὴ μὲν ἐπὶ γῆς, οἰκοδομικὴ δὲ ἐπὶ θαλάττης οὐκ ἂν δύναιντό ποτε τὰ αὐτῶν πράττειν; καὶ ἁπλῶς εἰπεῖν, τέχνῃ μὲν δήπου τὸ οἰκοδομεῖν ἔχειν εἴληφας, ταύτην μεμαθηκώς· κέχρησαι δὲ φύσει τε καὶ τοῖς τῆς φύσεως ἔργοις.

Καὶ ἰατρὸς εἴπερ | ἦσθα, βοτάναις ἂν καὶ λίθοις πρὸς τὴν τέχνην f. 134v
ταύτην ἐκέχρησο· βοτάνη δὲ ἄλλη δρᾶν ἄλλο τι πέφυκεν, οὐδὲ νοσημάτων ἀπαλλάττειν μόνον, ἀλλὰ καὶ νόσους ποιεῖν τοῖς ὅλως χρωμένοις, ἢ τοῖς οὐκ εἰδόσι χρῆσθαι καλῶς· καὶ κτείνουσι δὲ ἄλλαι τελείως ἀντὶ τοῦ τρέφειν ἢ τὴν ὑγείαν ἐπανασῴζειν· καὶ λίθοι δὲ ὡσαύτως ταῦτα ποιοῦσι, καὶ τὴν αὐτῶν φύσιν οὐδεὶς ἂν οὐδεμιᾷ μεταποιήσειε τέχνῃ· εἴργονται μόνον τὰ αὐτῶν ἐξανύειν, ἄλλοις τἀναντία τε πεφυκόσι καὶ δραστικωτέροις ἀντιπραττόμενα καὶ μεθόδοις τέχνης ἑτέραις.

Ἐκ τῶν ὑψηλοτέρων τοίνυν τοῦ Θεοῦ ἔργων καὶ τῆς εὐτάκτου διαφορᾶς τῶν ἐν αὐτοῖς φύσεων καὶ δυνάμεων, καὶ τῆς φανερωτάτης καὶ ξενιζούσης τοῦδε τοῦ παντὸς διοικήσεως οὕτω λίαν οὔσης εὐτάκτου, καὶ πολλῶν ἄλλων τοιούτων, δι' ὧν ἀναγκαίως πρὸς τὴν περὶ τοῦ θείου πάντες ἤχθησαν ἔννοιαν, εἶχες ἄν, εἴπερ ἐβούλου καταμαθεῖν καὶ αὐτός, ὡς οὐδὲν ἔστιν ἐν τοῖς οὖσι καὶ γινομένοις ἄνευ τάξεως ὂν καὶ γινόμενον, καὶ ὅτι καθάπερ ὑπερθαυμάστῳ τινὶ σειρᾷ τὰ ὄντα πάντα συνδέδεταί τε καὶ διακέκριται, ἥτις οὐκ ἂν ἀπ' αὐτῶν ἐν αὐτοῖς εἴη· οὐδ' ἂν συνεπλάκησαν τὴν ἀρχὴν τοσαῦται τῷ πλήθει φύσεις καὶ οὕτω διάφοροι πρὸς ἑνὸς κόσμου σύστασιν ἄνευ τοῦ συμπλέξαντός τε τὴν ἀρχὴν καὶ τὴν τοῦ διὰ παντὸς

---

1 *κἂν* G 6 *οἰκοδομῶν* corrigé de *οἰκοδομεῖν* C *ἀρχῇ* G 8 *ἐπιτιθεῖς* G 11 *ἐρείδων* P 12 *κέχρηνται: κάθηνται* G 15 *θαλάσσῃ* ABC 13 *ταύτην μεμαθηκώς* om B

οὕτω συμπεπλέχθαι δύναμιν αὐτοῖς ἐνθεμένου, ἣν αὐτὸς μόνος ἂν ἠδύνατο
καὶ λύειν, εἴγε ἐβούλετο. Τὸ δὲ συμπλέκειν ταῦτα οὕτως εὐτάκτως ταὐτόν
ἐστι τῷ ποιεῖν, καὶ τῷ φθείρειν τὸ διαλύειν· εἰ δὲ συμπλέκοις καὶ σὺ
διαφόρους φύσεις οἰκοδομῶν, ἀλλ' οὐχ ὡς ἂν βουληθείης, ὡς ἂν δὲ συμ-
πλέκοιντο, καὶ ἡ τῆς σῆς τέχνης ἐφαρμογὴ τῇ συμπλοκῇ τῶν φύσεων
ἕπεται· ὅθεν συμπλέκεις μόνον καὶ οὐ ποιεῖς αὐτάς. Ὁ δὲ τὰς φυσικὰς
συμπλέκων ἰδιότητας ἐν τοῖς οὖσι καὶ ποιητὴς αὐτῶν ἐστι δήπου· ποιεῖ
γὰρ καὶ ὑφίστησιν οὕτως, ὡς ἂν καὶ συμπλέκεσθαι δυνηθεῖεν πρὸς ἑνὸς
f. 135 τοῦ παντὸς τοῦδε σύστασιν, ἥτις ἦν αὐτῷ προὔργου· καὶ τούτου χάριν | τὰ
τοῦ παντὸς ἐποίει τε καὶ συνέπλεκε μέρη.

Εἰ δ' ἐκ μηδενὸς τῶν τοιούτων, ἀπὸ σαυτοῦ γοῦν μόνου καὶ τῆς σῆς
φύσεως καὶ τῶν σῶν ἔργων ἔδει σε τὸν σὸν ἐπιγνῶναι δημιουργόν, ὅς σοι
μετὰ τοῦ εἶναι καὶ τὴν πρὸς τ' ἄλλα δέδωκε τάξιν· καὶ ταύτην σοι τὴν ὁδὸν
νῦν ἡμεῖς ἐκ περιουσίας ἀντὶ πολλῶν τε ἄλλων καὶ σοφωτέρων ὁδῶν
προὐθήκαμεν, οὐκ ἐπ' ἐλέγχῳ μόνον τῆς σῆς ἀφροσύνης, ἀλλὰ καὶ συνερ-
γοῦντες, εἴποτε βουληθείης, ἐντεῦθεν γοῦν ἠργμένος, τοῦ σε καὶ πάντα
ποιήσαντος συναισθέσθαι Θεοῦ. Σὺ δὲ τῆς μὲν οἰκίας δημιουργὸν σαυτὸν
εἶναι φῄς, καὶ πάνυ καλῶς, καὶ τῆς ἐν σοὶ τοῦ δημιουργεῖν οὕτω τέχνης
αἴτιον τὸν διδάξαντά σε ταύτην ὁμολογεῖς· ἅπερ οὐδ' εὐθὺς γεννηθέντι,
μετὰ δὲ τὴν δευτέραν ἡλικίαν παρῆν, πάσαις παρασκευαῖς ἐκ τῆς φύσεως
ἐξηρτυμένῳ καλῶς πρὸς τὸ δύνασθαι μανθάνειν τε καὶ ἐργάζεσθαι. Καὶ
οὔτε λέγεις τὴν οἰκίαν αὐτόματον ὑποστῆναι· ἢ γὰρ ἂν αὐτῆς οὐκ ἀπῄτεις
μισθόν, οὔτ' αὐτομάτως σοι τὴν τέχνην ἐλθεῖν· οὐ γὰρ ἂν ἔδει σε προ-
σεδρεύειν φοιτῶντα, οὐδὲ μισθοὺς ὑπισχνεῖσθαί τε καὶ παρέχειν τῷ δεικ-
νύναι σοι δυναμένῳ· τοῦ δ' ἐκ ψυχῆς σε συνεστάναι καὶ σώματος, καὶ
τὴν μὲν ψυχὴν τοιαύταις συνεῖναι καὶ τοιαύταις δυνάμεσι, τὸ δὲ σῶμα
τοσούτοις συντεθεῖσθαι στοιχείοις, ἃ τοῖς τοῦ κόσμου στοιχείοις ᾠκείωταί
πως τοῦδε τοῦ πρὸς ἡμῖν, εἶτα τοσούτοις αὐτὸ μέρεσι καὶ μορίοις διακε-
κρίσθαι τε ὁμοῦ καὶ ἡνῶσθαι, ὁμοιομερέσι τε καὶ ἀνομοιομερέσι, καὶ
ἐνδοτέροις καὶ φανεροῖς, καὶ τάξιν αἰτίου τε καὶ αἰτιατοῦ πρὸς ἄλληλα
ἔχουσι, καὶ ὀργάνου τε καὶ κινοῦντος, καὶ τοῦ τὴν σὴν ψυχὴν τελειοῦσθαι
μὲν εἰς ἀρετὴν δύνασθαι καὶ σοφίαν, χρωμένην ὀρθῶς τῷ σώματι, φαύλως
δὲ κεχρημένην ἀμφοτέρων διαμαρτάνειν, καὶ πρὸς τὴν ἐναντίαν ἥκειν
διάθεσιν, καὶ ἁπλῶς εἰπεῖν, τοῦ ἐν σοι ποικιλωτάτου καὶ παραδοξοτάτου
χρήματος, οὐδ' ἐν σοὶ μόνον, ἀλλὰ καὶ ἐν ἀναριθμήτοις ὁμοίως τοῖς τῆς
αὐτῆς μετεσχηκόσι σοι φύσεως, οὐ θέλεις εἶναι δημιουργὸν καὶ χείρων
f. 135v εἶναι τοσοῦτον θέλεις | τῶν σῶν ποιημάτων. Καὶ σὺ μὲν ἂν οἰκοδόμος

1-2 *ἣν καὶ μόνος ἂν αὐτὸς ἠδύν. λύειν* A 2 *οὕτως* om PBC 3 *συμπλέκεις* ABCG 12 *σὸν* om G 29 *ὁμοιομερὲς ... ἀνομοιομερὲς* G 31 *καὶ ὀργάνου — κινοῦντος* om PBC *σὴν* om PBC 35 *ἐν* (2°) om PAB 36 *χείρω* G

ἧς καὶ δεσπότης ὁμοῦ τῆς οἰκίας, οὐχ ὅπως μόνον γένοιτο τὴν ἀρχήν, ἀλλὰ καὶ ὅπως ἂν συνίσταιτο προνοεῖς, τῶν πρὸς τοῦτο φερόντων πάντων ἐπιμελόμενος· σοῦ δὲ καὶ τῆς σῆς ζωῆς οὐδένα βούλει φροντιστὴν εἶναι καὶ κηδεμόνα· καὶ ἀνθρώπου μὲν δέῃ πρὸς ταῦτά ποτε, ὅς οὐδ' ἑαυτῷ δύναται βοηθεῖν· τοῦ δὲ μόνου βοηθεῖν ἔχοντος καὶ βοηθοῦντος οὐκ ἐπαΐεις, καὶ βοηθοῦντι προσέχειν οὐ βούλει, μηδὲ χάριν ὁμολογεῖν. Καὶ οἰκίαν μὲν ἐπαινεῖς ὡς εὖ εἰργασμένην, σαυτὸν ἐπαινῶν τὸν δεδημιουργηκότα· τὴν δ' ἐν σοὶ ξενίζουσαν καὶ σοφωτάτην οἰκοδομίαν ἀτιμάζεις οὕτω δεινῶς, τὸν δημιουργὸν αὐτῆς ἐξαρνούμενος. Καὶ λέγοντος μέν τινος τὴν οἰκίαν αὐτομάτως συστῆναι καταγελᾷς· τῶν δὲ πολὺ ταύτης τιμιωτέρων ὅλων, αἳ πρὸς μὲν τὸ παρὰ τῆς σῆς τέχνης εἶδος τὸν τῆς ὕλης ἔχουσι λόγον, εἴδη δέ εἰσιν αὐταὶ διαφέροντα καὶ διαφόρως τὴν ὑποκειμένην ὕλην μορφοῦντα, τούτων οὐ θέλεις αἴτιον εἶναι καὶ δημιουργόν, καὶ ὃ μεῖζον εἰς ἀπόνοιαν, οὐδὲ σοῦ καὶ τῶν ἐν σοὶ καλῶν αἴτιον. Τί τοίνυν θαυμαστὸν εἰ τὰ ἄλλα πάντα ὅπως τε καὶ ὅθεν ἐστὶν ἀγνοεῖς, ἐν σαυτῷ πρώτῳ τὸν τοιοῦτον ὑφιστάμενος σκόπον; Ἀλλ' ὅπερ ἔφθην εἰπών, ἐκ πονηρίας τε καὶ τοῦ φαύλως προῃρῆσθαι βιοῦν ἐπὶ ταύτην ἥκεις τὴν ἀφροσύνην, καὶ οὕτως ἀφρονευόμενος αὖ, ἀδεῶς κακῷ προστιθεὶς κακὸν καὶ τὸν ἀνθρωπικὸν βίον καθάπαξ ἠρνημένος περινοστεῖς.

Πρὸς μὲν δὴ τοὺς διὰ πολλὴν ἀφροσύνην ἐν τῇ καρδίᾳ ληροῦντας μὴ εἶναι Θεὸν ἕν τι τοῦτο προχείρως εἴρηται· καὶ ἧττόν μὲν εἰσιν ἄφρονες οἱ πολλοὺς εἶναι θεοὺς λέγοντες τῶν πάντη τὴν θείαν φύσιν ἐξαρνουμένων· τῷ μέντοι ταύτην πληθύνειν εἰς τὸν ἕνα καὶ αὐτοὶ δεινῶς παρανομοῦσι Θεόν. Οὕτω γὰρ αὐτοὺς εἷλεν ἡ ἐν τοῖς φαινομένοις τούτοις εὐταξία καὶ τὸ ἐν αὐτοῖς δραστικόν, ὥστε τὴν θείαν φύσιν καὶ μέχρι τούτων καταμερίζειν ἠθέλησαν ἀντὶ τοῦ μᾶλλον ἐντεῦθεν πρὸς τὴν μίαν καὶ μόνην ἀνατρέχειν τῷ λογισμῷ | πάντων ἀρχήν, οὐκ εἰδότες, ὡς τὸ ἐν τούτοις f. 136 φαινόμενον αἰτιῶδες ὀργανικόν ἐστι καὶ ὑπουργικὸν καὶ δούλοις πρέπον καὶ κτίσμασιν, οὐ θεοῖς καὶ δεσπόταις, οὐδ' ὅτι τῆς ἐν οὕτω πολλοῖς τε καὶ διαφέρουσιν εὐταξίας οὐκ αὐτά εἰσιν αἴτια διηνεκῶς· ἀμήχανον γάρ· ἀλλ' ἔκ τινος ὑψηλοτέρου καὶ πρώτου πρὸς ταῦτα ποιητοῦ καὶ δεσπότου δύναμιν ἔχοντος τοῦτ' ἔνεστιν αὐτοῖς τἀγαθόν. Οὐσίας δὲ ἀσωμάτους ἐφιστῶντες αὐτοῖς ὡς ἔνδοθεν κινούσας οἵ γε τῶν ἄλλων περιεργότεροι καὶ θεοὺς εἶναι ταύτας λέγοντες καὶ διαιροῦντες οὐκ ἀξίᾳ μόνον καὶ τάξει, ἀλλὰ καὶ γένει καὶ προαιρέσεσιν ἀγαθαῖς τε καὶ φαύλαις, οὐδὲν ἧττον τῶν ἄλλων καὶ αὐτοὶ τῆς ἀληθείας διημαρτήκασι. Θεοί τε γὰρ ὄντες, οὐκ ἂν ὧδὶ διακρίνοιντο, θεοί τ' οὐκ ἂν εἶεν, ὧδὶ διακεκριμένοι· εἰ δ' ὁμωνύμως

4 *οὐδὲ αὐτῷ* G 7 *σαυτὸν*: *συντόνως* G 21 *εἰσιν*: *εἶναι* G, qui écrit en note: Fort. scribendum *εἶεν ἄν* 24 *εἷλεν*: *εἶδεν* G, qui écrit en note: Fort. *ἔλαθεν* 29 *οὐ θεοῖς δὲ δεσπόταις* G 30 *διηνεκῶς* PBC

οὕτως ἐκάλουν, τοῦτο οὐδέν ἐστι λέγειν, καὶ πολλῶν ἄλλων ἀδυνάτων τε καὶ ἀτόπων ἑσμὸς τῇ θέσει ταύτῃ συνέπεται. Ὅτι δὲ καὶ ἀνθρώπους ἐθεοποίουν, τοὺς μέν, ἐπ' ἀρετῇ καὶ σεμνοτέροις εὑρήμασι τῶν πρὸς τὰς ἀνθρωπίνας χρείας τεινόντων, τοὺς δ' ἐπὶ τοῖς ἐναντίοις καὶ χείροσι, καὶ ὡς ἐθεοποιοῦντο μὲν οἱ πλείους ἐκείνων, ζῶντες αὐτοί, ἄλλοι δὲ καὶ ζῶσι καὶ τελευτήσασιν αὐτοῖς ἐχαρίζοντο, τὸ τὴν τοιαύτην ἀφροσύνην κυροῦν, τοῦτο καὶ πᾶσαν παρεληλύθει τότε δυσσέβειαν.

Τῆς τοιαύτης πλάνης τὸ τῶν ἀνθρώπων κατασχούσης γένος ἅπαν σχεδὸν ἐς πλεῖστον τὸν χρόνον ὁ Θεὸς ἀπήλλαξε μόνος, ὁ καὶ μόνος τοῦτο δυνάμενος. Καὶ νῦν ἅπας ὁ κόσμος εἰς ἕνα πιστεύει Θεόν, οὔτε τῆς τῶν ἀθέων φροντίζων ἀναισθησίας, ἧς οὐδὲ τὸν πρόσθεν χρόνον ἐφρόντιζεν, οὔτε τῆς τῶν πολυθέων ἀνευλαβείας ἐν εὐλαβείας προσχήματι. Εἰ γάρ πού τις γέγονε πρὸ μικροῦ, τὴν Ἑλληνικὴν πολυθεΐαν αὖθις ἐθέλων ἀνανεοῦν, δι' ἀμβλύτητα μὲν διανοίας τοῦτο καὶ αὐτὸς ἐπεπόνθει· ἀμβλύτεροι δ' ἂν εἶεν, εἴ πού τινες ἐκείνῳ προστεθειμένοι, τὴν ἐξόριστον πλάνην ἀντὶ τῆς ἀληθεστάτης καὶ κοινῆς τῶν ἀνθρώπων δόξης αἱροῖντο. Καὶ ἡμεῖς κατὰ τῆς ἀβουλίας ἐκείνου πλεῖστα συνεγραψάμεθα, οὐκ ἐκείνου f. 136v καὶ ὧν ἠδολέσχει κατὰ τῆς ἱερᾶς ἀληθείας φροντίζοντες, ἀλλὰ | τῆς τῶν πλείστων ἐν τῷ γένει νῦν ἀμαθίας, τῷ πάλαι τε καὶ πρὸ μικροῦ σοφωτάτῳ, δι' ἣν καὶ κινδυνεύσειεν ἄν τις τῶν ἁπλουστέρων τῇ ψευδεῖ περὶ τῆς ἐκείνου σοφίας φήμῃ πειθόμενος. Μαθημάτων μὲν γὰρ τῆς ὑπτιότητος μόνης μετέσχεν, ἄλλο δ' οὐδὲν ἄξιον αὐτῶν τε ἀπώνατο καὶ τῆς ἐπικοσμούσης ταῦτα σοφίας. Εὐφραδίας δὲ καὶ ἐπεμελήθη μὲν καλῶς τῆς ἀρχαίας, ἀλλ' ἐν ἀσεβεστάτῳ καὶ ἀφρονεστάτῳ συγγράμματι, ἣν ἡ Λατίνων παροιμία διὰ τοῦτο προσηκόντως τιμᾷ ἐν τοῖς εἰλικρινῶς καὶ μόνης αὐτῆς ἐπιμεληθεῖσιν. Ἐν τούτοις μὲν οὖν, κἂν εἶχέ τις αὐτὸν ἐπαινεῖν, οὕτω δ' ἁπλοῦς πάνυ καὶ τῶν χυδαίων οὐδὲν σχεδὸν διαφέρων ἦν περὶ τὸ δύνασθαι κρίνειν ἀληθείας πέρι καὶ ψεύδους, ὥστε καὶ παῖς αὐτὸν ἐξήλεγχεν ἄν, καὶ παιδὶ ἀντιλέγειν οὐκ ἂν οἷός τ' ἦν, πειραστικῶς ψευδομένῳ· διὸ καὶ τὴν πλάνην ὑπέστη ταύτην, καὶ ἡμεῖς, τῆς ἀρίστης ἐκείνου νομοθεσίας (οὕτω γὰρ ἐπέγραφε τὸ βιβλίον) οἰκείαις χερσὶ γεγραμμένον, δημοσίαν τήν τε ἀντιλογίαν ἐποιησάμεθα καὶ τὴν

1 *πολλῶν* om C *ἄλλων* en interligne A, om PB 8 *ἅπαν* om P 9 *ὁ καὶ μόνος* om G 10 *οὔτε*: *οὕτω* G 13-14 *ἐθέλων αὖθις* A 17-18 *ἐκείνο καὶ ἐκείνων δὲ* G 19 *τε* om B 22 *αὐτῶν*: *αὐτῷ* G 23 *καὶ* om ABC *καλῶς* om P 25-26 *ἐν τοῖς μόνης αὐτῆς εἰλικρινῶς ἐπιμ.* A. Dans la marge PAC: *παροιμία Λατίνων· πούρους γραμμάτικους, πούρους ἄσινους·*
= *purus grammaticus, purus asinus:*
Εἰλικρινὴς γραμματικός, εἰλικρινὴς ὄνος.
mais P n'a pas la première ligne (latine). Passage cité par Allatius dans la *Diatriba de Georgiis*, p. 389.

ποινήν, πυρὶ παραδόντες. Ἠνάγκαζε δὲ ἡμᾶς ὁ τοῦ δι' ἡμᾶς τὴν ἡμετέραν φύσιν προσειληφότος Υἱοῦ τοῦ Θεοῦ καὶ τῆς ἀρίστης ἐκείνου νομοθεσίας πόθος καὶ φόβος, οἷς ἱκανοποιοῦντας οὐκ ἂν προσῆκεν ἄλλως ποιεῖν.

Τῶν μὲν οὖν πολυθέων ἐξελέγχειν τὴν πλάνην διὰ ταῦτα νῦν οὐ καιρός, ἀρκούντως τε ἐληλεγμένης ὑπ' αὐτοῦ Θεοῦ καὶ τῶν τὰ θεῖα φρονούντων, καὶ νῦν ὑπὸ γωνίᾳ μόνον καὶ σκότει πολυθεούντων ἴσως ὀλίγων, ὅτι μὴ τολμῶσιν ἀναιδεύεσθαι κατὰ τῆς πανταχοῦ κρατούσης ἀληθείας· ὁ πᾶς γὰρ νῦν, ὡς εἴρηται, κόσμος, καὶ εἶναι Θεόν, καὶ τοῦτον ἕνα εἶναι φρονεῖ. Ἐπεὶ δὲ τὸν ἕνα Θεὸν διαφόρως τιθέντες εἰς πλείους αἱρέσεις καταμερίζονται, ἡμῖν μὲν ἀρκεῖ καὶ τοῖς ἄλλοις, ὁπόσοι τοῖς θείοις τοῦ Ἰησοῦ καὶ σωτῆρος ἡμῶν νόμοις ἀγόμεθα, αὐτὸν ἐκεῖνον προΐστασθαι καὶ τοὺς αὐτοῦ μαθητὰς καὶ τοὺς ἐκείνων αὖ διαδόχους, καὶ τὸν ἕνα Θεόν, ὡς ἐκεῖθεν δεδιδάγμεθα, φρονεῖν τε καὶ τοῖς οἰκείοις κηρύττειν τῆς πίστεως· ἀλλὰ τῶν διαφερομένων εἵνεκα καὶ περὶ τούτου τι προσ|θετέον. f. 137

Ὅτι τοίνυν ὁ εἷς κατ' οὐσίαν Θεὸς ἅμα καὶ τριάς ἐστιν ἰδιοτήτων ἔργῳ διακεκριμένων, ταὐτὸν δ' εἰπεῖν ὑποστάσεων, πλείους μὲν ἀποδείξεις ἔξεστι κομίζειν ἔκ τε τῆς παλαιᾶς ἔκ τε τῆς νέας Γραφῆς· ἀλλὰ τοῖς τὰς αὐτὰς ἡμῖν οὐκ ἔχουσι περὶ τῶν θείων ἀρχὰς ἔκ τινων ἀρχῶν κοινοτέρων δεῖ τοὺς λόγους ποιεῖσθαι.

Ἐπεὶ τοίνυν Ἰουδαῖοί τε καὶ σὺν αὐτοῖς ἕτεροι τὴν ἐν τῷ Θεῷ τριάδα φανερῶς ἐξαρνούμενοι, τὴν τοῦ Μωσέως διδασκαλίαν, εἰ καὶ μὴ λίαν ὁμοίως, προσίενται· Ἰουδαῖοι γὰρ καθάπαξ αὐτῆς περιέχονται ὡς ἐκ Θεοῦ δεδομένης, εἰ καὶ τὰ περὶ τῆς θείας οἰκονομίας ἐθελοκωφοῦντες αὐτὴν παρατρέχουσιν, ἢ διαστρόφως παρερμηνεύοντες· ἀρκεῖ καὶ ἡμῖν νῦν διὰ ταῦτα ἐκ τῆς τοῦ Μωσέως διδασκαλίας ὡς κοινοτάτης πᾶσιν ἀρχῆς τὴν ἐν τῷ Θεῷ δεῖξαι τριάδα τοῖς περὶ ταύτης πρὸς ἡμᾶς διαμφισβητοῦσιν. Καὶ βιβλίοις μὲν ὅλοις, οὐ μόνον διαλέξεσι δημοσίαις πρὸς ἑκατέρους, τὴν λαμπροτάτην ἀλήθειαν τῆς παρ' ἡμῖν ἱστορήκαμεν πίστεως, νῦν δ' ἕν τι καὶ ἐκ μιᾶς τοῦ Μωσέως φωνῆς αὐτοῖς προθησόμεθα. Ὁ τοίνυν ἔνθεος Μωσῆς εἰσάγει τὸν Θεὸν ἐν τῷ τὸ σύμπαν τόδε διανενεμημένως τε δημιουργεῖν καὶ εὐτάκτως, πρὸς ἑαυτὸν λέγοντα· „Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν." Εἰ τοίνυν ἀληθής ἐστι Μωσῆς καὶ κατ' αὐτούς, καὶ Θεὸς οὕτως εἶπεν ὁμολογουμένως πρὸς ἑαυτόν, καὶ θεῖος ταῦτα λόγος ἐστίν· ἔχομεν δὲ ἐκ τοῦ λόγου τούτου προδήλως, ὅτι τε εἷς ἐστιν ὁ Θεός· εἶπε γάρ, φησίν, ὁ Θεός· καὶ ὅτι πλῆθός τι καὶ ἀριθμός τις ἐν τῷ ἑνὶ νοεῖται Θεῷ· ποιήσωμεν γάρ, ἔφη

15 *ἕνεκα* ABC 22 *ἐξαρνούμενοι*: *δὴ ἀρνούμενοι* G 26 *τοῦ* om ABC 32 Gen. 1, 26 34 *καὶ* avant *κατ' αὐτοὺς* en interligne BC 35 *δὲ*: *δὴ* G 37 *ἔφη* en interligne C: *εἶπε* A

πρὸς ἑαυτὸν ὁ Θεός, ὡς δὴ τρόπῳ τινὶ καὶ πλήθους ἐν ἑαυτῷ μετέχοντα· καὶ ὅτι κατ' εἰκόνα Θεοῦ γέγονεν ἄνθρωπος καὶ ἔστι· κατ' εἰκόνα γάρ, φησίν, καὶ ὁμοίωσιν ἡμετέραν· καὶ εὐλόγως πάνυ κατ' εἰκόνα θείαν ἔμελλε γίνεσθαι οὐ μόνον ὡς αὐτεξουσιότητι τιμηθησόμενος, δι' ἣν καὶ τῶν γενητῶν πάντων ἄρχων ἔσται καὶ τέλος μετὰ Θεόν, ἀλλὰ δὴ καὶ ὡς τῆς f. 137v θείας ἑνότητος καὶ τοῦ ἐν αὐτῇ | μέλλων ἀριθμοῦ μετέχειν. Ὅθεν δὴ καὶ μετέσχεν ἁμηγέπη, εἷς τε ὢν καὶ ἐκ πλειόνων τὴν ψυχὴν συνηρμοσμένος δυνάμεων. Τοῦτον τὸν θεῖον ἀριθμὸν ὁ ἐκ Μωσέως ἥξειν προφητευθεὶς Ἰησοῦς ἡμῶν ἀνέπτυξε· τούτου χάριν καὶ τῆς ἄλλης ἡμῶν βελτιώσεως ἀφιγμένος τε καὶ ἥξειν πόρρωθεν προκατηγγελμένος, καὶ βαπτίζεσθαι δεῖν ἔφη πιστεύοντας εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· οἷς τρισὶν οὖσιν ἓν ὄνομα καὶ κοινόν ἐστιν, ἡ μία θεότης, καὶ τό, Θεὸν ἕνα τὰ τρία ταῦτ' εἶναι. Ἀλλὰ καὶ πρὶν ἥκειν τὸν Ἰησοῦν, ὁ Δαυῒδ τὴν ἐν τῷ Θεῷ τριάδα ταύτην ἐδήλου καλῶς, τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν λέγων, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν· ἀντιλέγειν δὲ οὐδὲ τῷ Δαυῒδ ἔχουσιν οἱ πρὸς ἡμᾶς διϊστάμενοι. Καὶ ἐκ τῶν ἄλλων δὲ προφητῶν τὸ περὶ τῆς ἐν τῷ Θεῷ τριάδος καλῶς ἀθροίζεται δόγμα, ταῖς περὶ τῆς θείας οἰκονομίας προρρήσεσιν αὐτῶν οἰκείως ἐναρμοζόμενον.

Ἀλλὰ νῦν τὸ ἀνθρώπειον προστησάμενοι χρῆμα κατ' εἰκόνα θείαν γεγενημένον, οὐδ' ἐκ τοῦ Μωσέως μᾶλλον καὶ ὃν εἰσάγει λέγοντα τοῦτο Θεὸν ἢ ἐκ τῆς φαινομένης περὶ τὸν ἄνθρωπον ἀληθείας τὸ δόγμα τοῦτο, καὶ λόγῳ δυνάμενον κρατεῖν δείξομεν. Ἅπαν μὲν δὴ ποίημα ὅμοιόν πως ἐστὶ τῷ μετὰ νοῦ ποιοῦντι· ποιεῖται γὰρ κατὰ τὸ περὶ αὐτοῦ ἐντυπωθὲν εἶδος τῷ νῷ τοῦ ποιοῦντος· καὶ ἡ ἄϋλος ἐν αὐτῷ τοῦ ποιήματος ὁμοιότης ἐν τῇ ὕλῃ κοινωνεῖται οἰκείως αὐτῇ· διὸ καὶ ἀσθενής ἐστιν ὁμοιότης. Ὡς γὰρ τῷ ἴχνει γινώσκομεν ἄνθρωπον εἶναι, τὸν περιπατήσαντα, οὕτω καὶ οἰκίαν ἰδόντες, νοοῦμέν τε ἔργον οἰκοδόμου αὐτὴν εἶναι καὶ τὴν τοῦ ᾠκοδομηκότος ἕξιν τε καὶ δύναμιν συννοοῦμεν· τῇ γὰρ τῶν ποιημάτων διαφορᾷ τὴν διάφορον τῶν πεποιηκότων ἕξιν καταμετροῦμεν τῷ λογισμῷ, καὶ ἡ ὁμοιότης αὕτη ἴχνους ὁμοιότης ἔστι τε καὶ καλεῖται. Εἰ τοίνυν ἐπὶ τῶν κατὰ μέρος ποιούντων τοῦτ' ἔστιν ἀληθές, πολλῷ μᾶλλον ἐπὶ τοῦ f. 138 καθόλου ποιοῦντος. Ἀλλὰ ταῦτα μὲν | καὶ σύστοιχά πως τοῖς ποιουμένοις εἰσίν, ὡς κτιστὰ πάντα τῷ γένει· ἡ δὲ πρώτη πάντων αἰτία τῶν ποιημάτων αὐτῆς ἀπειράκις ἀπείρως ὑπέρκειται. Διὸ καὶ ἀμυδροτάτη ἐστὶν ἡ ἐν αὐτοῖς ὁμοιότης τῆς ὑπερβαλλούσης ἐν τῷ ποιοῦντι δυνάμεως τὴν τῆς ὁμοιότητος ἀσθένειαν ἐν τοῖς γινομένοις οὕτω ποιούσης· ἀλλ' εἰ καὶ

3 *καὶ ὁμοίωσιν* om ABC 5 *γεννητῶν* G 14-15 Ps. 32, 6 16 *καὶ* (1°): *ἀλλ'* G 12 *ἐστιν* om P 18 *τῷ* om A 21 *ἐσάγει* G 27 *περιπατήσαντα εἶναι* ABC 29 *τε* om PG 33 *καὶ* om PBC 37 *ἀλλὰ καὶ* G

ἀσθενής ἐστιν οὕτω καὶ ἀμυδρά, ἀληθὴς μέντοι γε, ὡς ἀδύνατον ὂν ἄλλως ἔχειν.

Ἔστι μὲν οὖν πάντα τὰ τοῦ Θεοῦ ποιήματα ὅμοιά πως αὐτῷ κατὰ τοῦτον τὸν λόγον, ὡς τὴν τοῦ πεποιηκότος ἐν σφίσιν αὐτοῖς ἐμφαίνοντα σοφίαν καὶ δύναμιν. Οὐδὲν γάρ ἐστι, κἂν τὸ σμικρότατον ᾖ, ὃ μὴ θαυμάσειεν ἄν τις ἐκτόπως ἀντὶ τῶν ἐκ τοῦ μεγέθους ἐλαττωμάτων σοφίας αὐτοῖς καὶ μεθόδων ξένων ἐγκατῳκισμένων θεόθεν. Πρόσεστι δὲ αὐτοῖς καὶ τὸ δραστικόν τε καὶ ὠφέλιμον πλείοσι, καὶ ταῦτα πάντα πρὸς τὴν πρόνοιαν τῆς ἀνθρωπίνης προὔργου καταστρέφει ζωῆς. Ἀλλ᾽ οὐδὲν τούτων εἰκὼν τοῦ Θεοῦ λέγεται· ἄνθρωπος δὲ μόνος κατ᾽ ἐξοχὴν τῶν ἄλλων ἁπάντων· οὐρανὸς μὲν γὰρ καὶ τὰ οὐράνια σώματα οὐκ ἄνευ ὕλης ἐστί, καὶ σώματα μόνον εἰσὶν ἄνευ ψυχῶν· ἄνθρωπος δὲ μόνος ἄϋλος καὶ ἀσώματος τῷ τῆς ψυχῆς, ὡς εἴρηται, μέρει, καὶ μόνος νοερὸς ἄρα, εἰ κἀκεῖνα πάντα μίαν ὁμοιότητα κοινοτάτην, τὴν κατά γε τὸ εἶναι, πρὸς τὴν ἰδίαν αἰτίαν ἔχουσιν· αὐτά τε γάρ εἰσι καὶ Θεὸς ἔστιν, εἰ καὶ τὸ θεῖον εἶναι τοῦ ἐν αὐτοῖς πᾶσιν εἶναι ἀπειράκις ἀπείρως ὑπέρκειται. Ἔνια δὲ τῶν ὑποκάτω καὶ μείζω τὴν κατὰ τὸ ζῆν ὁμοιότητα ἔχει· ἀλλ᾽ ἡ κατὰ τὸ νοεῖν ὁμοιότης ὑπὲρ πάσας ταύτας ἰδίως ἐστίν, ὡς οὐδ᾽ ἔστι παραβαλεῖν, ἰδίως ἀνθρώπῳ μόνῳ προσήκουσα ἔν γε τοῖς φαινομένοις τούτοις. Ἄγγελοι δέ, νοῖ μὲν ὄντες εἰλικρινεῖς εὐθὺς ἀπ᾽ ἀρχῆς, τῆς τοιαύτης ὁμοιότητος ἡμῶν μετέχουσιν ἄμεινον· ἄλλοις δὲ λόγοις καὶ τῶν ἀγγέλων αὕτη πλείων τοῖς ἐσπουδακόσιν ἐξ ἀνθρώπων ἁρμόττει. Μόνος τοίνυν ἐκ τῶν φαινομένων πάντων ὁ ἄνθρωπος εἰκὼν τοῦ Θεοῦ καὶ ἔστι καὶ λέγεται· καὶ λίαν εὐλόγως. Λέγεται μὲν γὰρ κατὰ τὴν ψυχὴν μάλιστα ἄνθρωπος, ὡς δ᾽ ὄργανον αὐτῇ τὸ σῶμα συνῆπται· | ἀνθρώπου δὲ ψυχὴ καθ᾽ αὑτὴν ἀσώματός f. 138v ἐστι καὶ ἄϋλος καὶ νοερά. Ταυτὶ δέ, θεῖα πλεονεκτήματα καὶ τοῦ Θεοῦ τελειότητες, εἰ καὶ ἀπείρῳ τῇ ὑπεροχῇ διενηνόχασιν ὡς ἔνεισι τῷ Θεῷ, ἢ ὡς ἐν ἀνθρώπῳ εἰσίν. Ἀσωματότης μὲν οὖν καὶ ἀϋλία, ἀπόφασις ὕλης ὄντα καὶ σώματος, ἁπλῶς ἐν ἀνθρώπῳ θεωροῦνται· νοερότης δέ, φύσιν ἐν αὐτῷ τιθεῖσα καὶ φύσεως δύναμιν, οὐ παντάπασιν ἁπλῶς θεωρεῖται, μετ᾽ ἀναγκαίας δέ τινος διακρίσεως. Νοῦς τοίνυν ὁ ἄνθρωπος ὢν κατὰ τὴν ψυχήν, ἐνέργειαν ἔχει τὴν νόησιν· νοῦ γὰρ ἐνέργεια, τὸ νοεῖν, ὡς θερμοῦ τὸ θερμαίνειν. Ἡ δὲ τοιαύτη ἐνέργεια πρός τι φέρεται τέλος· τοῦτο δ᾽ ἂν εἴη τὸ νοητόν, ἀντικείμενον τῷ νοοῦντι ὡς τέλος. Ἡ δὲ νόησις μεταξύ ἐστιν, ὥσπερ κοινὴ σχέσις ἄμφω συνάπτουσα, ἐκ τοῦ νοῦ μὲν προϊοῦσα, τοῦ νοητοῦ δὲ οὖσα, καὶ εἰς τοῦτο ὁριζομένη, ὥστ᾽ εἶναι τῆς νοήσεως ὥσπερ ὅρους τόν τε νοῦν καὶ τὸ νοητόν· τὸ δὲ νοητὸν εἶδος εἶναι

---

1 *ὂν* om A, en interligne B 7 Ps. 32, 6 10-11 *ἄνθρωπος — ἁπάντων* om PBC 15 *αὐτά τε — εἰ καὶ* om A *δὲ* après *τὸ* add A 23-24 *καὶ λίαν* om A 24 *γὰρ* en interligne C 30 *ἐν αὐτῇ* G

δεῖ καὶ ὁμοιότητα τοῦ νοοῦντος νοῦ καὶ νοῦν νοητόν, ὥσπερ ἡ τῆς νοήσεως ἀρχὴ νοῦς ἐστι νοῶν. Φημὶ δέ, ἐπειδὰν ὁ νοῦς ἑαυτὸν νοῇ, ἢ τὸ αὐτοῦ ἔργον πρὶν γενέσθαι. Τὸ γὰρ ἐξ ἀφαιρέσεως εἶδος μάλιστα μὲν ὁμοιότης ἐστὶ τοῦ ἔξω πράγματος, ὡς ἂν δι' αὐτοῦ τὸ πρᾶγμα νοῆται· ἔστι δὲ καὶ τοῦ νοῦ ὁμοιότης ὡς νοητὸν καὶ τῷ νῷ γενόμενον ὅμοιον· καὶ ἔστι μὲν ἐν τῷ νῷ τὸ νοητὸν εἶδος, ὅταν αὐτὸ μένειν ὁ νοῦς ἐν ἑαυτῷ βούληται, καὶ τοιοῦτον ὄν· ἐπειδὰν δὲ βουληθῇ, καὶ ἔξω προάγεται, ἢ προφορικῷ φανερούμενον λόγῳ, ἢ καὶ εἰς τὴν ὕλην ἔξω τιθέμενον, ἂν τοιοῦτον ᾖ. Φαμὲν δέ· ἕως ἂν βούληται, διὰ τὸ τὸν ἀνθρώπινον νοῦν δυσὶν ἐνεργείαις εἶναί τε καὶ ζῆν, τῇ τε νοῦ νοεῖν καὶ τῇ τοῦ θέλειν, ἔνδον αὐτῷ καὶ νοερᾶς τῆς θελήσεως οὔσης, ὥσπερ δήπου καὶ τῆς νοήσεως, αἳ κατὰ διάφορον ἀπόβλεψιν διάφορον τάξιν ἔχουσιν ἐν τῷ νῷ. Μάλιστα μὲν γὰρ προτέρα τῷ λόγῳ ἡ νόησις, ἡ δὲ θέλησις ἕπεται. Ἔστι δ' ὅτε προτέρα f. 139 τῆς νοήσεως ἡ θέλησις· οὐ γὰρ θέλει μόνον ἅ ποτε νοεῖ | ὁ ἀνθρώπινος νοῦς, ἀλλὰ καὶ νοεῖ πως ἃ θέλει· καὶ τοῦτο μὲν πλειόνων δεῖται λόγων, τὴν δὲ νῦν ὑπερβαίνοντες χρείαν, ἐπὶ τὸ προκείμενον βαδιούμεθα.

Ὁ τοίνυν ἀνθρώπινος νοῦς νοεῖ μὲν τὰ ὑπὲρ αὐτόν, ἕως ἂν ἐν τῷ σώματι ᾖ, ἀμυδρῶς, ἀληθῶς μέντοι καὶ ὡς ἔν τινι τῆς κατ' αὐτὰ ἀληθείας εἰκόνι, εἰ ταῖς οἰκείαις καὶ ἀληθέσιν ἀρχαῖς τῆς τοιαύτης σκέψεως ἕποιτο, ὃ τῶν εὐσεβούντων περὶ τὰ θεῖα μόνων ἐστί, σοφίᾳ τε ἀληθεῖ καὶ φρονήσει κυβερνωμένων. Φυσικώτερον δὲ διαλεγόμενοι νῦν οὐ λέγομεν περὶ τῶν κατὰ θείαν ἀποκάλυψιν ἐν τοῖς ἁγίοις νοήσεων· νοεῖ δὲ καὶ τὰ αὐτῷ σύστοιχα, σπουδῇ καὶ μαθήσει καὶ εὑρέσει τὸν ἐν αὐτῷ τῆς γνώσεως ἐξάπτων σπινθῆρα· καὶ ταῦτα δὲ τελειοτέρως νοεῖ ὡς τῇ αὐτοῦ σύστοιχα δυνάμει· ὅσῳ δὲ σπουδαιότερον, τοσούτῳ καὶ τελεώτερον· τελεώτερον δ' ἔτι νοεῖ τὰ οἰκεῖα ἔργα, ὡς οὐ μόνον γεγενημένα νοῶν, ἀλλὰ καὶ πρὶν ὑποστῆσαι ταῦτα νενοηκώς, ὡς καὶ ἔργῳ ὑποστησόμενα καὶ διὰ τοῦτο μᾶλλον ὕστερον ὑποστήσας, διότι νενόηκε πρότερον ὡς ὡδί πως ὑποστησόμενα. Τὸ μὲν οὖν ἐν τῷ ἀνθρωπίνῳ νῷ νοητὸν εἶδος, ὃ τῆς ἐν αὐτῷ νοήσεώς ἐστιν ἀρχή, οὐχ ᾗ τὸ εἶδος, ἀλλ' ᾗ τῷ εἴδει νοεῖ, εἴτ' ἔνδον μόνον τῆς νοήσεως οὔσης, ᾗ σοφὸς καὶ θεωρητικὸς γίνεται μόνον, εἴτε καὶ ἔξω προϊούσης, καθ' ἣν καὶ πρακτικός ἐστι καὶ γίνεται· τὸ τοιοῦτον ἅπαν νοητὸν εἶδος ὁ νοητὸς τοῦ ἀνθρώπου λόγος ἐστί, δι' οὗ πρὸς ἑαυτὸν ὡς εἰπεῖν ὁ ἀνθρώπινος διαλέγεται νοῦς, γέννημα μὲν ὢν τοῦ νοῦ διὰ τῆς κατὰ τὴν νόησιν ἐνεργείας, τελειότης δὲ αὐτοῦ καὶ σοφία οἷον εἰπεῖν καὶ ἀλήθεια. Ἡ δὲ νοερὰ θέλησις τὸ ἐν ἀνθρώπῳ πνεῦμα μορφοῖ, περὶ οὗ λέγεται,

---

2 ᾗ G 7 καὶ τοιοῦτον: μὴ τοιοῦτον G προάγηται G 10 αὐτοῦ A
14 ἃ δήποτε B 16 ὑπερβαίνοντος G 17 ἀνθρώπειος P 19 ἀληθεύειν G, qui met en note: Fort. ἀλήθεσιν 23 τε après μαθήσει add A 24 δὲ: δὴ AC
26 γεγεννημένα G 33-34 ἀνθρώπειος P 34 ὢν: ὂν A

ὡς οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου, τὰ ἐν τῷ βάθει δηλονότι τῆς αὐτοῦ προαιρέσεως, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ κατοικοῦν ἐν αὐτῷ. Καὶ ἔστιν ἡ νοερὰ θέλησις αὕτη, διατείνουσα μὲν καὶ πρὸς αὐτὸν τὸν νοῦν· θέλει γὰρ ἑαυτὸν ὁ νοῦς, ὥσπερ δὴ καὶ νοεῖ, καὶ τὸ οἰκεῖον ἀγαθὸν θέλει, ἐπεὶ πρὸς τὸ θελητὸν ἡ θέλησις, ὡς ἡ νόησις πρὸς τὸ νοητὸν φέρεται· καὶ ὡς ἐκεῖ νοητόν ἐστι τἀληθές, | οὕτω θελητὸν ἐνταῦθα τὸ f. 139v ἀγαθόν. Ὡς οὖν τὸ οἰκεῖον ἀγαθὸν θέλων ὁ νοῦς, νοεῖ καὶ θέλων, ὡς εἴρηται, τελείωσιν εἰδὼς ἑαυτοῦ τὴν νόησιν οὖσαν· διατείνει μὲν οὖν ἡ νοερὰ τοῦ ἀνθρώπου θέλησις καὶ πρὸς αὐτὸν τὸν νοοῦντα νοῦν, ἀλλὰ μάλιστα πρὸς τὰ ἔργα αὐτοῦ καὶ ποιήματα διατείνει, κἂν τούτοις μάλιστα ἐνεργεῖ, κἂν τούτοις μάλιστα διαφαίνεται.

Τὸ μὲν οὖν ἀνθρώπειον χρῆμα, τοιοῦτον, συλλήβδην εἰπεῖν· πολλοῦ γὰρ ταῦτα γέμει τοῦ πλάτους, προὔργου σκοπούμενα, καὶ τοιοῦτος ὁ ἀνθρώπινος νοῦς, νῷ καὶ νοητῷ λόγῳ καὶ νοερᾷ θελήσει, ἢ νοητῷ μᾶλλον ἔρωτι, τὴν ἰδίαν τελειότητα ἔχων, καὶ τούτοις διαμορφούμενος νοητῶς τοῖς τρισὶν ἰδιώμασι. Ταὐτὸν δέ ἐστι νοῦν ἀνθρώπινον εἰπεῖν καὶ ψυχὴν ἀνθρωπίνην, ἐξηπλωμένως μὲν τοῦ νοῦ, συνεσταλμένως δὲ τῆς ψυχῆς νοουμένων· ταὐτόν τέ ἐστιν ἀνθρωπίνην ψυχὴν καὶ ἄνθρωπον φάναι κυρίως, ὡς εἴρηται πρότερον.

Ἀλλὰ μὴν ἐκ τῆς πρώτης αἰτίας ἄνθρωπος ἅπαντα ταῦτα καὶ τοῦ πεποιηκότος ἔχει Θεοῦ, ὥστε κατὰ τὰ ἐξ ἀρχῆς ὑποτεθειμένα πολλῷ μᾶλλον ὁ Θεὸς ταῦτα ἀϊδίως ἔχει καὶ συμφυῶς, εἰ καὶ ὑψηλότερον ἀπειράκις τρόπον, ὡς εἴρηταί τε καὶ αὐτίκα μᾶλλον δειχθήσεται. Κἀντεῦθέν ἐστι τό, τὸν ἄνθρωπον κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν λέγεσθαι γεγενῆσθαι, ὅτι τῇ ἐν αὐτῷ τριάδι τοῦτον ὁ Θεὸς ἀφωμοίωσε· καὶ διὰ τοῦτο καλῶς ἀπὸ τῆς εἰκόνος ἐπὶ τὸ παράδειγμα τὰ εἰρημένα περὶ αὐτῆς δεῖ μεταφέρειν, ἐναργέστερον ἐκεῖ καὶ οἰκειότερον ἅμα θεολογούμενα, ὡς τοῖς διδασκάλοις τῆς Ἐκκλησίας κηρύττεται καθ' ἡμέραν. Ἔστι γὰρ ὁ εἷς καὶ ἁπλούστατος κατὰ φύσιν Θεὸς καὶ τοῦ παντὸς τοῦδε μόνος δημιουργὸς κατὰ τὴν τῶν θείων λογίων ὑφήγησιν, τριὰς ἰδιοτήτων καὶ ὑποστάσεων, νοερὰ δὲ τριάς, τῷ πρώτῳ νῷ καὶ παντὸς αἰτίῳ κτιστοῦ νοῦ πρέπουσα, ὁ θεῖος νοῦς δηλονότι, καὶ ὁ νοητὸς αὐτοῦ λόγος, καρπὸς ἔμφυτος τῆς τοῦ ἀγεννήτου νοήσεως νοῦ, καὶ ὁ νοητὸς ἔρως, καρπὸς τῆς νοερᾶς τοῦ πρώτου νοῦ καὶ ἐνδοτέρας θελήσεως. Νοῦς γὰρ | ὢν ὁ Θεὸς σοφώτατός f. 140 τε καὶ ἀγαθώτατος, οὐδ' ἐκ τῆς ἐν ἡμῖν ὁμοιότητος αὐτοῦ μόνον, ἀλλὰ καὶ πάσαις ἀνάγκαις οὕτω πεπιστευμένος, νοεῖ μὲν ἑαυτὸν ἀϊδίως· αὐτὸς γάρ ἐστι τἀληθές, ὃ νοῦ τε καὶ νοήσεως τέλος· ἐρᾷ δὲ καὶ ἑαυτοῦ ἀϊδίως·

1 I Cor. 2, 11 1-2 *τὰ ἐν τῷ — προαιρέσεως* om PBCG 10-11 *κἂν … κἂν* G
14 *νοερᾷ*: *νοητῇ* A 22 *εἰ καί*: *εἷς* G 24 *γεγεννῆσθαι* G 25 *αὐτῷ* G
37 *τε* en interligne C

αὐτὸς γάρ ἐστι τἀγαθόν, ὃ θελητόν ἐστι τῷ νῷ καὶ τῆς νοερᾶς θελήσεως τέλος. Καὶ νοῶν μὲν ἑαυτόν, ἀΐδιον συλλαμβάνει λόγον ἐν ἑαυτῷ, θέλων δὲ ἑαυτόν, ἀΐδιον ἀγάπην προάγει· ἅμα τε οὖν προάγει λόγον νοῶν καὶ ἑαυτὸν νοεῖ τῷ λόγῳ, καὶ θέλων ἀγάπην προάγει, καὶ ἀγαπᾷ ταύτῃ καὶ θέλει, καὶ οἱ συμφυεῖς οὗτοι βλαστοὶ καὶ τόκοι τῆς νοερᾶς ἐν τῷ Θεῷ γονιμότητος, οὐκ αὐτοῦ μόνον ὡς ἀληθῶς προάγοντος ἀληθῶς προϊόντα, ἀλλὰ καὶ ἀλλήλων, τῷ διαφόρῳ τῆς προόδου διακρίνονται τρόπῳ, φύσει δὲ ἕν εἰσιν ἀλλήλοις τε καὶ τῷ προάγοντι νῷ. Καὶ ὁ μὲν θεῖος λόγος νοῦ καὶ νοητοῦ παντός ἐστιν αἴτιος ἐν τοῖς οὖσι, καὶ πάσης ἁπλῶς οὐσίας καὶ φύσεως· οὐ γὰρ τοῦ προάγοντος νοῦ μόνον, ἀλλὰ καὶ τῶν δι' αὐτοῦ νοουμένων ἔργων ἔξω αὐτοῦ πέφυκεν ὁμοιότης, εἰ καὶ μὴ ὡσαύτως· ὅθεν εἰκὼν μὲν ἔμφυτος λέγεται τοῦ γεννήσαντος νοῦ καὶ ἀεὶ γεννῶντος, ἰδέα δὲ τῶν κτισμάτων ὑπερφυής, καὶ πρὸς τὸν Θεὸν μὲν αὐτὸς εἶναι καὶ τοῦ Θεοῦ, πάντα δὲ δι' αὐτοῦ γεγονέναι· αἴτιον δὲ παντὸς ἀγαθοῦ τοῖς οὖσίν ἐστιν ἡ θεία ἀγάπη, τὸ Πνεῦμα δηλονότι τὸ ἅγιον· συνέχει γὰρ πάντα καὶ ἐπιστρέφει πρὸς τἀγαθόν. Καὶ διὰ τοῦτο μετ' αὐτῶν εἷς ἐστι Θεὸς ὁ Πατὴρ καὶ δημιουργὸς ἁπάντων τῶν ὄντων, καὶ πάντα ἐκ τῶν πρώτων ἄχρι καὶ τῶν ἐσχάτων ἔργα τε καὶ δοῦλα τοῦ ἑνός εἰσι Θεοῦ καὶ τῆς ἐν αὐτῷ συμφύτου τριάδος.

Τῷ μὲν οὖν πράγματι αἰτία ἐστὶν ἡ μακαρία καὶ θεία Τριὰς τῆς ἐν ἀνθρώπῳ τριάδος, τῇ δ' ἡμετέρᾳ τῶν ἀνθρώπων γνώσει ἡ παρ' ἡμῖν τριὰς αἴτιόν πως τοῦ κἀκείνην ὡς οἷόν τε γινώσκεσθαι, ὡς τοῦτο πρῶτον ἀπολαύειν ἔχειν ἡμᾶς τῆς ἐκεῖθεν ἐν ἡμῖν εἰκόνος, τὸ δύνασθαι δι' αὐτῆς τὴν ἀληθῆ καὶ πρώτην καὶ τοῦ παντὸς αἰτίαν εἰδέναι τριάδα. Τουτὶ δέ φαμεν περὶ τῶν ἀτελῶς ἔτι νοούντων κἂν τῇ τῶν εἰσαγομένων τάξει· τοῖς δὲ
f. 140v τελεώτερον | ἐσπουδακόσιν εἰδέναι, ἢ δώρῳ ἐκ Θεοῦ εἰληφόσιν, ὃ καὶ πάνυ μεῖζόν ἐστιν, ἐκεῖθεν ἡ ἐν ἡμῖν ἀκριβέστερον κατανοεῖται τρίας· ὅθεν οὐδὲν θαυμαστὸν εἰ πολλοὶ τὴν θείαν ἀγνοοῦσι τριάδα, εἴγε μηδὲ πάντες τὴν οἰκείαν οἴδασιν ἢ εἰδέναι ἔχουσι φύσιν. Οὐ δεῖ δὲ θαυμάζειν περὶ τῶν ἄλλων διαφόρων τῆς ἐν τῷ παραδείγματι καὶ τῇ εἰκόνι τριάδος. Εἴρηται γάρ, ὡς ὡμοιῶσθαι μὲν τῷ Θεῷ τὸν ἄνθρωπον ὅ τε λόγος ἀπαιτεῖ καὶ ἡ τοῦ Μωσέως ἀξίωσις καὶ ὅσα ἄλλα ταύτῃ συντρέχει, καὶ ὡμοιῶσθαι τῇ τριάδι τῶν ἐνδοτέρων ἐνεργειῶν, αἷς ἄνθρωπος ἔστι τε καὶ ζῇ κατὰ τὴν ψυχὴν καὶ τῶν ἄλλων τοῦ Θεοῦ κτισμάτων προέχει. Δεῖ δὲ ἐν μὲν τῷ Θεῷ τὴν τριάδα ὑπερφυᾶ τε καὶ ποιητῇ πρέπουσαν εἶναι καὶ ὅλως θεοπρεπῆ, ἐν ἀνθρώπῳ δὲ μετὰ τῆς τῷ κτίσματι προσηκούσης ὑφέσεως. Αὐτίκα γὰρ ὁ μὲν θεῖος νοῦς ἐνεργείᾳ ἐστὶν ἀεί, ὡς ἀϊδίῳ καὶ ἀπείρῳ

---

11 *εἰ καὶ μὴ ὡσαύτως* om ABG, en interligne C 13 *ὑπερφυής* om PBC 17 *καὶ δημιουργὸς ὁ Πατὴρ* ABC 26 *δῶρα* G

προσήκει· ὁ δέ γε ἀνθρώπινος δημιουργηθεὶς ἐκ Θεοῦ δυνάμει μέν ἐστι τὴν ἀρχὴν ἐν πᾶσιν ἀνθρώποις ὁμοίως πρὸς τὰ νοεῖσθαι δυνάμενα καὶ τὸ δι' ἐκείνων τελειοῦσθαι νοοῦντα, ἐνεργείᾳ δ' ὕστερον γίνεται τῇ περὶ αὐτῶν ἐπιστήμῃ, ἀθροιζομένων ἐν αὐτῷ τῶν εἰδῶν, ἄλλου μετ' ἄλλο, τῇ ὁδῷ γε τῆς ἀφαιρέσεως. Καὶ λόγος αὖ ὁ μὲν ἀνθρώπινος ἐν ἑκάστῳ πολλοῖς εἴδεσι μορφούμενος συμπληροῦται, συναγομένοις, ὡς εἴρηται, κατὰ μικρὸν ἐν αὐτῷ καὶ συνοῦσι λοιπὸν τῷ τρόπῳ τῆς ἕξεως· ὁ δὲ θεῖος λόγος ἕν ἐστι καὶ ἁπλούστατον εἶδος τῆς ἁπλουστάτης ἐν τῷ πρώτῳ νοοῦντι νοήσεως· ὁ γὰρ θεῖος νοῦς, ὁ Πατὴρ δηλονότι, μιᾷ καὶ τῇ αὐτῇ νοήσει πάντα ἀϊδίως νοεῖ, καὶ ἑαυτὸν μὲν νοῶν τὸ νοητὸν ὑφίστησιν εἶδος ἑαυτοῦ καὶ πρὸς ἑαυτόν, τουτέστι τὸν Λόγον· νοεῖ δὲ τὸν Λόγον, καὶ ἑαυτὸν ἅμα νοεῖ. Νοεῖ δὲ καὶ τὰ ἄλλα παρ' ἑαυτόν, ἀϊδίως μὲν νοῶν ὡς ἐσόμενα, περιουσίᾳ δυνάμεως ἐπὶ τὸ ἐσόμενον τῆς νοήσεως ὡς δὴ παρὸν φερομένης· νοῶν δὲ ὅτε ἠθέλησε, καὶ γεγενημένα, ἔργα τῆς θείας ὄντα θελήσεως, καθό ἐστι καὶ ἄλλων | εὐποιητική. Ἀεὶ μὲν γὰρ ἐβούλετο τὸν κόσμον f. 141 ἔσεσθαι, οὐκ ἐβούλετο δὲ καὶ ἀεὶ αὐτὸν ἔσεσθαι· οὐ γὰρ οἷον τ' ἂν ἦν αὐτὸν ἀεὶ εἶναι, οὔτ' ἔσεσθαι, ὧν τῷ μὲν τὸ μηδέποτ' ἂν γενέσθαι, τῷ δὲ τὸ εἶναι, καίτοι μηδέποτε γεγενημένον, ἀκολουθεῖ. Ἡ τοίνυν ἀΐδιος αὕτη νόησις μία καθάπαξ ἐστὶν ἐν τῷ πρώτῳ νῷ, σημείοις μόνοις διακρινομένη νοήσεως.

Ἐπὶ τούτοις, ἐν μὲν τῷ ἀνθρωπίνῳ νῷ ἄλλο ἐστὶ τὸ νοεῖν τὸ πρᾶγμα, καὶ ἄλλο τὸ νοεῖν τὸ νοούμενον νόημα, ὅταν εἰς τὸ οἰκεῖον ἔργον ὁ νοῦς ἐπιστρέφῃ· ὅθεν, ἕτεραι μὲν αἱ τῶν πραγμάτων, ἕτεραι δ' αἱ τῶν ἐπ' αὐτοῖς νοημάτων εἰσὶν ἐπιστῆμαι· ἐν δὲ τῷ Θεῷ ταῦτα οὐ διενήνοχε. Καὶ ὁ μὲν ἐν ἀνθρώπῳ λόγος καὶ ἡ θέλησις οὐ πραγματικῶς πρὸς τὸν νοοῦντα καὶ θέλοντα διακρίνονται νοῦν· ὁ δὲ θεῖος Λόγος καὶ τὸ Πνεῦμα τὸ ἅγιον πραγματικῶς τοῦ Πατρὸς διακρίνονται· δεῖ γὰρ ἐκεῖ καὶ τὴν τῆς φύσεως ἕνωσιν ἄκραν εἶναι, ᾗ προσήκει Θεῷ, καὶ τὴν διάκρισιν αὖ ἀληθῆ τε καὶ ἔμπρακτον, τῇ μέντοι κατὰ τὴν φύσιν ἑνώσει μηδόλως προσισταμένην. Ἡ γὰρ ἀτομικὴ καὶ προσωπικὴ διάκρισις, ἐν μὲν τοῖς ὁμοφυέσι κτίσμασι τὴν ὕλην αἰτίαν ἔχουσα, εὐλόγως καὶ τὴν φύσιν ἐν τοῖς οὕτω διῃρημένοις ἀρίθμῳ διαιρεῖ· ἐν δὲ τῷ ἁπλουστάτῳ καὶ νοερωτάτῳ Θεῷ τὴν νοητὴν ἀναφορὰν αἰτίαν ἔχουσα μόνην, οὐ διαιρεῖ τὴν κατὰ φύσιν ἑνότητα. Καὶ πολλὰς ἄλλας εἰκὸς εἶναι διαφορὰς τῆς τε ἀκτίστου τριάδος ἐν τῷ Θεῷ καὶ τῆς ἐν ἀνθρώπῳ κτιστῆς· ἀλλὰ καὶ μετὰ τοσούτων τῶν διαφόρων, οὐδὲν ἧττον ἡ κατὰ τὴν τριάδα τῶν ἰδιωμάτων ἢ τῶν ὑποστάσεων ὁμοί-

2 *ἐν πᾶσιν — ὁμοίως* om A *πρὸς* après *καὶ* add B 9 *νοοῦντι*: *νοητῷ* G, qui ajoute en note: Vel *νοερῷ* 11 *καὶ* (1°): *δὲ* G 18 *μηδέπω* A *γεγεννημένον* G, qui attribue faussement cette leçon à A 28 *τε* om A 29 *κατὰ τὴν φύσιν*: *κατ' οὐσίαν* A 31 *καὶ*: *δὲ* G 32 *ἀριθμοῖς* G 35 *καὶ* (2°): *δὲ* G

ωσις μένει· καὶ ἔτι, κατὰ τὴν πρόοδον αὐτῶν καὶ τὴν τάξιν καὶ τὸν τῆς προόδου λόγον τε καὶ τῆς τάξεως καὶ τὴν ἐν τῷ πλήθει πάλιν ἑνότητα τῆς οὐσίας, καὶ καθόλου φάναι, τὴν νοερότητα, εἰ καὶ μετὰ πλείστης ἐκεῖ μὲν τῆς ὑπεροχῆς, ἐνταῦθα δὲ τῆς ὑφέσεως, καίτοι κἂν τῷ κτίσματι πολλή τις ὁρᾶται διαφορὰ τῆς εἰκόνος. Ἡ μὲν γὰρ τοῖς ἀνθρώποις ἐδόθη πᾶσι δῶρον κοινόν, μείζονος κοινωνίας ἀρχὴ κατὰ τὸν μέλλοντα βίον τοῖς ἐν- f. 141v ταυθοῖ καλῶς κεχρημένοις· οὐχ ὁμοίως δὲ | πάντες αὐτῆς ἀπολαύουσιν, ἀλλ' οἳ μὲν μορφοῦσι τὴν εὐγενεστάτην ταύτην τῆς φύσεως παρασκευὴν ἐν αὐτοῖς καὶ οἰκείᾳ προαιρέσει τε καὶ σπουδῇ, καὶ τὸ κάλλος αὐτῆς ἐξάπτειν ποιοῦσι καὶ μέχρις οὐρανῶν ἀνιέναι· τοῖς δὲ ἀργόν τι χρῆμα καὶ ἄμορφον καταλείπεται, ἀμαθίᾳ συγκαλυπτόμενον, ἢ πονηρίᾳ.

Καὶ ταῦτα μὲν πάντα περὶ τῆς θείας τριάδος πρὸς τοὺς ἔξω καὶ εἴρηται καὶ λέγεσθαι δεῖ, ὡς ἔκ τινος ἀρχῆς ἡμῖν τε καὶ ἐκείνοις κοινῆς, τῆς τοῦ Μωσέως διδασκαλίας· ἡμῖν δὲ λόγου παντὸς ἐπέκεινα τὴν περὶ τούτων πίστιν αὐτὸς ὁ θεῖος ἐνέθηκε Λόγος. Τούτου χάριν τὴν ἡμετέραν ἀληθῶς μέν, θεοπρεπῶς δὲ ὅμως προσλαβόμενος φύσιν, καὶ δόξαις τε ταῖς ἀληθέσι περὶ τοῦ μόνου Θεοῦ καὶ μόνου τῶν ὄντων πάντων αἰτίου καὶ νόμοις περὶ τοῦ βιοῦν ἔχειν ὀρθῶς ἐκόσμησεν ἡμᾶς ἐκ τῆς πρὶν ἀκοσμίας, ἣν ὁ τοῦ ψεύδους πατὴρ ἡμῖν ἐπεσώρευσεν, οὐκ ἂν δυνηθείς, ἡμῶν τὸ δέον ἅπαν τηρούντων. Δόξα τοίνυν τῷ Λόγῳ τοῦ Θεοῦ καὶ Υἱῷ, τοσούτων καλῶν ἡμῖν ὑπάρξαντι τοῖς ἀνθρώποις, οὐ μετὰ πάντων μόνον τῶν ὄντων τε καὶ ἔργων αὐτοῦ, ἀλλὰ καὶ ὑπὲρ πάντα, καὶ πρὸς τούτῳ διηνεκῶς, οὐδὲ πᾶσι μόνον κοινῶς, ἀλλὰ καὶ χωρὶς ἑκάστῳ. Αὐτὸς γὰρ καὶ ἀϊδίως ἡμᾶς τόν τε σύμπαντα κόσμον εἶχε παρ' ἑαυτῷ νοητῶς καὶ χρονικῶς ἔξω παρήγαγεν, ἅμα καὶ τὸν χρόνον ποιήσας, ἔργον τῆς πατρικῆς αὐτοῦ καὶ σοφῆς ἀγαθότητος· αὐτὸς καὶ ἀνέπλασε πνευματικῶς οἰκονομίας τρόπῳ ξενίζοντι, καὶ μεθόδῳ μιᾷ τὴν πολυχρόνιον ἡμῶν καὶ ποικίλην ἐξηκέσατο νόσον ἐκ τῆς αὐτῆς ἀγαθότητος, ὡς ἄριστος ἰατρὸς ὁμοῦ καὶ πατὴρ καὶ δεσπότης. Αὐτὸς ἡμᾶς ἐμόρφωσε καὶ βίῳ καὶ πιστει, τὴν μὲν διδάξας καὶ τὸ τῆς οὐρανίου τριάδος καλῶς ἡμῖν ἀναπτύξας μυστήριον, ᾧ μόνῳ τὸν ἕνα σέβειν Θεὸν καλῶς ἔνεστι καὶ γνησίως· τοῦ δὲ καθηγητὴς ἡμῖν γεγονὼς οὐ διδάγμασι μόνοις, ἀλλὰ καὶ τῷ καθ' αὐτὸν ὑποδείγματι, οὐ βιασάμενος πρὸς οὐδέτερον τοῖν δυοῖν τούτοιν καλοῖν· οὐ γὰρ ἔδει φθείρειν f. 142 ἀντὶ τοῦ σῴζειν· | ἀλλὰ τὸ μὲν κώλυμα τῆς αἰωνίου λύσας ἀνελπίστως ζωῆς, τὴν ἐκ τῶν σπερμάτων τοῦ γένους διαβαίνουσαν λύμην, οἷς ἐκένωσεν

1 ἔτι: ἔστι G 3 εἰ καὶ: Εἰ δὲ G, qui met un point avant *Εἰ* 9 *ἐν αὐτοῖς* om PBC 11 *ἄμορφον*: *ἄπρακτον* A 13 *κἀκείνοις* A 17 *τῶν ὄντων* om P 19 *ἡμῶν ἂν* A 21 *ἡμῖν καλῶν* PC 24 *τόν τε*: *καὶ τὸν* A 25-26 *καὶ αὐτοῦ σοφῆς* AB, sic dans C, qui efface le *καὶ* et le place en interligne après *αὐτοῦ* 34 *ἀνελπίστως* om B

ἑαυτὸν καὶ οἷς ὑπέστη· καὶ τὴν ὀφειλομένην ἡμῖν δίκην ἐξέτισεν ἐν σαρκὶ μηδὲν ἁμαρτούσῃ· τῇ δὲ προαιρέσει τῶν τέκνων τό τε πιστεύειν, τό τε βιοῦν ὀρθῶς ἐπιτρέψας, οὐκ ἄνευ μέντοι τῆς παρ' αὐτοῦ συμμαχίας διὰ τὴν ἑκατέρῳ πολλοῖς τρόποις ἀπαντῶσαν δυσχέρειαν, αὐτὸς ἡμῖν ἐφανέρωσε τὸν Θεὸν καὶ Πατέρα, πᾶσι τρόποις ὑπ' ἐκείνου φανερωθείς. Αὐτὸς ἡμῖν καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐφανέρωσεν εἰς μείζω μὲν φανέρωσιν ἑαυτοῦ, καίτοι πρόσθεν ὑπ' ἐκείνου φανερωθεὶς τῷ καιρῷ προσηκόντως, σφραγῖδα δὲ τῶν εἰς ἡμᾶς εὐεργεσιῶν. Αὐτὸς καὶ τὸν ἑκάστου τῶν τέκνων βίον ἰθύνει, τῶν πίστει τε καὶ προαιρέσει μεμορφωμένων· δεῖ γὰρ προελέσθαι τὰ κρείττω γνώμης ὅλῃ ῥοπῇ· ἡ δὲ χάρις εὐθὺς συναντᾷ τοῖς οὕτω προῃρημένοις. Τί δεῖ καταριθμεῖν τὰ πάντα νικῶντα λόγον τῷ πλήθει τε καὶ μεγέθει τῆς φανερᾶς εὐποιΐας, ἢ μόνοις τοῖς πεπηρωμένοις τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς ἀφανὴς ἔτι μένει καὶ ἄγνωστος; Ἐπεὶ δ' εἰ καὶ ἰδιαίτερόν πως πρὸς τὸν θεῖον ἀναφέρεται Λόγον, τὸν ἡμέτερον Ἰησοῦν, ἀλλὰ μία ἦν ἐκ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι ἡ τῆς θείας οἰκονομίας εὐεργεσία ἐκ μιᾶς ὁμόπνου φιλανθρωπίας, καὶ ἀχωρίστως ἡμῖν ἐκεῖθεν ἀεὶ τὰ τῆς παντοίας εὐτυχίας καὶ σωτηρίας ἐκεράννυτο φάρμακα καὶ κεράννυται, ταὐτόν ἐστι τὸν θεῖον Λόγον ὑμνεῖν, καὶ τὴν ὅλην ἐκθειάζειν Τριάδα, μᾶλλον δὲ τὸν ἐν τριάδι προσώπων ἕνα Θεόν. Αὐτῷ δόξα εἰς τοὺς αἰῶνας, ἀμήν: ~

---

1 *οἷς*: *οὓς* G   10 *γνώμη* G   15 *δι'*: *καὶ* G   17-18 *καὶ κεράννυται* om PBC